ARISTOTELIS

OPERA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ACCEDUNT

INDICES SYLBURGIANI.

TOMUS II.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXVII.

ARISTOTELIS

NATURALIS AUSCULTATIONIS LIBRI VIII

DE CŒLO LIBRI IV

DE GENERATIONE ET CORRUPTIONE LIBRI II

EX RECENSIONE

IMMANUELIS BEKKERI.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXVII.

INDEX CODICUM.

E. Parisiensis Regius 1853.
F. Laurentianus 87 7.
H. Vaticanus 1027.
I. Vaticanus 241.
L. Vaticanus 253.
M. Urbinas 37.
k. Vaticanus 499.

ΦΥΣΙΚΗΣ [a]ΑΚΡΟΑΣΕΩΣ Α.

[1] ΕΠΕΙΔΗ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα, ἐκ τοῦ ταῦτα γνωρίζειν (τότε γὰρ οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοιχείων), δῆλον ὅτι καὶ τῆς περὶ φύσεως ἐπιστήμης πειρατέον [b]διορίσασθαι πρῶτον τὰ περὶ τὰς ἀρχάς. Πέφυκε δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν [c]ἡ ὁδὸς καὶ σαφεστέρων ἐπὶ τὰ σαφέστερα τῇ φύσει καὶ γνωριμώτερα· οὐ γὰρ [d]ταὐτὰ ἡμῖν τε γνώριμα καὶ ἁπλῶς. Διόπερ 2
ἀνάγκη [e]τὸν τρόπον τοῦτον προάγειν ἐκ τῶν ἀσαφεστέρων [f]μὲν [g]τῇ φύσει ἡμῖν δὲ σαφεστέρων ἐπὶ τὰ σαφέστερα [h]τῇ φύσει καὶ γνωριμώτερα. [i]Ἔστι δ' ἡμῖν [i]πρῶτον δῆλα καὶ σαφῆ τὰ [k]συγκεχυμένα μᾶλλον· ὕστερον δ' ἐκ τούτων [l]γίνεται γνώριμα τὰ στοιχεῖα καὶ αἱ ἀρχαὶ διαιροῦσι ταῦτα. Διὸ ἐκ τῶν καθόλου [m]ἐπὶ τὰ καθ' ἕκαστα δεῖ προϊέναι. Τὸ γὰρ ὅλον κατὰ τὴν αἴσθησιν γνωριμώτερον, τὸ δὲ καθόλου ὅλον τί ἐστιν· πολλὰ γὰρ περιλαμβάνει [n]ὡς μέρη τὸ καθόλου. Πέπονθε δὲ ταὐτὸ τοῦτο τρόπον τινὰ καὶ τὰ ὀνόματα 3
πρὸς τὸν λόγον· ὅλον γάρ τι καὶ [o]ἀδιορίστως σημαίνει, οἷον ὁ κύκλος· ὁ δὲ ὁρισμὸς αὐτοῦ διαιρεῖ εἰς τὰ καθ' ἕκαστα. Καὶ τὰ παιδία [p]τὸ [q]μὲν πρῶτον [r]προσαγορεύει πάντας τοὺς ἄνδρας πατέρας καὶ μητέρας τὰς γυναῖκας, ὕστερον [s]δὲ διορίζει τούτων ἑκάτερον.

Codices E.F.I. [a] Tit. ἀκροάσεως] ἀκροάσεως ἢ περὶ ἀρχῶν F. om. titulum I. [b] πρῶτον διορίσασθαι F. [c] ἡ om. I. [d] τὰ αὐτὰ F. [e] τοῦτον τὸν τρόπον F. [f] μὲν om. F.I. [g] τῇ om. I. [h] τῇ φύσει om. pr. E. [i] πρῶτον] τὸ πρῶτον F.I. [k] συγκρίμενα F. [l] γίνεται post γνώριμα I, om. F. [m] ἐπὶ] εἰς E. [n] ὡς] ὥσπερ E. [o] ἀδιόριστον I. et corr. E. [p] τὸ] δὲ τὸ I. [q] μὲν om. F. [r] ὑπολαμβάνει I, ὑπολαμβάνει προσαγορεύει πατέρας E. [s] δὲ om. F.

2 [1]Ἀνάγκη δ' ἤτοι μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, καὶ εἰ μίαν, ἤτοι ἀκίνητον, [t]ὡς [v]φησι Παρμενίδης καὶ Μέλισσος, ἢ κινουμένην, ὥσπερ οἱ φυσικοί, οἱ μὲν ἀέρα φάσκοντες εἶναι οἱ δ' ὕδωρ τὴν πρώτην ἀρχήν· εἰ δὲ πλείους, ἢ πεπερασμένας ἢ ἀπείρους, καὶ εἰ πεπερασμένας πλείους δὲ μιᾶς, ἢ δύο ἢ τρεῖς ἢ τέτταρας ἢ ἄλλον τινὰ ἀριθμόν, καὶ εἰ ἀπείρους, ἢ οὕτως ὥσπερ Δημόκριτος, τὸ γένος ἕν, σχήματι [w]δὲ ἢ εἴδει διαφε-
2 ρούσας, ἢ [x]καὶ ἐναντίας. [1]Ὁμοίως δὲ ζητοῦσι καὶ οἱ τὰ ὄντα ζητοῦντες πόσα· ἐξ ὧν γὰρ τὰ ὄντα ἐστί, [y]πρῶτον ζητοῦσι ταῦτα πότερον ἓν ἢ πολλά, καὶ εἰ πολλά, πεπερασμένα ἢ ἄπειρα, ὥστε τὴν ἀρχὴν καὶ τὸ στοιχεῖον ζητοῦσι πότερον ἓν ἢ πολλά. Τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ [z]ὂν σκοπεῖν οὐ περὶ φύσεώς ἐστι σκοπεῖν· ὥσπερ γὰρ καὶ τῷ γεωμέτρῃ οὐκέτι λόγος [a]ἐστὶ πρὸς τὸν ἀνελόντα τὰς ἀρχάς, ἀλλ' ἤτοι ἑτέρας ἐπιστήμης ἢ πασῶν κοινῆς, οὕτως οὐδὲ [b]τῷ περὶ ἀρ-
χῶν· οὐ γὰρ ἔτι ἀρχή ἐστιν, εἰ ἓν μόνον καὶ οὕτως ἕν ἐστιν.
3 [1]Ἡ γὰρ ἀρχὴ τινὸς ἢ τινῶν. [v]Ὅμοιον δὴ τὸ σκοπεῖν [c]εἰ οὕτως ἓν καὶ πρὸς ἄλλην θέσιν ὁποιανοῦν διαλέγεσθαι τῶν λόγου ἕνεκα λεγομένων, οἷον τὴν [1]Ἡρακλείτειον, ἢ εἴ τις φαίη ἄνθρωπον ἕνα τὸ ὂν εἶναι, ἢ λύειν λόγον ἐριστικόν [[d]ὅπερ ἀμφότεροι μὲν ἔχουσιν οἱ λόγοι, καὶ ὁ Μελίσσου καὶ ὁ Παρμενίδου· καὶ γὰρ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλό-
γιστοί εἰσιν· [e]μᾶλλον δ' ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν, ἀλλ' ἑνὸς ἀτόπου δοθέντος τὰ ἄλλα συμβαίνει·
4 τοῦτο δὲ οὐδὲν χαλεπόν]. [1]Ἡμῖν δ' ὑποκείσθω τὰ φύσει ἢ πάντα ἢ ἔνια κινούμενα εἶναι· δῆλον δ' ἐκ τῆς ἐπαγωγῆς. [v]Ἅμα δ' οὐδὲ λύειν ἅπαντα προσήκει, ἀλλ' ἢ ὅσα ἐκ τῶν ἀρ-
χῶν τις ἐπιδεικνὺς ψεύδεται, ὅσα δὲ μή, οὔ, οἷον τὸν [f]τετρα-
γωνισμὸν τὸν μὲν διὰ τῶν τμημάτων γεωμετρικοῦ διαλῦσαι,
5 τὸν δ' [1]Ἀντιφῶντος οὐ γεωμετρικοῦ. [g]Οὐ μὴν ἀλλ' ἐπειδὴ

[t] ὥσπερ F.I. [v] φασὶ I. [w] δὲ om. F. [x] καὶ om. I. [y] ζητοῦσι πρῶτον F.I. [z] ὂν] ἓν I. [a] ἔσται I. [b] τῶν I. [c] εἰ ἔστιν οὕτως F. [d] ὅπερ—χαλεπόν] hæc delenda esse censeo collato c. 3, 1. [e] μάλιστα I. [f] τετραγωνισμὸν τοῦ κύκλου τὸν μὲν τῶν τμ. γεωμέτρου I. [g] οὐ μὴν om. pr. E.

περὶ φύσεως μὲν οὔ, φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν [h] αὐτοῖς, ἴσως [i] ἔχει καλῶς ἐπὶ μικρὸν διαλεχθῆναι περὶ αὐτῶν· ἔχει γὰρ φιλοσοφίαν ἡ σκέψις. [j] Ἀρχὴ δὲ οἰκειοτάτη πασῶν, [k] ἐπειδὴ πολλαχῶς λέγεται τὸ ὄν, [l] ἰδεῖν πῶς λέγουσιν οἱ λέγοντες [m] εἶναι ἓν τὰ πάντα, [n] πότερον οὐσίαν [o] τὰ πάντα ἢ ποσὰ ἢ ποιά, καὶ πάλιν πότερον οὐσίαν μίαν [p] τὰ πάντα, οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα ἢ ψυχὴν μίαν, ἢ ποιὸν ἓν [q] δὲ τοῦτο, οἷον λευκὸν ἢ θερμὸν ἢ [r] τῶν ἄλλων τι τῶν τοιούτων. Ταῦτα γὰρ πάντα διαφέρει τε πολὺ καὶ ἀδύ- 6
νατα λέγειν. Εἰ μὲν γὰρ ἔσται καὶ οὐσία καὶ [s] ποσὸν καὶ ποιόν, καὶ ταῦτα εἴτ' ἀπολελυμένα ἀπ' ἀλλήλων εἴτε μή, πολλὰ τὰ ὄντα. Εἰ δὲ [t] πάντα ποιὸν ἢ ποσόν, εἴτ' οὔσης οὐσίας εἴτε μὴ οὔσης, ἄτοπον, εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον. [v] Οὐθὲν γὰρ τῶν ἄλλων χωριστόν ἐστι παρὰ τὴν οὐσίαν· πάντα γὰρ καθ' ὑποκειμένου [w] τῆς οὐσίας λέγεται. [x] Μέλισσος δὲ τὸ ὂν ἄπειρόν [y] φησιν εἶναι. Ποσὸν ἄρα τι 7
τὸ ὄν· τὸ γὰρ ἄπειρον ἐν τῷ ποσῷ, οὐσίαν δὲ ἄπειρον [z] εἶναι ἢ ποιότητα ἢ πάθος οὐκ ἐνδέχεται εἰ μὴ κατὰ συμβεβηκός, εἰ ἅμα καὶ ποσὰ ἄττα εἶεν· ὁ [a] γὰρ τοῦ ἀπείρου λόγος τῷ ποσῷ προσχρῆται, ἀλλ' οὐκ οὐσίᾳ οὐδὲ τῷ ποιῷ. Εἰ μὲν τοίνυν καὶ οὐσία ἐστὶ καὶ ποσόν, δύο καὶ οὐχ ἓν τὸ ὄν· εἰ δ' οὐσία μόνον, οὐκ [b] ἄπειρον, οὐδὲ μέγεθος ἕξει οὐδέν· ποσὸν γάρ τι ἔσται. [j] Ἔτι ἐπεὶ καὶ [c] αὐτὸ τὸ ἓν πολλαχῶς λέγε- 8
ται ὥσπερ καὶ τὸ ὄν, σκεπτέον τίνα τρόπον λέγουσιν [d] εἶναι ἓν τὸ πᾶν. Λέγεται δ' [e] ἓν ἢ τὸ συνεχὲς ἢ τὸ ἀδιαίρετον ἢ ὧν ὁ λόγος ὁ αὐτὸς καὶ εἷς ὁ τοῦ τί [f] ἦν εἶναι, ὥσπερ μέθυ καὶ οἶνος. Εἰ μὲν [g] τοίνυν συνεχές, πολλὰ τὸ [h] ἕν· εἰς [i] ἄπειρον γὰρ διαιρετὸν τὸ συνεχές. [j] Ἔχει δ' ἀπορίαν περὶ τοῦ 9

[h] αὐτοὺς I. [i] ἔχειν I. [k] ἐπεὶ E. [l] ἰδεῖν om. F.I. [m] εἶναι om. F. [n] πότερον] πότερον ὡς F. et corr. I. [o] τὰ πάντα] ἅπαντα E. [p] τὰ] δὲ τὰ I, δὲ E. [q] δὲ] καὶ F. [r] τῶν ἄλλων] ἄλλο F. [s] ποιὸν καὶ ποσὸν E. [t] ἅπαντα F.I. [v] οὐδὲν F.I, qui raro aliter. [w] λέγεται τῆς οὐσίας F.I. [x] ὁ μελισσος I. [y] εἶναι φησίν E. [z] εἶναι post πάθος I. [a] γὰρ] δὲ F.I. [b] ἄπειρον τὸ ὂν οὐδὲ I. [c] τὸ αὐτὸ F. [d] ἓν εἶναι F.I. [e] ἓν om. I. [f] ἦν om. pr. E. [g] τοίνυν] οὖν F. [h] ὄν F. et corr. E. [i] ἄπειρα E.

μέρους καὶ [k]τοῦ ὅλου, ἴσως δὲ οὐ πρὸς τὸν λόγον ἀλλ' αὐτὴν καθ' αὑτήν, πότερον ἓν ἢ πλείω τὸ μέρος καὶ τὸ ὅλον, καὶ πῶς ἓν ἢ πλείω, καὶ εἰ πλείω, πῶς πλείω, καὶ περὶ τῶν μερῶν τῶν μὴ συνεχῶν· καὶ εἰ τῷ ὅλῳ ἓν ἑκάτερον ὡς ἀδιαίρετον, ὅτι καὶ αὐτὰ αὐτοῖς. [l]Ἀλλὰ μὴν εἰ ὡς ἀδιαίρετον, [l]οὐθὲν ἔσται ποσὸν [m]οὐδὲ ποιόν, οὐδὲ δὴ ἄπειρον τὸ ὄν, ὥσπερ Μέλισσός φησιν, οὐδὲ πεπερασμένον, ὥσπερ Παρμενίδης· τὸ γὰρ πέρας [n]ἀδιαίρετον, οὐ τὸ πεπερασμένον. [l]Ἀλλὰ μὴν εἰ τῷ λόγῳ ἓν [o]τὰ ὄντα πάντα ὡς λώπιον καὶ ἱμάτιον, τὸν [l]Ἡρακλείτου λόγον συμβαίνει λέγειν αὐτοῖς· [p]ταὐτὸν γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ [q]εἶναι καὶ [r]μὴ ἀγαθῷ καὶ ἀγαθῷ, ὥστε [s]ταὐτὸν [t]ἔσται ἀγαθὸν καὶ οὐκ ἀγαθὸν καὶ ἄνθρωπος καὶ ἵππος, καὶ οὐ περὶ τοῦ ἓν εἶναι τὰ ὄντα ὁ λόγος ἔσται [v]αὐτοῖς ἀλλὰ περὶ τοῦ μηδέν, καὶ τὸ τοιῳδὶ εἶναι [w]καὶ τοσῳδὶ ταὐτόν. [l]Εθορυβοῦντο δὲ καὶ οἱ [x]ὕστεροι τῶν ἀρχαίων ὅπως μὴ ἅμα γένηται αὐτοῖς τὸ αὐτὸ ἓν καὶ πολλά. Διὸ οἱ μὲν τὸ ἔστιν ἀφεῖλον, [y]ὥσπερ Λυκόφρων, οἱ δὲ τὴν λέξιν μετερρύθμιζον, ὅτι ὁ ἄνθρωπος οὐ λευκός ἐστιν ἀλλὰ [z]λελεύκωται, οὐδὲ βαδίζων ἐστὶν ἀλλὰ βαδίζει, ἵνα μή [a]ποτε τὸ ἔστι προσάπτοντες πολλὰ εἶναι ποιῶσι [b]τὸ ἕν, ὡς μονα-
12 χῶς λεγομένου τοῦ ἑνὸς ἢ τοῦ ὄντος. Πολλὰ δὲ τὰ ὄντα ἢ λόγῳ (οἷον ἄλλο τὸ λευκῷ εἶναι καὶ μουσικῷ, [c]τῷ δ' αὐτῷ ἄμφω· πολλὰ ἄρα τὸ ἕν) ἢ διαιρέσει, ὥσπερ τὸ ὅλον καὶ τὰ μέρη. [l]Ἐνταῦθα δὲ ἤδη ἠπόρουν, καὶ ὡμολόγουν τὸ ἓν πολλὰ εἶναι, ὥσπερ οὐκ ἐνδεχόμενον [d]ταὐτὸν ἕν τε καὶ πολλὰ εἶναι, μὴ [e]τἀντικείμενα δέ· ἔστι γὰρ τὸ [f]ἓν καὶ δυνάμει καὶ ἐντελεχείᾳ.

3 Τόν τε δὴ τρόπον τοῦτον ἐπιοῦσιν ἀδύνατον φαίνεται τὰ

[k] τοῦ post καὶ om. E.F. [l] οὐδέν ἐστι F. [m] οὐδὲν F. [n] ἀδιαίρετον πέρας I. [o] πάντα τὰ ὄντα I. [p] ταυτὸ I. [q] εἶναι post μὴ ἀγαθῷ F. [r] μὴ ἀγαθῷ καὶ ἀγαθῷ] ἀγαθῷ καὶ μὴ ἀγαθῶι εἶναι E. [s] τὸ αὐτὸ F.I. [t] ἔσται] ἔσται καὶ I. [v] αὐτοῖς om. F.I. [w] καὶ τὸ τοσωδὶ I. [x] ὕστεροι—αὐτοῖς] ὕστερον, καθάπερ οἱ ἀρχαῖοι, μή ποτε συμβαίνῃ (συμβαίνει I.) αὐτοῖς ἅμα F.I. [y] ὡς ὁ λυκόφρων F. [z] λελεύκωται] λελευκωμένος E.F.I. [a] ποτε om. F.I. [b] τὸ ἕν om. pr. E. [c] τὸ δὲ αὐτὸ E. [d] τὸ αὐτὸ ἓν καὶ F.I. [e] τὰ ἀντικείμενα F.I. [f] ὂν F.

ὄντα ἓν εἶναι, καὶ ἐξ ὧν ἐπιδεικνύουσι, λύειν οὐ χαλεπόν. [a]Ἀμφότεροι γὰρ ἐριστικῶς συλλογίζονται, καὶ Μέλισσος καὶ Παρμενίδης· καὶ γὰρ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσιν [g]αὐτῶν οἱ λόγοι· μᾶλλον δ' ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν, ἀλλ' ἑνὸς ἀτόπου δοθέντος τἆλλα συμβαίνει· τοῦτο δ' οὐθὲν χαλεπόν. [v]Ὅτι μὲν οὖν παραλογίζεται Μέλισσος, δῆλον· οἴεται γὰρ εἰληφέναι, εἰ τὸ γενόμενον ἔχει ἀρχὴν ἅπαν, ὅτι καὶ τὸ μὴ γενόμενον οὐκ ἔχει. Εἶτα καὶ τοῦτο ἄτοπον, τὸ παντὸς [h]οἴεσθαι εἶναι ἀρχὴν τοῦ πράγματος καὶ μὴ τοῦ χρόνου, καὶ γενέσεως μὴ τῆς ἁπλῆς ἀλλὰ καὶ ἀλλοιώσεως, ὥσπερ οὐκ [i]ἀθρόας γινομένης μεταβολῆς. [k][v]Επειτα διὰ τί ἀκίνητον, εἰ ἕν; [v]Ωσπερ γὰρ καὶ τὸ μέρος ἓν ὄν, τοδὶ τὸ ὕδωρ, κινεῖται ἐν ἑαυτῷ, διὰ τί [l]οὐ καὶ πᾶν; [v]Επειτα ἀλλοίωσις διὰ τί οὐκ ἂν εἴη; [a]Αλλὰ μὴν οὐδὲ τῷ εἴδει οἷόν τε ἓν εἶναι, πλὴν τῷ ἐξ οὗ. Οὕτως δὲ ἓν καὶ τῶν φυσικῶν τινὲς λέγουσιν, ἐκείνως δ' οὔ· ἄνθρωπος γὰρ ἵππου ἕτερον [m]τῷ εἴδει καὶ τἀναντία ἀλλήλων. Καὶ πρὸς Παρμενίδην δὲ ὁ αὐτὸς τρόπος τῶν λόγων, καὶ εἴ τινες ἄλλοι [n]εἰσὶν ἴδιοι· καὶ ἡ λύσις [o]τῇ μὲν ὅτι ψευδὴς [o]τῇ δὲ ὅτι οὐ συμπεραίνεται, ψευδὴς μὲν [p]ᾗ ἁπλῶς λαμβάνει τὸ ὂν λέγεσθαι, λεγομένου πολλαχῶς, [q]ἀσυμπέραντος δὲ ὅτι, εἰ μόνα τὰ λευκὰ ληφθείη, σημαίνοντος ἓν τοῦ λευκοῦ, οὐθὲν ἧττον πολλὰ τὰ λευκὰ καὶ οὐχ ἕν· οὔτε [r]γὰρ τῇ συνεχείᾳ ἓν ἔσται τὸ λευκὸν οὔτε τῷ λόγῳ. [s][v]Αλλο γὰρ ἔσται [t]τὸ εἶναι λευκῷ καὶ τὸ δεδεγμένῳ, καὶ οὐκ ἔσται παρὰ τὸ λευκὸν οὐθὲν χωριστόν· οὐ γὰρ ᾗ χωριστόν, ἀλλὰ [v]τῷ εἶναι ἕτερον [w]τὸ λευκὸν καὶ ᾧ ὑπάρχει. [a]Αλλὰ τοῦτο Παρμενίδης οὔπω [x]ἑώρα. [a]Ανάγκη δὴ [y]λαβεῖν μὴ μόνον ἓν σημαίνειν τὸ ὄν, καθ' οὗ ἂν κατηγορηθῇ, ἀλλὰ καὶ ὅπερ ὂν καὶ ὅπερ ἕν· τὸ γὰρ συμβε-

[g] αὐτῶν οἱ λόγοι om. F.I. [h] οἴεσθαι om. F. [i] ἀθρόως γενομένης I. [k] ἔπειτα καὶ διὰ F.I. [l] οὐχὶ καὶ I. [m] τῷ om. pr. E. [n] ἴδιοί εἰσι F.I. [o] τῇ—τῇ] πῇ—πῇ I. [p] ᾗ] ᾗ καὶ F. [q] ἀσυμπέραστος F. [r] γὰρ om. pr. E. [s] ἄλλο—δεδεγμένω om. pr. E. [t] τῶ F.I. [v] τὸ F. [w] τῶ λευκῶ F. [x] συνεώρα F.I. [y] λαβεῖν τοῖς λέγουσιν ἓν τὸ ὂν εἶναι μὴ I.

βηκὸς καθ' ὑποκειμένου τινὸς λέγεται. Ὥστε ᾧ συμβέβηκε τὸ ὄν, οὐκ ἔσται· ἕτερον γὰρ τοῦ ὄντος· ἔσται τι ἄρα οὐκ ὄν· [z] οὐ δὴ [a] ἔσται ἄλλῳ ὑπάρχον τὸ ὅπερ ὄν. Οὐ γὰρ ἔσται ὄν τι [b] αὐτῷ εἶναι, εἰ μὴ πολλὰ τὸ ὂν [c] σημαίνει οὕτως ὥστε εἶναί τι ἕκαστον. Ἀλλ' ὑπόκειται τὸ ὂν σημαίνειν ἕν.
6 Εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν ἀλλ' ἐκείνῳ, τί μᾶλλον τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ μὴ ὄν; Εἰ γὰρ ἔσται τὸ ὅπερ ὂν [d] ταὐτὸ καὶ λευκόν, τὸ λευκῷ δ' εἶναι μή ἐστιν ὅπερ ὄν· οὐδὲ [e] γὰρ συμβεβηκέναι αὐτῷ οἷόν τε τὸ [f] ὄν· [g] οὐθὲν [h] γὰρ ὂν ὃ οὐχ ὅπερ ὄν. Οὐκ ἄρα ὂν τὸ λευκόν· οὐχ οὕτω δὲ ὥσπερ [i] τι μὴ ὄν, ἀλλ' ὅλως μὴ ὄν. [k] Τὸ ἄρα ὅπερ ὂν οὐκ ὄν· ἀληθὲς γὰρ εἰπεῖν [l] ὅτι λευκόν, τοῦτο δὲ οὐκ ὂν ἐσήμαινεν· ὥστ' [m] εἰ καὶ τὸ λευκὸν [n] σημαίνει ὅπερ ὄν, πλείω ἄρα σημαίνει τὸ
7 ὄν. Οὐ τοίνυν [o] οὐδὲ μέγεθος ἕξει τὸ ὄν, εἴπερ ὅπερ ὂν [p] τὸ ὄν· ἑκατέρῳ γὰρ ἕτερον τὸ εἶναι τῶν μορίων. Ὅτι δὲ διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄν τι ἄλλο, καὶ τῷ λόγῳ φανερόν, οἷον ὁ ἄνθρωπος εἰ ἔστιν ὅπερ ὄν [q] τι, ἀνάγκη καὶ τὸ ζῷον ὅπερ ὄν τι εἶναι καὶ τὸ δίπουν. Εἰ γὰρ μὴ ὅπερ [r] ὄν
8 τι, συμβεβηκότα ἔσται. Ἢ οὖν τῷ ἀνθρώπῳ ἢ ἄλλῳ τινὶ ὑποκειμένῳ. Ἀλλ' ἀδύνατον· συμβεβηκός τε [s] γὰρ λέγεται τοῦτο, ἢ ὃ ἐνδέχεται ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ἢ οὗ [t] ἐν τῷ λόγῳ ὑπάρχει [v] τὸ ᾧ συμβέβηκεν, [w] ἢ ἐν ᾧ ὁ λόγος ὑπάρχει ᾧ συμβέβηκεν, οἷον τὸ μὲν καθῆσθαι ὡς χωριζόμενον, ἐν δὲ τῷ σιμῷ [x] ὑπάρχει ὁ λόγος ὁ τῆς ῥινὸς ᾗ φαμὲν συμβεβη-
9 κέναι τὸ σιμόν. Ἔτι ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν ἢ ἐξ ὧν ἐστίν, ἐν τῷ λόγῳ τῷ τούτων οὐκ ἐνυπάρχει ὁ λόγος ὁ τοῦ ὅλου, οἷον ἐν τῷ δίποδι ὁ τοῦ ἀνθρώπου ἢ ἐν τῷ λευκῷ ὁ τοῦ λευκοῦ ἀνθρώπου. Εἰ τοίνυν ταῦτα τοῦτον ἔχει τὸν

[z] οὐ δὴ—σημαίνειν ἕν post μὴ ὄν E. [a] ἔσται τι ἄλλω F. [b] αὐτὸ I. [c] σημαίνοι ὥστε καὶ τὸ ὅπερ ὂν καὶ τὸ τούτω συμβεβηκὸς οὕτως E. [d] τὸ αὐτὸ F.I. [e] γὰρ] γὰρ οὐδὲ F.I. [f] ὄν om. pr. E. [g] οὐδὲν I, οὐδὲ F. [h] γὰρ om. pr. E. [i] μὴ ὄν τι E. [k] τὸ ἄρα] ἔσται ἄρα τὸ I. [l] ὅτι] ὅτι τὸ ὂν I. [m] εἰ om. pr. E. [n] ἐσήμαινεν I. [o] οὐδὲ τὸ μέγεθος F. [p] τὸ ὄν post ὂν om. E. [q] τι prius om. E. [r] ὄντα F. [s] γὰρ ἔσται καὶ λέγεται I. [t] ὑπάρχει ἐν τῷ λόγῳ F.I. [v] τὸ] τοῦτο I. [w] ἢ ἐν—συμβέβηκεν om. F.I. [x] ἐνυπάρχει E.

τρόπον καὶ τῷ ἀνθρώπῳ συμβέβηκε τὸ δίπουν, ἀνάγκη χωριστὸν εἶναι αὐτό, ὥστε ἐνδέχοιτο ἂν μὴ δίπουν εἶναι τὸν ἄνθρωπον, ἢ ἐν τῷ λόγῳ τῷ τοῦ δίποδος ἐνέσται ὁ τοῦ ἀνθρώπου λόγος. Ἀλλ' ἀδύνατον· ἐκεῖνο γὰρ ἐν τῷ ἐκείνου λόγῳ ἔνεστιν. Εἰ δ' ἄλλῳ συμβέβηκε τὸ δίπουν καὶ τὸ ζῷον, καὶ 10
μή ἐστιν ἑκάτερον ὅπερ [y] ὄν τι, καὶ [z] ὁ ἄνθρωπος ἂν εἴη τῶν συμβεβηκότων ἑτέρῳ. Ἀλλὰ τὸ ὅπερ [a] ὄν [b] τι ἔστω [c] μηδενὶ συμβεβηκός, καὶ καθ' οὗ ἄμφω, [d] καὶ ἑκάτερον καὶ τὸ ἐκ τούτων λεγέσθω· ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν. Ἔνιοι δ' ἐνέδοσαν 11
τοῖς λόγοις ἀμφοτέροις, τῷ μὲν ὅτι πάντα ἕν, εἰ τὸ ὂν ἓν σημαίνει, ὅτι ἔστι τὸ μὴ ὄν, τῷ δὲ [e] ἐκ τῆς διχοτομίας, ἄτομα ποιήσαντες μεγέθη. Φανερὸν δὲ καὶ ὅτι οὐκ ἀληθές, ὡς εἰ
ἓν σημαίνει τὸ ὂν καὶ μὴ οἷόν τε ἅμα τὴν ἀντίφασιν, [f] οὐκ ἔσται οὐθὲν μὴ ὄν· οὐθὲν γὰρ κωλύει μὴ ἁπλῶς [g] εἶναι ἀλλὰ μὴ ὄν τι [h] εἶναι τὸ μὴ ὄν. Τὸ δὲ δὴ φάναι παρ' αὐτὸ τὸ ὄν, ὡς εἰ μή τι ἔσται ἄλλο, ἓν πάντα ἔσεσθαι, ἄτοπον. Τίς γὰρ [i] μανθάνει αὐτὸ τὸ ὂν εἰ μὴ τὸ ὅπερ ὄν τι εἶναι; Εἰ δὲ τοῦτο, οὐδὲν [k] ὅμως κωλύει πολλὰ εἶναι [l] τὰ ὄντα, ὥσπερ εἴρηται. Ὅτι μὲν οὖν οὕτως ἓν εἶναι τὸ ὂν ἀδύνατον, δῆλον.

Ὡς δ' οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσίν. Οἱ μὲν γὰρ 4
ἓν ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον, ἢ τῶν τριῶν τι ἢ ἄλλο, ὅ ἐστι πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον, τἆλλα γεννῶσι πυκνότητι καὶ μανότητι πολλὰ ποιοῦντες. Ταῦτα δ' ἐστὶν ἐναντία, καθόλου δ' ὑπεροχὴ καὶ ἔλλειψις, ὥσπερ τὸ μέγα φησὶ Πλάτων καὶ τὸ μικρόν, πλὴν ὅτι ὁ μὲν ταῦτα ποιεῖ ὕλην τὸ δὲ ἓν τὸ εἶδος, οἱ δὲ τὸ μὲν ἓν τὸ ὑποκείμενον ὕλην, τὰ δ' ἐναντία διαφορὰς καὶ εἴδη. Οἱ δ' 2
ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι, ὥσπερ Ἀναξίμανδρός φησι καὶ ὅσοι δ' ἓν καὶ πολλά φασιν [m] εἶναι, ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας· ἐκ τοῦ [n] μίγματος

[y] ὅν om. E. [z] ὁ om. F. [a] ὅν om. F. et rc. E. [b] τι om. I. et pr. E. [c] συμβεβηκὸς μηδενὶ F. [d] καὶ ἑκάτερον om. E. [e] ἐκ om. F.I. [f] οὐκ] εἶναι οὐκ F. [g] εἶναι] μὴ εἶναι F. [h] εἶναι om. pr. E. [i] μανθάνοι E. [k] ὅμως] οὕτως I. [l] τὰ ὅταν εἶναι F.I. [m] εἶναι τὰ ὄντα ὥσπερ E. [n] μιμάγματος E.

γὰρ [o] καὶ οὗτοι ἐκκρίνουσι [p] τἆλλα. Διαφέρουσι δ' ἀλλήλων τῷ τὸν μὲν περίοδον ποιεῖν τούτων, τὸν δ' ἄπαξ, καὶ τὸν μὲν [q] ἄπειρα τά τε ὁμοιομερῆ καὶ τἀναντία, τὸν δὲ τὰ
3 καλούμενα στοιχεῖα μόνον. [v]Εοικε δὲ [t]Αναξαγόρας ἄπειρα [r] οὕτως [s] οἰηθῆναι διὰ τὸ [t]ὑπολαμβάνειν τὴν κοινὴν δόξαν τῶν φυσικῶν εἶναι ἀληθῆ, ὡς οὐ γινομένου οὐδενὸς ἐκ τοῦ μὴ [v] ὄντος· διὰ τοῦτο γὰρ οὕτω λέγουσιν, ἣν ὁμοῦ [w] τὰ πάντα, καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι. Οἱ δὲ
4 σύγκρισιν καὶ διάκρισιν. [u]Ετι δ' ἐκ τοῦ γίνεσθαι ἐξ ἀλλήλων τἀναντία· ἐνυπῆρχεν ἄρα· εἰ γὰρ πᾶν μὲν τὸ γινόμενον ἀνάγκη γίνεσθαι ἢ ἐξ ὄντων ἢ ἐκ μὴ ὄντων, τούτων δὲ τὸ μὲν ἐκ μὴ ὄντων γίνεσθαι ἀδύνατον (περὶ γὰρ ταύτης ὁμογνωμονοῦσι τῆς δόξης ἅπαντες οἱ περὶ φύσεως), τὸ λοιπὸν ἤδη συμβαίνειν ἐξ ἀνάγκης ἐνόμισαν ἐξ ὄντων μὲν καὶ ἐνυπαρχόντων γίνεσθαι, διὰ [x] μικρότητα δὲ τῶν ὄγκων ἐξ ἀναι-
5 σθήτων ἡμῖν. Διό φασι [y] πᾶν ἐν παντὶ μεμῖχθαι, διότι πᾶν ἐκ παντὸς ἑώρων γινόμενον· φαίνεσθαι δὲ διαφέροντα καὶ προσαγορεύεσθαι ἕτερα ἀλλήλων ἐκ τοῦ μάλισθ' [z] ὑπερέχοντος [a] διὰ πλῆθος ἐν τῇ μίξει τῶν ἀπείρων· εἰλικρινῶς μὲν γὰρ ὅλον λευκὸν ἢ μέλαν ἢ γλυκὺ ἢ σάρκα ἢ ὀστοῦν οὐκ εἶναι, ὅτου δὲ πλεῖστον [b] ἕκαστον ἔχει, τοῦτο [c] δοκεῖν εἶναι
6 τὴν φύσιν τοῦ πράγματος. Εἰ δὴ τὸ μὲν ἄπειρον ᾗ ἄπειρον ἄγνωστον, τὸ μὲν [d] κατὰ πλῆθος ἢ κατὰ μέγεθος ἄπειρον ἄγνωστον πόσον τι, τὸ δὲ κατ' εἶδος ἄπειρον ἄγνωστον ποιόν τι. Τῶν δ' ἀρχῶν ἀπείρων οὐσῶν καὶ [e] κατὰ πλῆθος καὶ κατ' εἶδος, ἀδύνατον εἰδέναι τὰ ἐκ τούτων· οὕτω [f] γὰρ εἰδέναι τὸ σύνθετον ὑπολαμβάνομεν, ὅταν [g] εἰδῶμεν ἐκ τίνων
7 καὶ πόσων ἐστίν. [u]Ετι δ' εἰ ἀνάγκη, οὗ τὸ μόριον ἐνδέχεται ὀπηλικονοῦν εἶναι κατὰ μέγεθος, καὶ [h] μικρότητα, καὶ

[o] καὶ οὗτοι om. F. [p] τὰ ἄλλα F.I. [q] ἄπειρα ποιεῖν τά E. [r] οὕτως ἄπειρα F.I. [s] οἰηθῆναι τὰ στοιχεῖα διὰ I. [t] ὑπολαβεῖν F. [v] ὄντος ἀλλ' ἐξ ὄντος διὰ F. [w] τὰ om. pr. E. [x] δὲ σμικρότητα F.I. [y] πᾶν om. pr. E. [z] ὑπάρχοντος E. [a] διὰ τὸ πλῆθος F.I. [b] ἕκαστον om. E. [c] δοκεῖ I. [d] κατὰ τὸ πλῆθος ἢ μέγεθος F.I. [e] κατὰ τὸ πλῆθος E. [f] γὰρ ἅπαν εἰδέναι E. [g] ἴδωμεν E. [h] σμικρότητα F.I.

αὐτὸ ἐνδέχεσθαι (λέγω δὲ τῶν τοιούτων τι μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον). Εἰ δὲ ἀδύνατον ζῷον ἢ φυτὸν ὀπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ [h]μικρότητα, φανερὸν ὅτι οὐδὲ τῶν μορίων [i]ὁτιοῦν· ἔσται γὰρ καὶ τὸ ὅλον ὁμοίως. Σὰρξ δὲ καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα [k]μόρια ζῴου, καὶ οἱ 8
καρποὶ τῶν φυτῶν. Δῆλον τοίνυν ὅτι ἀδύνατον [l]σάρκα ἢ ὀστοῦν ἢ ἄλλο τι [m]ὀπηλικονοῦν εἶναι τὸ [n]μέγεθος, ἐπὶ τὸ μεῖζον ἢ ἐπὶ τὸ ἔλαττον. [1]Ἔτι εἰ [o]πάντα μὲν ἐνυπάρχει 9
τὰ τοιαῦτα ἐν ἀλλήλοις, καὶ μὴ γίνεται ἀλλ' ἐκκρίνεται ἐνόντα, λέγεται δὲ ἀπὸ τοῦ πλείονος, γίνεται δὲ ἐξ ὁτουοῦν ὁτιοῦν, οἷον ἐκ σαρκὸς ὕδωρ ἐκκρινόμενον καὶ σὰρξ ἐξ ὕδατος, ἅπαν δὲ σῶμα πεπερασμένον ἀναιρεῖται ὑπὸ σώματος πεπερασμένου, φανερὸν ὅτι οὐκ ἐνδέχεται ἐν ἑκάστῳ ἕκαστον ὑπάρχειν. [1]Ἀφαιρεθείσης γὰρ ἐκ τοῦ ὕδατος σαρκός, καὶ 10
πάλιν ἄλλης [p]γινομένης ἐκ τοῦ λοιποῦ ἀποκρίσει, εἰ καὶ ἀεὶ ἐλάττων [q]ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ [r]ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι. [1]Ὥστ' εἰ μὲν στήσεται ἡ ἔκκρισις, οὐχ ἅπαν ἐν παντὶ ἐνέσται (ἐν γὰρ τῷ λοιπῷ ὕδατι οὐκ ἐνυπάρξει σάρξ), εἰ δὲ μὴ [s]στήσεται ἀλλ' ἀεὶ ἕξει ἀφαίρεσιν, ἐν [t]πεπερασμένῳ μεγέθει ἴσα πεπερασμένα ἐνέσται ἄπειρα τὸ πλῆθος· τοῦτο δ' ἀδύνατον. Πρὸς δὲ τούτοις, 11
εἰ ἅπαν μὲν σῶμα ἀφαιρεθέντος τινὸς ἔλαττον ἀνάγκη γίνεσθαι, τῆς δὲ σαρκὸς ὥρισται τὸ ποσὸν καὶ μεγέθει καὶ [v]μικρότητι, φανερὸν ὅτι ἐκ τῆς ἐλαχίστης σαρκὸς οὐθὲν ἐκκριθήσεται σῶμα· ἔσται γὰρ ἔλαττον τῆς ἐλαχίστης. [1]Ἔτι δ' ἐν τοῖς ἀπείροις σώμασιν ἐνυπάρχοι ἂν ἤδη σὰρξ ἄπειρος καὶ αἷμα καὶ ἐγκέφαλος, κεχωρισμένα μέντοι ἀπ' ἀλλήλων, οὐθὲν δ' ἧττον ὄντα, καὶ ἄπειρον ἕκαστον· τοῦτο δ' ἄλογον. Τὸ δὲ μηδέποτε διακριθήσεσθαι οὐκ εἰδότως 12
[w]μὲν λέγεται, ὀρθῶς δὲ λέγεται· τὰ γὰρ πάθη ἀχώριστα.

[h] σμικρότητα F.I. [i] ὁποιονοῦν F. [k] μόρια τοῦ ζώου F. [l] σ. ἢ] σ. καὶ F. [m] οὖν ὀπηλίκον E. [n] μέγεθος ἢ ἐπὶ F.I. [o] ἅπαντα F.I. [p] γενομένης E.I. [q] ἔσται om. I. [r] ὑπερβάλλει I. [s] σταθήσεται E. [t] πεπερασμένῳ—ἴσα om. E. [v] σμικρότητι F.I. [w] μὲν λέγει E.

Εἰ οὖν [x] ἐμέμικτο τὰ χρώματα καὶ αἱ ἕξεις, ἐὰν διακριθῶσιν, ἔσται τι λευκὸν [y] ἢ [z] ὑγιεινὸν οὐχ ἕτερόν τι ὂν οὐδὲ καθ' ὑποκειμένου. Ὥστε ἄτοπος τὰ ἀδύνατα ζητῶν ὁ νοῦς, εἴπερ βούλεται [a] μὲν διακρῖναι, τοῦτο δὲ ποιῆσαι [b] ἀδύνατον καὶ κατὰ [c] τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν, κατὰ μὲν τὸ ποσὸν ὅτι οὐκ ἔστιν ἐλάχιστον μέγεθος, κατὰ δὲ τὸ ποιὸν ὅτι ἀχώρι-
13 στα τὰ πάθη. Οὐκ ὀρθῶς δὲ οὐδὲ τὴν γένεσιν λαμβάνει τῶν ὁμοιοειδῶν. Ἔστι [d] μὲν γὰρ ὡς ὁ πηλὸς εἰς πηλοὺς διαιρεῖται, ἔστι δ' ὡς οὔ. Καὶ οὐχ ὁ αὐτὸς τρόπος, ὡς [e] πλίνθοι ἐξ οἰκίας καὶ οἰκία ἐκ πλίνθων, οὕτω δὲ καὶ ὕδωρ καὶ ἀὴρ ἐξ ἀλλήλων [f] καὶ εἰσὶ καὶ γίνονται. Βέλτιον [g] δ' ἐλάττω καὶ πεπερασμένα λαβεῖν, ὅπερ ποιεῖ Ἐμπεδοκλῆς.

5 Πάντες δὴ τἀναντία ἀρχὰς ποιοῦσιν οἵ τε λέγοντες ὅτι ἓν τὸ πᾶν καὶ μὴ κινούμενον (καὶ γὰρ Παρμενίδης θερμὸν καὶ ψυχρὸν ἀρχὰς ποιεῖ, ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν) καὶ οἱ μανὸν καὶ πυκνόν, καὶ Δημόκριτος [h] τὸ [i] στερεὸν καὶ κενόν, ὧν τὸ μὲν ὡς ὂν τὸ δ' ὡς οὐκ ὂν εἶναί φησιν· ἔτι
2 θέσει, σχήματι, τάξει. Ταῦτα δὲ γένη ἐναντίων· [k] θέσεως ἄνω κάτω, πρόσθεν ὄπισθεν, [l] σχήματος [m] γωνία [n] εὐθὺ περιφερές. Ὅτι μὲν οὖν τἀναντία πως πάντες ποιοῦσι τὰς ἀρχάς, δῆλον. Καὶ τοῦτο εὐλόγως· δεῖ γὰρ τὰς ἀρχὰς μήτε ἐξ ἀλλήλων εἶναι μήτε ἐξ ἄλλων, καὶ ἐκ τούτων πάντα· τοῖς δ' ἐναντίοις τοῖς πρώτοις ὑπάρχει ταῦτα, διὰ μὲν τὸ πρῶτα εἶναι μὴ ἐξ ἄλλων, διὰ δὲ τὸ ἐναντία μὴ ἐξ ἀλλήλων. Ἀλλὰ δεῖ τοῦτο καὶ ἐπὶ τοῦ λόγου σκέψασθαι πῶς συμβαίνει.
3 [o] Ληπτέον δὴ πρῶτον ὅτι [p] πάντων τῶν ὄντων οὐθὲν οὔτε ποιεῖν πέφυκεν οὔτε πάσχειν τὸ τυχὸν [q] ὑπὸ τοῦ τυχόντος, οὐδὲ γίνεται ὁτιοῦν ἐξ ὁτουοῦν, [r] ἂν μή τις λαμβάνῃ κατὰ

[x] *μέμικται* F.I. [y] *ἢ*] *καὶ* E. [z] *ὑγιαῖνον* E.I. [a] *μὲν αὐτὰ δ.* E. [b] *ἀδυνατεῖ* I. [c] *τὸ* primum et secundum om. E. [d] *μὲν* om. F.I. [e] *πλίνθος* E. [f] *καὶ* om. F. [g] *δ'*] *τε* E. [h] *τὸ* om. I. [i] *στερεὸν* corr. E, *πλῆρες* (*γρ. στερεὸν*) I. [k] *θέσειώς* I. [l] *σχήματι* I. [m] *γεγωνιωμένον* F.I. [n] *τὸ εὐθὺ τὸ π.* F. [o] *σκεπτέον* F, supra posito *λη*. [p] *ἀπάντων* F.I. [q] *ἀπὸ* I. [r] *ἐὰν* F.I.

συμβεβηκός· πῶς γὰρ ἂν γένοιτο [s]τὸ λευκὸν ἐκ [t]μουσικοῦ, πλὴν εἰ [v]μὴ συμβεβηκὸς εἴη [w]τῷ λευκῷ ἢ τῷ μέλανι τὸ μουσικόν; [1]Ἀλλὰ λευκὸν μὲν γίνεται [x]ἐξ οὐ λευκοῦ, καὶ τούτου οὐκ ἐκ παντὸς ἀλλ' ἐκ μέλανος ἢ τῶν μεταξύ, καὶ μουσικὸν οὐκ ἐκ μουσικοῦ, πλὴν οὐκ ἐκ παντὸς ἀλλ' ἐξ ἀμούσου ἢ εἴ τι αὐτῶν ἐστὶ μεταξύ. Οὐδὲ δὴ φθείρεται εἰς τὸ τυχὸν 4
πρῶτον, οἷον τὸ λευκὸν οὐκ εἰς [y]τὸ μουσικόν, πλὴν [z]εἰ μή ποτε κατὰ συμβεβηκός, ἀλλ' εἰς τὸ [a]μὴ λευκόν, [b]καὶ οὐκ εἰς τὸ τυχὸν ἀλλ' [c]εἰς τὸ μέλαν ἢ τὸ μεταξύ· ὡς [d]δ' αὕτως καὶ τὸ μουσικὸν [e]εἰς τὸ μὴ μουσικόν, καὶ τοῦτο οὐκ εἰς τὸ τυχὸν ἀλλ' εἰς τὸ ἄμουσον ἢ εἴ [f]τι αὐτῶν ἐστὶ μεταξύ. [1]Ὁμοίως δὲ [g]τοῦτο καὶ ἐπὶ τῶν ἄλλων, [h]ἐπεὶ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων ἀλλὰ σύνθετα κατὰ τὸν αὐτὸν ἔχει λόγον· ἀλλὰ διὰ τὸ μὴ τὰς ἀντικειμένας [k]διαθέσεις ὠνομάσθαι [l]λανθάνειν τοῦτο συμβαίνει. [1]Ἀνάγκη γὰρ πᾶν τὸ ἡρμοσμένον ἐξ 5
ἀναρμόστου γίνεσθαι καὶ τὸ ἀνάρμοστον ἐξ ἡρμοσμένου, καὶ φθείρεσθαι τὸ ἡρμοσμένον εἰς ἀναρμοστίαν, καὶ ταύτην [m]οὐ τὴν τυχοῦσαν ἀλλὰ τὴν ἀντικειμένην. Διαφέρει οὐθὲν ἐπὶ ἁρμονίας εἰπεῖν ἢ τάξεως ἢ συνθέσεως· φανερὸν γὰρ ὅτι ὁ αὐτὸς [n]λόγος. [1]Ἀλλὰ [o]μὴν καὶ οἰκία καὶ ἀνδριὰς καὶ ὁτιοῦν ἄλλο γίνεται ὁμοίως· ἥ τε γὰρ οἰκία γίνεται ἐκ τοῦ μὴ συγκεῖσθαι ἀλλὰ [p]διῃρῆσθαι [q]ταδὶ ὠδί, καὶ ὁ ἀνδριὰς καὶ τῶν ἐσχηματισμένων τι ἐξ ἀσχημοσύνης· καὶ ἕκαστον τούτων τὰ μὲν τάξις, τὰ δὲ σύνθεσίς τις ἐστίν. Εἰ [r]τοίνυν 6
τοῦτ' ἐστὶν ἀληθές, ἅπαν ἂν γίγνοιτο τὸ γιγνόμενον καὶ φθείροιτο τὸ φθειρόμενον ἢ ἐξ ἐναντίων ἢ [s]εἰς ἐναντία καὶ τὰ τούτων μεταξύ. Τὰ δὲ μεταξὺ ἐκ τῶν ἐναντίων ἐστίν,

[s] τὸ om. F. [t] μουσικῆς F. [v] μὴ κατὰ συμβ. I. [w] τῶι μὴ λευκῶι E. [x] οὐκ ἐκ I. [y] τὸ om. F.I. [z] εἰ μή] εἰκῆ F, εἴ I. [a] μὴ om. F. [b] καὶ] καὶ εἰς μὴ λευκὸν F.I. [c] ἢ εἰς τὸ E. [d] δ' om. F. [e] εἰς τὸ μὴ μουσικὸν om. E. [f] τι om. pr. F. [g] τούτω F. [h] ἐπεὶ] ἐπιτα pr. E. [k] ἀντιθέσεις F. [l] λανθάνει τοῦτο συμβαῖνον F.I. [m] οὐχὶ F.I. [n] λόγος ἐστίν. Ἀλλὰ I. [o] μὴν ὅτι καὶ F. [p] διαιρεῖσθαι F. [q] τάδε I. [r] τοίνυν] δὴ F. [s] εἰς] εἰς τὰ F.

οἷον [t] χρώματα ἐκ λευκοῦ καὶ μέλανος· ὥστε πάντ' ἂν εἴη τὰ φύσει γινόμενα ἢ ἐναντία ἢ ἐξ ἐναντίων. Μέχρι μὲν οὖν [v] τούτου σχεδὸν συνηκολουθήκασι καὶ τῶν ἄλλων οἱ πλεῖστοι, καθάπερ εἴπομεν πρότερον· πάντες γὰρ τὰ στοιχεῖα καὶ τὰς ὑπ' αὐτῶν καλουμένας ἀρχάς, καί περ ἄνευ λόγου τιθέντες, ὅμως τἀναντία λέγουσιν, ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας
7 ἀναγκασθέντες. Διαφέρουσι δ' ἀλλήλων τῷ τοὺς μὲν πρότερα τοὺς δ' ὕστερα λαμβάνειν, καὶ τοὺς μὲν γνωριμώτερα κατὰ τὸν λόγον τοὺς δὲ κατὰ τὴν αἴσθησιν· οἱ μὲν γὰρ θερμὸν καὶ ψυχρόν, οἱ δ' ὑγρὸν καὶ ξηρόν, ἕτεροι δὲ περιττὸν καὶ ἄρτιον, οἱ δὲ νεῖκος καὶ [w] φιλίαν αἰτίας τίθενται τῆς γενέσεως· ταῦτα [x] δ' ἀλλήλων διαφέρει κατὰ τὸν εἰρημένον τρόπον. [v]Ωστε ταὐτὰ λέγειν πως καὶ ἕτερα ἀλλήλων, ἕτερα μὲν ὥσπερ [y] καὶ δοκεῖ τοῖς πλείστοις, ταὐτὰ δὲ ᾗ ἀνάλογον· λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας· τὰ μὲν [z] γὰρ περιέχει, τὰ
8 δὲ περιέχεται τῶν ἐναντίων. Ταύτῃ [a] δὲ δὴ ὡσαύτως λέγουσι καὶ ἑτέρως, καὶ χεῖρον καὶ βέλτιον, καὶ οἱ μὲν γνωριμώτερα κατὰ τὸν λόγον, ὥσπερ εἴρηται πρότερον, οἱ δὲ κατὰ τὴν αἴσθησιν· τὸ μὲν γὰρ καθόλου κατὰ τὸν λόγον γνώριμον, τὸ δὲ καθ' ἕκαστον κατὰ τὴν αἴσθησιν· ὁ μὲν γὰρ λόγος τοῦ καθόλου, ἡ δ' αἴσθησις τοῦ κατὰ μέρος, οἷον τὸ [b] μὲν μέγα καὶ τὸ [c] μικρὸν κατὰ [d] τὸν λόγον, τὸ δὲ [e] πυκνὸν καὶ μανὸν κατὰ τὴν αἴσθησιν. [v]Οτι μὲν οὖν ἐναντίας δεῖ τὰς ἀρχὰς εἶναι, φανερόν.

6 [t]Ἐχόμενον δ' ἂν εἴη λέγειν πότερον δύο ἢ τρεῖς ἢ πλείους εἰσίν. [f] Μίαν μὲν γὰρ οὐχ οἷόν τε, ὅτι οὐχ ἓν [g] τὸ ἐναντίον, ἀπείρους δ', [h] ὅτι οὐκ ἐπιστητὸν τὸ [i] ὂν ἔσται. Μία τε ἐναντίωσις ἐν παντὶ γένει ἑνί, ἡ δ' οὐσία ἕν τι γένος. Καὶ ὅτι ἐνδέχεται ἐκ πεπερασμένων. Βέλτιον δ' ἐκ πεπερασμέ-

[t] χρῶμα F. [v] τούτου] ἐπὶ τοσοῦτον pr. E. [w] φιλίας I. [x] δ' om. I. [y] καὶ om. F. [z] γὰρ om. F. [a] δὲ] τε E. [b] μὲν om. F.I. [c] σμικρὸν I. [d] τὸν om. pr. E. [e] μανὸν καὶ τὸ πυκνὸν F.I. [f] μία I. [g] τὰ ἐναντία I. [h] ὅτι οὐκ] ὅτι οὐδὲ F, om. E. [i] ὂν ἔσται corr. I.

νων, [k] ὥσπερ [4]Εμπεδοκλῆς, ἢ ἐξ ἀπείρων· πάντα γὰρ ἀποδιδόναι οἴεται, [l] ὅσα περ [4]Αναξαγόρας ἐκ τῶν ἀπείρων. [4']Ετι 2
[m] δὲ ἐστὶν [n] ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ γίνεται ἕτερα ἐξ [o] ἄλλων, [p] οἷον γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν, τὰς δ' ἀρχὰς ἀεὶ δεῖ μένειν. [4'']Οτι μὲν οὖν [q] οὔτε μία οὔτε ἄπειροι, δῆλον ἐκ τούτων· ἐπεὶ δὲ πεπερασμέναι, τὸ μὴ ποιεῖν δύο μόνον ἔχει τινὰ λόγον· ἀπορήσειε γὰρ ἄν τις πῶς [r] ἢ ἡ πυκνότης τὴν μανότητα ποιεῖν [s] τι πέφυκεν ἢ αὕτη τὴν πυκνότητα. [t] [b]Ομοίως δὲ καὶ ἄλλη ὁποιαοῦν ἐναντιότης· 3
[v] οὐ γὰρ ἡ φιλία τὸ νεῖκος συνάγει καὶ ποιεῖ τι ἐξ αὐτοῦ, οὐδὲ τὸ νεῖκος ἐξ ἐκείνης, ἀλλ' ἄμφω ἕτερόν τι τρίτον. [4''']Ενιοι δὲ καὶ πλείω λαμβάνουσιν ἐξ ὧν κατασκευάζουσι τὴν τῶν ὄντων φύσιν. Πρὸς δὲ τούτοις ἔτι κἂν τόδε τις ἀπορήσειεν, εἰ μή τις ἑτέραν [w] ὑποτίθησι τοῖς ἐναντίοις φύσιν· οὐθενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τἀναντία. Τὴν δ' 4
ἀρχὴν [x] οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαί τινος. [4']Εσται γὰρ ἀρχὴ τῆς ἀρχῆς· τὸ γὰρ [y] ὑποκείμενον ἀρχή, καὶ πρότερον δοκεῖ τοῦ κατηγορουμένου εἶναι. [4']Ετι οὐκ εἶναί φαμεν [z] οὐσίαν ἐναντίαν οὐσίᾳ· πῶς οὖν ἐκ μὴ οὐσιῶν οὐσία ἂν εἴη; [4'']Η πῶς ἂν πρότερον μὴ οὐσία οὐσίας εἴη; Διόπερ εἴ τις τόν [a] τε πρότερον ἀληθῆ νομίσειεν εἶναι λόγον καὶ τοῦτον, ἀναγκαῖον, εἰ μέλλει [b] διασώσειν ἀμφοτέρους αὐτούς, ὑποτιθέναι τι τρίτον, ὥσπερ φασὶν οἱ μίαν τινὰ φύσιν εἶναι λέγοντες τὸ πᾶν, οἷον ὕδωρ ἢ πῦρ ἢ τὸ μεταξὺ τούτων. Δοκεῖ 5
δὲ τὸ μεταξὺ μᾶλλον· πῦρ γὰρ [c] δὴ καὶ γῆ καὶ ἀὴρ καὶ ὕδωρ μετ' [d] ἐναντιοτήτων συμπεπλεγμένα ἐστίν. Διὸ [e] καὶ οὐκ ἀλόγως ποιοῦσιν οἱ τὸ [f] ὑποκείμενον ἕτερον τούτων ποιοῦντες, τῶν δ' ἄλλων οἱ ἀέρα· καὶ γὰρ ὁ ἀὴρ ἥκιστα ἔχει τῶν

[k] ὥσπερ] ὡς ὁ F. [l] ὥσπερ F.I. [m] δὲ om. F. [n] ἄλλα ἀλλήλων πότερα E. [o] ἀλλήλων F.I. [p] οἷον] οἷον τὸ I, οἷον καὶ E. [q] οὐδεμία οὐδὲ I. [r] ἢ om. F.I. [s] τι om. I. [t] ὅμως pr. E. [v] οὔτε E. [w] ὑποθήσεται F. [x] οὐ om. I. [y] ὑποκενον pr. E. [z] οὐσία ἐναντίαν πῶς ἂν οὖν I. [a] τε om. pr. E. [b] διασώζων (ω altero corr.) I. [c] ἤδη E. [d] ἐναντιότητος F. [e] καὶ om. F.I. [f] ὑποκείμενον] περιέχον pr. E.

ἄλλων διαφορὰς αἰσθητάς· ἐχόμενον δὲ τὸ ὕδωρ. [t]Ἀλλὰ
πάντες γε τὸ ἓν τοῦτο τοῖς ἐναντίοις σχηματίζουσιν, [g] οἷον
6 πυκνότητι καὶ μανότητι καὶ τῷ μᾶλλον καὶ ἧττον. Ταῦτα
δ' ἐστὶν ὅλως [h] ὑπεροχὴ δηλονότι καὶ ἔλλειψις, ὥσπερ εἴρη-
ται πρότερον. Καὶ ἔοικε παλαιὰ εἶναι καὶ αὕτη ἡ δόξα, ὅτι
τὸ ἓν καὶ ὑπεροχὴ καὶ ἔλλειψις ἀρχαὶ τῶν ὄντων εἰσί, πλὴν
οὐ τὸν αὐτὸν τρόπον, ἀλλ' οἱ μὲν ἀρχαῖοι τὰ δύο μὲν ποιεῖν
τὸ δὲ ἓν πάσχειν, τῶν δ' [i] ὕστερόν τινες [k] τοὐναντίον τὸ μὲν
7 ἓν ποιεῖν τὰ δὲ δύο πάσχειν φασὶ μᾶλλον. Τὸ μὲν οὖν τρία
[l] φάναι τὰ στοιχεῖα εἶναι ἔκ τε τούτων καὶ ἐκ τοιούτων ἄλ-
λων ἐπισκοποῦσι δόξειεν ἂν ἔχειν τινὰ λόγον, ὥσπερ εἴπο-
μεν, τὸ δὲ πλείω τριῶν οὐκέτι· πρὸς [m] μὲν γὰρ τὸ πάσχειν
ἱκανὸν τὸ ἕν, εἰ δὲ τεττάρων ὄντων δύο ἔσονται ἐναντιώσεις,
δεήσει χωρὶς ἑκατέρας ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν·
εἰ δ' ἐξ ἀλλήλων [n] δύνανται γεννᾶν [o] δύο οὖσαι, περίεργος ἂν
ἡ ἑτέρα τῶν ἐναντιώσεων εἴη. [v]Αμα δὲ καὶ ἀδύνατον πλείους
8 εἶναι ἐναντιώσεις τὰς πρώτας. [r]Η γὰρ οὐσία ἕν τι γένος
ἐστὶ [p] τοῦ ὄντος, ὥστε [q] τῷ πρότερον καὶ ὕστερον διοίσουσιν
ἀλλήλων αἱ ἀρχαὶ μόνον, ἀλλ' οὐ τῷ γένει· ἀεὶ γὰρ ἐν ἑνὶ
γένει μία ἐναντίωσίς [r] ἐστιν, πᾶσαί [s] τε [t] αἱ ἐναντιώσεις ἀνά-
γεσθαι δοκοῦσιν εἰς μίαν. [v]Οτι μὲν οὖν οὔτε [v] ἓν τὸ στοι-
χεῖον οὔτε πλείω δυοῖν ἢ τριῶν, φανερόν· τούτων δὲ [w] πότε-
ρον, καθάπερ εἴπομεν, ἀπορίαν ἔχει πολλήν.

7 [x]Ωδ' οὖν [x] ἡμεῖς [y] λέγομεν πρῶτον περὶ πάσης γενέσεως
ἐπελθόντες· ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόν-
τας οὕτω τὰ περὶ ἕκαστον [z] ἴδια θεωρεῖν. Φαμὲν γὰρ γίνε-
σθαι ἐξ ἄλλου ἄλλο καὶ ἐξ ἑτέρου ἕτερον ἢ τὰ ἁπλᾶ λέγον-
τες ἢ τὰ συγκείμενα. Λέγω δὲ τοῦτο ὡδί. [a']Εστι [a] γὰρ
γίνεσθαι ἄνθρωπον μουσικόν, ἔστι δὲ τὸ μὴ μουσικόν [b] τι

[g] οἷον om. pr. E. [h] ὑπεροχή τε καὶ ἔλλειψις δηλονότι F. [i] ὑστέ-
ρων F.I. [k] τὸ ἐναντίον F. [l] φάσκειν E. [m] μὲν om. E. [n] δύνα-
ται F. [o] δύο οὖσαι om. F. [p] τοῦ ὄντος] ταυτὸ pr. E. [q] τὸ I.
[r] ἔστιν ἔτι πᾶσαι I. [s] δὲ F, om. I. [t] αἱ om. F.I. [v] ἓν στοι-
χεῖον F, ἓν τῶν στοιχείων I. [w] ὁπότερον I. [x] ἡμεῖς] ἡμεῖς γε F.I.
[y] λέγωμεν E. [z] ἰδία F. [a] γὰρ] γάρ που I. [b] τι om. E.

γίνεσθαι μουσικὸν ἢ τὸν μὴ μουσικὸν ἄνθρωπον ἄνθρωπον μουσικόν. [c]Ἁπλοῦν μὲν οὖν λέγω τὸ γιγνόμενον τὸν ἄνθρω- 2
πον καὶ τὸ μὴ μουσικὸν καὶ ὃ γίγνεται ἁπλοῦν, τὸ μουσικόν· συγκείμενον δὲ καὶ ὃ γίγνεται καὶ τὸ γιγνόμενον, ὅταν τὸν μὴ μουσικὸν ἄνθρωπον φῶμεν [d]γίγνεσθαι μουσικὸν [e]ἄνθρωπον. Τούτων δὲ τὸ μὲν οὐ μόνον λέγεται τόδε [f]τι γίγνεσθαι ἀλλὰ καὶ ἐκ [g]τοῦδε, οἷον ἐκ μὴ μουσικοῦ μουσικός, τὸ δ' οὐ λέγεται ἐπὶ πάντων· [h]οὐ γὰρ ἐξ ἀνθρώπου ἐγένετο μουσικός, ἀλλ' [i]ὁ ἄνθρωπος ἐγένετο μουσικός. Τῶν δὲ γι- 3
νομένων ὡς τὰ ἁπλᾶ λέγομεν γίγνεσθαι, τὸ μὲν ὑπομένον γίγνεται τὸ δ' οὐχ ὑπομένον· ὁ μὲν γὰρ ἄνθρωπος ὑπομένει μουσικὸς γινόμενος ἄνθρωπος καὶ ἔστι, τὸ δὲ [k]μὴ μουσικὸν καὶ τὸ ἄμουσον οὔτε ἁπλῶς οὔτε [l]συντιθέμενον ὑπομένει. Διωρισμένων δὲ τούτων, ἐξ ἁπάντων τῶν γιγνομένων τοῦτο ἔστι λαβεῖν, [m]ἐάν τις ἐπιβλέψῃ, ὥσπερ λέγομεν, ὅτι δεῖ τι ἀεὶ ὑποκεῖσθαι τὸ γινόμενον, καὶ τοῦτο εἰ [n]καὶ ἀριθμῷ ἐστὶν ἕν, [o]ἀλλ' εἴδει γε οὐχ ἕν· [p]τὸ γὰρ εἴδει λέγω καὶ λόγῳ ταὐτόν· οὐ γὰρ ταὐτὸν [q]τὸ ἀνθρώπῳ καὶ [r]τὸ ἀμούσῳ εἶναι. Καὶ τὸ μὲν ὑπομένει, τὸ δ' οὐχ ὑπομένει· τὸ μὲν μὴ [s]ἀντι- 4
κείμενον ὑπομένει (ὁ γὰρ ἄνθρωπος ὑπομένει), τὸ [t]μουσικὸν δὲ καὶ τὸ ἄμουσον οὐχ ὑπομένει, οὐδὲ τὸ ἐξ ἀμφοῖν συγκείμενον, οἷον [v]ὁ ἄμουσος ἄνθρωπος. Τὸ δ' ἔκ τινος γίγνεσθαί [w]τι καὶ [x]μὴ τόδε γίγνεσθαί τι μᾶλλον μὲν λέγεται ἐπὶ τῶν μὴ ὑπομενόντων, οἷον ἐξ ἀμούσου μουσικὸν γίνεσθαι, ἐξ ἀνθρώπου δὲ οὔ· [y]οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῶν ὑπομενόντων ἐνίοτε λέγεται ὡσαύτως· ἐκ γὰρ χαλκοῦ ἀνδριάντα γίγνεσθαί φαμεν, οὐ τὸν χαλκὸν ἀνδριάντα. Τὸ μέντοι ἐκ τοῦ ἀντικει- 5
μένου καὶ μὴ ὑπομένοντος ἀμφοτέρως λέγεται, καὶ ἐκ τοῦδε

[c] ἁπλοῦν μὲν οὖν om. E. [d] γίγνεσθαι ἢ μουσικὸν E. [e] ἄνθρωπον om. F. [f] τι om. E. [g] τούτου E. [h] οὐ γὰρ] οἷον E.F. [i] ὁ om. E. [k] μὴ] δὴ I, om. pr. E. [l] συντεθειμένων F.I. [m] ἄν F.I. [n] καὶ post εἰ om. F. [o] ἀλλ' οὐκ εἴδει ἕν I. [p] τῷ F. [q] τὸ primum om. F.I. [r] τῷ I. [s] ἀντικείμενον αὐτῷ ὑπ. E. [t] μουσικὸν δὲ] μὴ μουσικὸν F.I. [v] ὁ om. E. [w] τι—γίγνεσθαι om. pr. E. [x] μὴ] τὸ μὴ rc. E. [y] οὐ μὴν ἀλλὰ] ἀλλὰ μὴν I, et rc. E.

τόδε καὶ τόδε τόδε· καὶ γὰρ ἐξ ἀμούσου καὶ ὁ ἄμουσος γίνεται μουσικός. Διὸ καὶ ἐπὶ τοῦ συγκειμένου ὡσαύτως· καὶ γὰρ ἐξ ἀμούσου ἀνθρώπου καὶ [z] ὁ ἄμουσος ἄνθρωπος [a] γί-
6 γνεσθαι λέγεται μουσικός. Πολλαχῶς [b] δὲ λεγομένου τοῦ γίγνεσθαι, καὶ τῶν μὲν οὐ γίγνεσθαι ἀλλὰ τόδε τι γίγνεσθαι, ἁπλῶς δὲ γίγνεσθαι τῶν οὐσιῶν [c] μόνον, κατὰ μὲν τἆλλα φανερὸν ὅτι ἀνάγκη ὑποκεῖσθαί τι τὸ γιγνόμενον· καὶ γὰρ ποσὸν καὶ ποιὸν καὶ πρὸς ἕτερον καὶ ποτὲ καὶ ποῦ γίνεται ὑποκειμένου τινὸς διὰ τὸ μόνην τὴν οὐσίαν μηθενὸς κατ' ἄλλου λέγεσθαι ὑποκειμένου, τὰ δ' ἄλλα πάντα κατὰ τῆς οὐσίας· ὅτι δὲ [d] καὶ αἱ οὐσίαι καὶ ὅσα ἄλλα ἁπλῶς ὄντα
[e] ἐξ ὑποκειμένου τινὸς γίνεται, ἐπισκοποῦντι γένοιτ' ἂν φα-
7 νερόν. [f] Αεὶ γὰρ ἔστι τι ὃ ὑπόκειται, ἐξ οὗ [g] γίνεται τὸ γιγνόμενον, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα ἐκ σπέρματος. Γίγνεται δὲ τὰ [h] γιγνόμενα ἁπλῶς τὰ μὲν μετασχηματίσει, οἷον ἀνδριὰς [i] ἐκ χαλκοῦ, τὰ δὲ προσθέσει, οἷον τὰ αὐξανόμενα, τὰ δ' ἀφαιρέσει, οἷον ἐκ τοῦ λίθου [k] ὁ [l] Ἑρμῆς, τὰ δὲ συνθέσει, οἷον οἰκία, τὰ δ' ἀλλοιώσει, οἷον τὰ τρεπόμενα [l] κατὰ
8 τὴν ὕλην. Πάντα δὲ τὰ οὕτω γινόμενα φανερὸν ὅτι ἐξ ὑποκειμένων γίνεται. [m] Ὥστε δῆλον ἐκ τῶν εἰρημένων ὅτι τὸ γινόμενον [m] ἅπαν ἀεὶ σύνθετόν ἐστι, καὶ ἔστι [n] μέν τι γινόμενον, ἔστι δέ τι ὃ τοῦτο γίνεται, καὶ τοῦτο διττόν· ἢ γὰρ τὸ ὑποκείμενον ἢ τὸ ἀντικείμενον. Λέγω δὲ ἀντικεῖσθαι μὲν τὸ ἄμουσον, ὑποκεῖσθαι δὲ τὸν ἄνθρωπον, καὶ τὴν μὲν ἀσχημοσύνην καὶ τὴν ἀμορφίαν [o] ἢ [p] τὴν ἀταξίαν τὸ ἀντικείμενον, τὸν δὲ χαλκὸν ἢ τὸν λίθον ἢ τὸν χρυσὸν τὸ ὑποκείμενον.
9 Φανερὸν οὖν ὡς, εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων, ἐξ ὧν πρώτων εἰσί, [q] καὶ γεγόνασι μὴ κατὰ συμβεβηκὸς ἀλλ' ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν, ὅτι γίγνεται
[r] πᾶν ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς· σύγκειται γὰρ

[z] ὁ om. A. [a] λέγεται γίγνεσθαι I. [b] δὴ F. [c] μόνων I. [d] καὶ οὐσία I. [e] ἐξ ὑποκειμένου τινὸς in litura E. [f] ἀεὶ I. [g] γίνεται om. E. [h] τὰ om. pr. E. [i] ἐκ χαλκοῦ om. E.F. [k] ὁ om. E. [l] κατὰ] καὶ κατὰ E. [m] ἅπαν om. F. [n] μέν τι] μέντοι I. [o] ἢ] καὶ E. [p] τὴν om. F.I. [q] καὶ] ἢ E. [r] ἅπαν I.

ὁ μουσικὸς ἄνθρωπος ἐξ ἀνθρώπου καὶ μουσικοῦ τρόπον τινά· διαλύσεις γὰρ τοὺς [s]λόγους εἰς τοὺς λόγους τοὺς [t]ἐκείνων. Δῆλον οὖν ὡς γίνοιτ' ἂν τὰ γιγνόμενα ἐκ τούτων.

[u]Ἔστι δὲ [v]τὸ ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο. [b]Ὁ μὲν γὰρ ἄνθρωπος καὶ ὁ χρυσὸς καὶ ὅλως [w]ἡ ὕλη ἀριθμητή· τόδε [x]γάρ τι μᾶλλον, καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γιγνόμενον· [y]ἡ δὲ στέρησις καὶ ἡ ἐναντίωσις συμβεβηκός· ἓν δὲ τὸ εἶδος, οἷον ἡ τάξις ἢ ἡ μουσικὴ ἢ τῶν ἄλλων τι τῶν οὕτω κατηγορουμένων. Διὸ ἔστι μὲν ὡς δύο λεκτέον εἶναι [z]τὰς ἀρχάς, ἔστι δ' ὡς τρεῖς· καὶ ἔστι μὲν ὡς τἀναντία, οἷον εἴ τις λέγοι τὸ μουσικὸν καὶ τὸ ἄμουσον ἢ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἢ τὸ ἡρμοσμένον καὶ [a]τὸ ἀνάρμοστον, ἔστι δ' ὡς οὔ· ὑπ' ἀλλήλων γὰρ πάσχειν τἀναντία ἀδύνατον. Λύεται δὲ καὶ τοῦτο διὰ τὸ ἄλλο εἶναι τὸ ὑποκείμενον· τοῦτο γὰρ οὐκ ἐναντίον. [u]Ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινά, ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ, οὔτ' αὖ παντελῶς δύο διὰ τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐτοῖς, ἀλλὰ τρεῖς· ἕτερον [d]γὰρ τῷ ἀνθρώπῳ καὶ τῷ ἀμούσῳ [c]τὸ εἶναι, καὶ [d]τῷ ἀσχηματίστῳ καὶ χαλκῷ. Πόσαι μὲν [e]οὖν [f]αἱ ἀρχαὶ τῶν περὶ γένεσιν φυσικῶν, καὶ πῶς πόσαι, [g]εἴρηται· καὶ δῆλόν [h]ἐστιν ὅτι δεῖ [i]ὑποκεῖσθαί τι τοῖς ἐναντίοις καὶ τἀναντία δύο εἶναι. Τρόπον δέ τινα ἄλλον οὐκ ἀναγ- καῖον· ἱκανὸν γὰρ ἔσται τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ ἀπουσίᾳ καὶ παρουσίᾳ τὴν μεταβολήν. [k]Ἡ δ' ὑποκειμένη φύσις ἐπιστητὴ κατ' ἀναλογίαν. [k]Ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς ἢ πρὸς κλίνην ξύλον ἢ πρὸς [l]τῶν ἄλλων τι τῶν ἐχόντων μορφὴν ἡ ὕλη καὶ τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὕτη πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι καὶ τὸ ὄν. Μία μὲν οὖν ἀρχὴ αὕτη, οὐχ οὕτω μία οὖσα οὐδὲ οὕτως [m]ἓν ὡς τὸ τόδε τι, μία δὲ ᾗ ὁ λόγος, ἔτι δὲ τὸ ἐναντίον

[s] λόγους εἰς] ὅρους εἰς E. [t] ἐκείνου I. [v] τὸ μὲν ὑπ. E. [w] ἡ om. E. [x] τι γὰρ F. [y] ἡ δὲ—συμβεβηκός om. I. [z] τὰς ἀρχὰς om. E. [a] τὸ tertium om E. [b] γὰρ τῷ] γὰρ τὸ E. [c] τὸ om. pr. E. [d] τὸ E. [e] οὖν εἰσὶν αἱ E. [f] αἱ om. I. [g] εἴρηνται E. [h] ἔσται F. [i] τι ὑποκεῖσθαι F. [k] ὥσπερ E. [l] τῶν om. F. [m] ἓν] ὂν E.

τούτῳ ἡ στέρησις. Ταῦτα [n]δὲ πῶς δύο καὶ πῶς πλείω, εἴρηται ἐν τοῖς [o]ἄνω. Πρῶτον μὲν οὖν ἐλέχθη [p]ὅτι ἀρχαὶ τἀναντία μόνον, ὕστερον δ' ὅτι ἀνάγκη καὶ ἄλλο τι ὑποκεῖσθαι καὶ εἶναι τρία· ἐκ δὲ τῶν νῦν φανερὸν τίς ἡ διαφορὰ τῶν ἐναντίων, καὶ πῶς ἔχουσιν αἱ ἀρχαὶ πρὸς ἀλλήλας, καὶ τί τὸ ὑποκείμενον. Πότερον δὲ οὐσία τὸ εἶδος ἢ τὸ ὑποκείμενον, οὔπω δῆλον. [t]Αλλ' ὅτι αἱ ἀρχαὶ τρεῖς καὶ πῶς [q]τρεῖς, καὶ [r]τίς ὁ τρόπος αὐτῶν, δῆλον. Πόσαι μὲν οὖν καὶ τίνες εἰσὶν αἱ ἀρχαί, ἐκ τούτων [s]θεωρείσθωσαν.

8 [v]Ὅτι δὲ μοναχῶς οὕτω λύεται καὶ ἡ τῶν ἀρχαίων ἀπορία, [t]λέγομεν μετὰ ταῦτα. Ζητοῦντες γὰρ οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀλήθειαν καὶ τὴν φύσιν [v]τὴν τῶν ὄντων ἐξετράπησαν οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ [w]ἀπειρίας, καὶ φασὶν οὔτε γίνεσθαι τῶν ὄντων οὐδὲν οὔτε φθείρεσθαι διὰ τὸ ἀναγκαῖον μὲν εἶναι γίγνεσθαι τὸ γιγνόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος, ἐκ δὲ τούτων ἀμφοτέρων ἀδύνατον εἶναι· οὔτε γὰρ τὸ ὂν [x]γίνεσθαι (εἶναι γὰρ ἤδη) ἔκ τε μὴ ὄντος οὐδὲν
2 ἂν γενέσθαι· ὑποκεῖσθαι γάρ τι δεῖ. Καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες οὐδ' εἶναι πολλά φασιν ἀλλὰ μόνον αὐτὸ τὸ ὄν. [t]Ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν δόξαν διὰ τὰ εἰρημένα· ἡμεῖς δὲ λέγομεν ὅτι τὸ ἐξ ὄντος ἢ [y]ἐκ μὴ ὄντος γίνεσθαι, ἢ [z]τὸ μὴ ὂν ἢ τὸ ὂν ποιεῖν [a]τι [b]ἢ πάσχειν ἢ ὁτιοῦν τόδε γίνεσθαι, ἕνα μὲν τρόπον οὐδὲν διαφέρει ἢ τὸ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν ἢ [c]τὸ ἐξ ἰατροῦ εἶναί τι ἢ γίγνεσθαι, ὥστ' ἐπειδὴ τοῦτο [d]διχῶς λέγεται, δῆλον ὅτι καὶ
3 τὸ ἐξ ὄντος καὶ τὸ [e]ὂν ἢ ποιεῖν ἢ πάσχειν. Οἰκοδομεῖ μὲν [f]οὖν ὁ ἰατρὸς οὐχ ᾗ ἰατρὸς ἀλλ' ᾗ οἰκοδόμος, καὶ λευκὸς γίνεται οὐχ ᾗ ἰατρὸς ἀλλ' ᾗ μέλας· ἰατρεύει δὲ καὶ ἀνίατρος γίνεται ᾗ ἰατρός. [t]Ἐπεὶ δὲ μάλιστα λέγομεν κυρίως τὸν

[n] δὲ alterum om. pr. E. [o] ἄνωθεν E. [p] ὅτι αἱ ἀρχαὶ E. [q] τρεῖς om. F. [r] ὁ τρόπος τίς E. [s] θεωρήσθωσαν I, θεωρείσθω F. [t] λέγωμεν E.I. [v] τὴν ante τῶν om. E. [w] ἀπορίας E. [x] γίγνεσθαι pr. E. [y] ἐκ om. E. [z] τὸ ὂν ἢ τὸ μὴ ὂν F. [a] τι om. pr. E. [b] ἢ om. E. [c] τὸ ante ἐξ om. E. [d] διχῶς ἢ πλεοναχῶς λέγεται E. [e] ὂν ποιεῖν τι ἢ F. [f] οὖν om. F.

ἰατρὸν ποιεῖν τι ἢ πάσχειν ἢ γίγνεσθαι ἐξ ἰατροῦ, ἐὰν ᾖ ἰατρὸς ταῦτα πάσχῃ ἢ ποιῇ [g]ἢ γίνηται, δῆλον ὅτι καὶ τὸ [h]μὴ ἐξ ὄντος γίγνεσθαι [i]τοῦτο σημαίνει τὸ ᾗ μὴ ὄν. [v]Ὅπερ 4
ἐκεῖνοι [k]μὲν οὐ διελόντες ἀπέστησαν, καὶ διὰ ταύτην τὴν ἄγνοιαν τοσοῦτον προσηγνόησαν, ὥστε μηθὲν οἴεσθαι γίγνεσθαι μηδὲ εἶναι τῶν ἄλλων, ἀλλ' ἀνελεῖν πᾶσαν [l]τὴν γένεσιν. [t]Ἡμεῖς δὲ καὶ αὐτοί φαμεν γίγνεσθαι μὲν [m]οὐδὲν ἁπλῶς ἐκ μὴ ὄντος, [n]ὅμως μέντοι γίγνεσθαι ἐκ μὴ ὄντος, οἷον κατὰ συμβεβηκός· ἐκ γὰρ τῆς στερήσεως, ὅ ἐστι καθ' αὐτὸ μὴ ὄν, οὐκ ἐνυπάρχοντος γίγνεταί [o]τι. Θαυμάζεται δὲ τοῦτο καὶ ἀδύνατον [p]οὕτω δοκεῖ, γίγνεσθαί τι ἐκ μὴ ὄντος. [t]Ωσαύτως δὲ οὐδ' ἐξ ὄντος οὐδὲ τὸ ὂν γίγνεσθαι, 5
πλὴν κατὰ συμβεβηκός· οὕτω δὲ καὶ τοῦτο γίγνεσθαι [q]τὸν αὐτὸν τρόπον, οἷον εἰ ἐκ ζῴου [r]ζῷον γίγνοιτο [s]καὶ ἐκ τινὸς ζῴου τι ζῷον, οἷον εἰ κύων ἐξ [t]ἵππου γίγνοιτο. Γίγνοιτο [v]μὲν γὰρ ἂν οὐ μόνον ἐκ τινὸς ζῴου ὁ κύων, ἀλλὰ καὶ ἐκ ζῴου, ἀλλ' οὐχ ᾗ ζῷον· ὑπάρχει γάρ ἤδη τοῦτο· εἰ δέ τι μέλλει γίγνεσθαι ζῷον μὴ κατὰ συμβεβηκός, οὐκ ἐκ ζῴου ἔσται, καὶ εἴ τι ὄν, οὐκ ἐξ ὄντος, οὐδ' ἐκ μὴ ὄντος· τὸ γὰρ ἐκ μὴ ὄντος εἴρηται [w]ἡμῖν τί σημαίνει, ὅτι ᾗ μὴ ὄν. [u]Ἔτι 6
δὲ καὶ τὸ εἶναι ἅπαν ἢ [x]τὸ μὴ εἶναι οὐκ ἀναιροῦμεν. Εἷς μὲν δὴ τρόπος οὗτος, ἄλλος δ' ὅτι ἐνδέχεται [y]ταὐτὰ λέγειν [z]κατὰ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν· τοῦτο δ' ἐν ἄλλοις διώρισται δι' ἀκριβείας μᾶλλον. [u]Ὡσθ' (ὅπερ [a]ἐλέγομεν) αἱ ἀπορίαι λύονται δι' ἃς ἀναγκαζόμενοι ἀναιροῦσι τῶν εἰρημένων ἔνια· διὰ [b]γὰρ τοῦτο τοσοῦτον καὶ οἱ πρότερον ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἐπὶ [c]τὴν γένεσιν καὶ φθορὰν καὶ ὅλως μεταβολήν· αὕτη γὰρ ἂν ὀφθεῖσα ἡ φύσις [d]ἔλυσεν αὐτῶν πᾶσαν τὴν ἄγνοιαν.

[g] ἢ γίνηται om. F.I. [h] ἐκ μὴ E. [i] τοῦτο] καὶ τοῦτο F. [k] μὲν om. F. [l] τὴν om. E. [m] μηθὲν E. [n] ὅπως E. [o] τι om. F. [p] δοκεῖ οὕτω F. [q] τὸν] κατὰ τὸν E. [r] ζῶον ἂν γ. F.I. et rc. E. [s] καὶ] καὶ εἰ I. [t] ἵππου γίγνοιτο] ἵππου γένοιτο E. [v] μὲν om. F. [w] ἡμῖν corr. I. [x] τὸ post ἢ om. E. [y] ταὐτὰ] ταῦτα ταυτὰ E, ταῦτα F. [z] κατὰ] καὶ κατὰ I. [a] λέγομεν I. [b] γὰρ] γάρ τοι I. [c] τὴν om. E. [d] ἅπασαν ἔλυσεν αὐτῶν ταύτην τὴν F.I.

9 [a]Ημμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς, ἀλλ' οὐχ ἱκανῶς. Πρῶτον μὲν γὰρ ὁμολογοῦσιν ἁπλῶς γίνεσθαι [e]ἐκ μὴ ὄντος, ᾗ Παρμενίδην ὀρθῶς λέγειν· εἶτα φαίνεται αὐτοῖς, εἴπερ ἐστὶν ἀριθμῷ μία, καὶ δυνάμει [f]μία [g]μόνον εἶναι. Τοῦτο δὲ διαφέρει πλεῖστον. [a]Ημεῖς μὲν γὰρ ὕλην καὶ στέρησιν ἕτερόν [h]φαμεν εἶναι, καὶ τούτων [i]τὸ μὲν [k]οὐκ ὂν εἶναι κατὰ συμβεβηκός, τὴν ὕλην, τὴν δὲ στέρησιν καθ' αὑτήν, καὶ τὴν μὲν ἐγγὺς [l]καὶ οὐσίαν πως, τὴν ὕλην, τὴν δὲ
2 [m]στέρησιν οὐδαμῶς. Οἱ δὲ τὸ μὴ ὂν τὸ μέγα καὶ τὸ μικρὸν ὁμοίως, ἢ τὸ συναμφότερον ἢ τὸ χωρὶς ἑκάτερον. [v]Ωστε παντελῶς ἕτερος ὁ τρόπος οὗτος τῆς τριάδος κἀκεῖνος. Μέχρι μὲν γὰρ δεῦρο προῆλθον, ὅτι δεῖ τινὰ ὑποκεῖσθαι φύσιν, ταύτην μέντοι μίαν ποιοῦσιν· καὶ γὰρ εἴ τις δυάδα ποιεῖ, λέγων μέγα καὶ [n]μικρὸν [o]αὐτήν, οὐθὲν ἧττον [p]ταὐτὸ ποιεῖ·
3 τὴν γὰρ ἑτέραν [q]παρεῖδεν. [a]Η μὲν γὰρ ὑπομένουσα συναιτία τῇ μορφῇ τῶν γινομένων ἐστίν, ὥσπερ μήτηρ· ἡ δ' ἑτέρα μοῖρα τῆς ἐναντιώσεως πολλάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν οὐδ' εἶναι τὸ παράπαν· ὄντος γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, τὸ μὲν ἐναντίον αὐτῷ φαμὲν εἶναι, τὸ δὲ [r]ὃ πέφυκεν ἐφίεσθαι καὶ
4 ὀρέγεσθαι αὐτοῦ κατὰ τὴν [s]ἑαυτοῦ φύσιν. Τοῖς δὲ συμβαίνει τὸ ἐναντίον ὀρέγεσθαι τῆς [t]ἑαυτοῦ φθορᾶς. Καίτοι οὔτε αὐτὸ [v]ἑαυτοῦ οἷόν τε ἐφίεσθαι τὸ εἶδος διὰ τὸ μὴ εἶναι ἐνδεές, οὔτε τὸ ἐναντίον· φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία. [a]Αλλὰ τοῦτ' ἔστιν ἡ ὕλη, ὥσπερ ἂν εἰ [w]θῆλυ ἄρρενος καὶ αἰσχρὸν καλοῦ· πλὴν οὐ καθ' αὑτὸ αἰσχρόν, ἀλλὰ κατὰ συμ-
5 βεβηκός, [x]οὐδὲ θῆλυ, ἀλλὰ κατὰ συμβεβηκός. Φθείρεται δὲ καὶ γίνεται ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ. [a]Ως μὲν γὰρ τὸ ἐν ᾧ, καθ' αὑτὸ φθείρεται· τὸ [y]γὰρ φθειρόμενον ἐν τούτῳ

[e] ἐκ] τι ἐκ I. [f] μόνον μίαν F. [g] μόνον corr. E. [h] εἶναί φαμεν F.I. [i] τὸ] τὴν F. [k] οὐκ ὂν οὐκ εἶναι E in litura. [l] καὶ om. I. [m] στέρησιν om. pr. E. [n] σμικρὸν I. [o] αὐτὸ F. [p] ταυτὸν F.I. [q] παρεῖδε τὴν στέρησιν ἡ I. [r] ὃ om. F. [s] αὐτοῦ F.I. [t] αὐτοῦ E.F. [v] αὐτοῦ E. [w] θῆλυ] θῆλυ καὶ F. [x] οὐδὲ—συμβεβηκός om. F. [y] φθειρόμενον γὰρ I.

ἐστὶν ἡ στέρησις· ὡς δὲ [z]κατὰ δύναμιν, οὐ καθ' αὑτό, ἀλλ' ἄφθαρτον καὶ [a]ἀγένητον ἀνάγκη αὐτὴν εἶναι. Εἴτε γὰρ ἐγίγνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον, [b]τὸ ἐξ οὗ ἐνυπάρχοντος· τοῦτο δ' ἐστὶν [c]αὐτὴ ἡ φύσις, ὥστ' ἔσται πρὶν γενέσθαι. Λέγω γὰρ ὕλην τὸ πρῶτον ὑποκείμενον ἑκάστῳ, ἐξ οὗ γίνε- 6
ταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός. Εἴτε φθείρεται, [d]εἰς τοῦτο ἀφίξεται ἔσχατον, ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι. Περὶ δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, πότερον μία ἢ πολλαὶ καὶ τίς ἢ τίνες εἰσί, δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας [e]ἔργον ἐστὶ διορίσαι, [f]ὥστε εἰς ἐκεῖνον τὸν καιρὸν [g]ἀποκείσθω. Περὶ δὲ τῶν φυσικῶν καὶ [h]τῶν φθαρτῶν εἰδῶν ἐν τοῖς ὕστερον δεικνυμένοις ἐροῦμεν. [v]Οτι μὲν οὖν εἰσὶν ἀρχαί, καὶ τίνες, καὶ πόσαι τὸν ἀριθμόν, διωρίσθω [i]ἡμῖν οὕτως· πάλιν δὲ [k]ἄλλην ἀρχὴν ἀρξάμενοι [l]λέγωμεν.

B.

Τῶν ὄντων τὰ μέν ἐστι φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας, 1
φύσει [m]μὲν τά τε ζῷα καὶ τὰ μέρη αὐτῶν καὶ τὰ φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, οἷον [n]γῆ καὶ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ· ταῦτα γὰρ εἶναι καὶ τὰ τοιαῦτα φύσει φαμέν. Πάντα δὲ τὰ [o]ῥηθέντα φαίνεται διαφέροντα πρὸς τὰ μὴ φύσει συνεστῶτα. [p]Τὰ μὲν γὰρ φύσει ὄντα πάντα φαίνεται ἔχοντα 2
ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ στάσεως, τὰ μὲν κατὰ τόπον, τὰ δὲ κατ' αὔξησιν καὶ φθίσιν, τὰ δὲ κατ' ἀλλοίωσιν· κλίνη δὲ καὶ ἱμάτιον, [q]καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν, ᾗ μὲν τετύχηκε τῆς κατηγορίας ἑκάστης καὶ καθ' ὅσον ἐστὶν ἀπὸ τέχνης, οὐδεμίαν ὁρμὴν ἔχει μεταβολῆς ἔμφυτον, ᾗ δὲ συμβέβηκεν αὐτοῖς [r]εἶναι λιθίνοις ἢ γηΐνοις ἢ μικτοῖς ἐκ τούτων,

[z] κατὰ τὴν δ. I. [a] ἀγέννητον I. [b] τὸ om. E. [c] αὐτῆς I. [d] εἰς] τι εἰς F. [e] ἐστὶν ἔργον F. [f] ὡς E. [g] ἀποσοβείσθω I. [h] τῶν post καὶ om. E. [i] ἡμῶν F. [k] ἄλλην om. pr. E. [l] λέγομεν. Τῶν γὰρ ὄντων τὰ μέν ἐστι φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας E. [m] μὲν] δέ φαμεν εἶναι E. [n] γῆν καὶ πῦρ καὶ ὕδωρ καὶ ἀέρα E. [o] ῥηθέντα corr. E. [p] τὰ μὲν—ἀρχὴν] τούτων μὲν γὰρ ἕκαστον ἐν ἑαυτῷ ἀρχὴν ἔχει E. [q] καὶ εἴ] ἤ E. [r] εἶναι post γηΐνοις F.I.

ἔχει, [s] καὶ κατὰ [t] τοσοῦτον, ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινὸς καὶ αἰτίας [v] τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως
3 καθ' [w] αὐτὸ καὶ μὴ [x] κατὰ συμβεβηκός. Λέγω δὲ τὸ μὴ κατὰ συμβεβηκός, ὅτι γένοιτ' ἂν αὐτὸς [y] αὑτῷ [z] τις αἴτιος ὑγιείας ὢν ἰατρός· ἀλλ' ὅμως οὐ [a] καθὸ ὑγιάζεται τὴν ἰατρικὴν ἔχει, ἀλλὰ συμβέβηκε τὸν αὐτὸν ἰατρὸν εἶναι καὶ ὑγιαζόμενον· διὸ καὶ χωρίζεταί ποτ' [b] ἀπ' ἀλλήλων. Ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων· οὐδὲν γὰρ αὐτῶν ἔχει τὴν ἀρχὴν [c] ἐν ἑαυτῷ τῆς ποιήσεως, ἀλλὰ τὰ μὲν ἐν ἄλλοις καὶ ἔξωθεν, οἷον οἰκία καὶ τῶν ἄλλων τῶν χειροκμήτων ἕκαστον, τὰ δ' ἐν αὐτοῖς μὲν ἀλλ' οὐ καθ' [d] αὑτά, ὅσα κατὰ
4 συμβεβηκὸς αἴτια γένοιτ' ἂν αὐτοῖς. Φύσις μὲν οὖν ἐστὶ τὸ ῥηθέν· φύσιν δὲ ἔχει [e] ὅσα τοιαύτην ἔχει ἀρχήν. Καὶ ἔστι [f] πάντα ταῦτα οὐσία· ὑποκείμενον γάρ τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί. Κατὰ φύσιν δὲ ταῦτά τε καὶ ὅσα τούτοις ὑπάρχει καθ' αὑτά, οἷον τῷ [g] πυρὶ φέρεσθαι ἄνω· τοῦτο γὰρ φύσις μὲν οὐκ ἔστιν, οὐδ' ἔχει φύσιν, φύσει δὲ [h] καὶ κατὰ φύσιν ἐστίν. Τί μὲν οὖν [i] ἐστὶν ἡ φύσις, εἴρηται, καὶ τί τὸ φύσει [k] καὶ κατὰ φύσιν. Ὡς δ' ἔστιν ἡ φύσις, πειρᾶσθαι δεικνύναι γελοῖον· φανερὸν γὰρ ὅτι τοιαῦτα τῶν ὄντων
5 ἐστὶ πολλά. Τὸ δὲ δεικνύναι τὰ φανερὰ διὰ τῶν ἀφανῶν οὐ δυναμένου κρίνειν ἐστὶ τὸ δι' αὐτὸ καὶ μὴ δι' αὐτὸ γνώριμον. Ὅτι δ' ἐνδέχεται τοῦτο πάσχειν, οὐκ ἄδηλον· συλλογίσαιτο γὰρ ἄν τις ἐκ γενετῆς [l] ὢν τυφλὸς περὶ χρωμάτων, ὥστε ἀνάγκη τοῖς τοιούτοις περὶ τῶν ὀνομάτων εἶναι τὸν λόγον, νοεῖν δὲ μηδέν. Δοκεῖ δ' ἡ φύσις καὶ [m] ἡ οὐσία [n] τῶν φύσει ὄντων [o] ἐνίοις εἶναι τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ ἀρ-

[s] καὶ om. F.I. [t] τοσοῦτον ἀρχὴν κινήσεως καὶ στάσεως ὡς I. [v] τοῦ om. E. [w] ἑαυτὸ F.I. [x] κατὰ om. E. [y] ἑαυτῷ F.I. [z] τις om. F. [a] καθότι E. [b] ἀπ' om. I. [c] τῆς ποιήσεως ἐν αὐτῷ F. [d] ἑαυτὰ F.I. [e] ὅσα τὴν τ. I. [f] ταῦτα πάντα F.I. [g] πυρὶ τὸ φ. F.I. [h] καὶ om. E. [i] ἡ φύσις ἐστὶν I, φύσις ἐστιν F. [k] καὶ ante κατὰ om. pr. E. [l] τυφλὸς ὢν F. [m] ἡ post καὶ om. F. [n] τῶν] ἡ τῶν fortasse E, qui τῶν φύσει ὄντων ἐστὶ τὸ πρῶτον ἐνυπάρχον rc. in litura. [o] ἐνίοις εἶναι om. F.

ῥύθμιστον καθ' ἑαυτό, οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. Σημεῖον δέ φησιν Ἀντιφῶν ὅτι, εἴ τις κατο- 6
ρύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστε ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην ἀλλὰ ξύλον, ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν [p] κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην, τὴν δ' οὐσίαν οὖσαν ἐκείνην ἥ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς. Εἰ δὲ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν 7
τι ταὐτὸ τοῦτο πέπονθεν, οἷον ὁ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁτιοῦν, [q] ἐκεῖνα τὴν φύσιν εἶναι καὶ τὴν οὐσίαν αὐτῶν. Διόπερ οἱ μὲν [r] γῆν, οἱ δὲ πῦρ, οἱ δ' ἀέρα φασίν, οἱ δὲ ὕδωρ, οἱ δ' ἔνια τούτων, οἱ δὲ πάντα ταῦτα τὴν φύσιν εἶναι τὴν τῶν ὄντων. [s] Ὁ γάρ τις αὐτῶν ὑπέλαβε τοιοῦτον, 8
εἴτε ἓν εἴτε πλείω, τοῦτο καὶ τοσαυτά [s] φησιν εἶναι τὴν ἅπασαν οὐσίαν, τὰ δὲ ἄλλα πάντα πάθη τούτων [t] καὶ ἕξεις καὶ διαθέσεις. Καὶ τούτων μὲν ὁτιοῦν εἶναι ἀΐδιον (οὐ γὰρ εἶναι μεταβολὴν αὐτοῖς ἐξ [v] αὐτῶν), τὰ δ' ἄλλα γίγνεσθαι καὶ φθείρεσθαι ἀπειράκις. [w] Ἕνα μὲν οὖν τρόπον οὕτως [w] ἡ φύσις λέγεται, ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν [x] αὑτοῖς [y] ἀρχὴν κινήσεως καὶ μεταβολῆς, ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. [w] Ὥσπερ γὰρ 9
τέχνη λέγεται τὸ κατὰ τέχνην καὶ τὸ τεχνικόν, οὕτω καὶ φύσις τὸ [z] κατὰ φύσιν λέγεται καὶ τὸ φυσικόν. Οὔτε δὲ [a] ἐκεῖ [b] πω [c] φαῖμεν ἂν ἔχειν κατὰ τὴν τέχνην οὐδέν, εἰ δυνάμει μόνον ἐστὶ κλίνη, μή πω δ' ἔχει τὸ εἶδος τῆς κλίνης, οὐδ' εἶναι τέχνην, οὔτ' ἐν τοῖς φύσει συνισταμένοις· τὸ γὰρ δυνάμει σὰρξ ἢ ὀστοῦν [d] οὔτ' ἔχει [e] πω τὴν ἑαυτοῦ φύσιν, πρὶν [f] ἂν λάβῃ τὸ εἶδος τὸ κατὰ τὸν λόγον, [g] ὃ ὁριζόμενοι λέγομεν τί ἐστι σὰρξ ἢ ὀστοῦν, οὔτε φύσει ἐστίν. [w] Ὥστε ἄλ- 10

[p] κατὰ τὸν νόμον pr. E. [q] ἐκεῖνο E. [r] γῆν, οἱ δὲ πῦρ] πῦρ, οἱ δὲ γῆν E. [s] φασιν F.I. [t] καὶ ante ἕξεις om. F. [v] ἑαυτῶν I. [w] ἡ φύσις οὕτω F.I. [x] ἑαυτοῖς F. [y] κινήσεως ἀρχὴν F.I. [z] κατὰ τὴν τ. E. [a] ἐκεῖνό F.I. et rc. E. [b] πως F.I. [c] φαμεν E. [d] οὐκ E. [e] που F. [f] ἂν λάβοι F.I, ἀναλάβῃ E. [g] ὃ p. E.

λον τρόπον ἡ φύσις ἂν εἴη τῶν ἐχόντων ἐν [h] αὐτοῖς κινήσεως ἀρχὴν ἡ μορφὴ καὶ τὸ εἶδος, οὐ χωριστὸν ὂν ἀλλ' ἢ κατὰ τὸν λόγον. Τὸ δ' ἐκ τούτων φύσις μὲν οὐκ ἔστι, φύσει δέ, οἷον ἄνθρωπος. Καὶ μᾶλλον [i] αὕτη φύσις τῆς ὕλης· ἕκαστον γὰρ τότε λέγεται ὅταν ἐντελεχείᾳ ᾖ, μᾶλλον ἢ ὅταν δυνά-
11 μει. [j] Ἔτι γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου, ἀλλ' οὐ κλίνη ἐκ κλίνης· [k] διὸ καί φασιν οὐ τὸ σχῆμα εἶναι τὴν φύσιν ἀλλὰ τὸ ξύλον, [l] ὅτι γένοιτ' ἄν, εἰ βλαστάνοι, οὐ κλίνη ἀλλὰ ξύλον. Εἰ δ' ἄρα τοῦτο τέχνη, καὶ ἡ μορφὴ φύσις· γίνεται [m] γὰρ ἐξ ἀνθρώπου ἄνθρωπος. [n] Ἔτι δ' ἡ φύσις ἡ λεγομένη
12 ὡς γένεσις ὁδός ἐστιν εἰς φύσιν. Οὐ γὰρ ὥσπερ ἡ ἰάτρευσις λέγεται οὐκ εἰς ἰατρικὴν ὁδὸς ἀλλ' εἰς ὑγίειαν· ἀνάγκη μὲν γὰρ ἀπὸ ἰατρικῆς οὐκ εἰς ἰατρικὴν εἶναι τὴν ἰάτρευσιν, οὐχ οὕτω δ' ἡ φύσις ἔχει πρὸς τὴν φύσιν, ἀλλὰ τὸ φυόμενον ἐκ τινὸς εἰς τὶ ἔρχεται [n] ἢ φύεται. [o] Εἰς τί οὖν φύεται; [p] Οὐχὶ ἐξ οὗ, ἀλλ' εἰς ὅ. [q] Ἡ ἄρα μορφὴ φύσις. [r] Ἡ δέ γε μορφὴ καὶ ἡ φύσις διχῶς λέγεται· καὶ γὰρ ἡ στέρησις εἶδός πώς ἐστιν. Εἰ δ' ἐστὶν [s] ἡ στέρησις καὶ ἐναντίον [t] τι περὶ τὴν ἁπλῆν γένεσιν ἢ μή ἐστιν, ὕστερον ἐπισκεπτέον.

2 [u] Ἐπεὶ δὲ διώρισται ποσαχῶς ἡ φύσις [v] λέγεται, μετὰ τοῦτο θεωρητέον τίνι διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ. Καὶ γὰρ ἐπίπεδα καὶ στερεὰ ἔχει τὰ [w] φυσικὰ σώματα καὶ μήκη καὶ στιγμάς, περὶ ὧν σκοπεῖ ὁ [x] μαθηματικός. [y] Ἔτι ἡ ἀστρολογία ἑτέρα ἢ μέρος τῆς φυσικῆς· εἰ γὰρ τοῦ φυσικοῦ τὸ τί ἐστιν ἥλιος [z] ἢ σελήνη εἰδέναι, τῶν δὲ συμβεβηκότων καθ' αὑτὰ μηδέν, ἄτοπον, ἄλλως τε καὶ ὅτι φαίνονται λέγοντες οἱ περὶ φύσεως καὶ περὶ σχήματος [a] σελήνης καὶ ἡλίου, καὶ πότερον σφαιροειδὴς ἡ γῆ καὶ ὁ κόσμος ἢ οὔ.

[h] ἑαυτοῖς I. [i] φύσις αὕτη F.I. [k] διό φασι τὸ σχῆμα οὐκ E. [l] ὅτι —ξύλον om. E. [m] γὰρ] γ' E. [n] ἢ fortasse E. [o] εἰς τί οὖν φύεται om. pr. E. [p] οὐχὶ εἰς τὸ ἐξ οὗ ἀλλ' εἰς τὸ εἰς ὅ I. [q] γε om. pr. E. [r] ἡ om. I. [s] τι] ὅτι E, om. I. [t] λέγεται om. pr. E. [u] φυσικὰ καὶ σ. καὶ E. [w] μαθητικός E. [x] ἢ] καὶ E. [y] ἡλίου καὶ σελήνης F. [z] καὶ π.] καὶ δὴ π. I. et rc. E, καὶ δὴ καὶ π. F. [a] ὁ κόσμος καὶ ἡ γῆ E.

Περὶ [a]τούτων μὲν οὖν πραγματεύεται καὶ ὁ [b]μαθηματικός, 2
ἀλλ' οὐχ ᾗ φυσικοῦ σώματος πέρας ἕκαστον· οὐδὲ τὰ συμ-
βεβηκότα θεωρεῖ ᾗ τοιούτοις οὖσι συμβέβηκεν. Διὸ καὶ
χωρίζει· χωριστὰ γὰρ τῇ νοήσει κινήσεώς ἐστι, καὶ οὐδὲν
διαφέρει, οὐδὲ γίνεται ψεῦδος χωριζόντων. Λανθάνουσι δὲ
τοῦτο ποιοῦντες καὶ [c]οἱ τὰς ἰδέας λέγοντες· τὰ γὰρ φυσικὰ
χωρίζουσιν ἧττον ὄντα χωριστὰ τῶν [d]μαθηματικῶν. Γί- 3
γνοιτο δ' ἂν τοῦτο δῆλον, εἴ τις ἑκατέρων πειρῷτο λέγειν
τοὺς ὅρους, καὶ αὐτῶν καὶ τῶν συμβεβηκότων. Τὸ μὲν γὰρ
περιττὸν [e]ἔσται καὶ τὸ ἄρτιον καὶ τὸ εὐθὺ καὶ τὸ καμπύλον,
[f]ἔτι δὲ ἀριθμὸς καὶ γραμμὴ καὶ σχῆμα ἄνευ κινήσεως, σὰρξ
δὲ καὶ ὀστοῦν καὶ ἄνθρωπος [g]οὐκέτι, [h]ἀλλὰ ταῦτα ὥσπερ
ῥὶς σιμὴ ἀλλ' οὐχ ὡς τὸ καμπύλον λέγεται. Δηλοῖ δὲ καὶ 4
τὰ φυσικώτερα τῶν [i]μαθημάτων, οἷον ὀπτικὴ καὶ ἁρμονικὴ
καὶ ἀστρολογία· ἀνάπαλιν γὰρ [k]τρόπον τιν' ἔχουσι τῇ
γεωμετρίᾳ. [l]Ἀλλ' ἡ μὲν γεωμετρία περὶ γραμμῆς φυσικῆς
σκοπεῖ, ἀλλ' οὐχ ᾗ φυσική, ἡ δ' ὀπτικὴ [d]μαθηματικὴν μὲν
γραμμήν, ἀλλ' οὐχ ᾗ μαθηματικὴ ἀλλ' ᾗ φυσική. [m]Ἐπεὶ 5
[n]δ' ἡ φύσις διχῶς, τό τε εἶδος καὶ ἡ ὕλη, ὡς ἂν εἰ περὶ
[o]σιμότητος [p]σκοποῖμεν τί ἐστιν, οὕτω θεωρητέον. [q]Ὥστ'
οὔτ' ἄνευ ὕλης τὰ τοιαῦτα οὔτε κατὰ τὴν ὕλην. Καὶ γὰρ
δὴ καὶ περὶ τούτου [q]διχῶς ἀπορήσειεν ἄν τις, [r]ἐπεὶ δύο αἱ
φύσεις, περὶ ποτέρας τοῦ φυσικοῦ, ἢ περὶ τοῦ ἐξ ἀμφοῖν.
[s]Ἀλλ' εἰ περὶ τοῦ ἐξ ἀμφοῖν, καὶ περὶ ἑκατέρας. Πότερον 6
οὖν τῆς αὐτῆς ἢ ἄλλης ἑκατέραν γνωρίζειν; Εἰς μὲν γὰρ τοὺς
ἀρχαίους [t]ἀποβλέψαντι δόξειεν [v]ἂν εἶναι τῆς ὕλης· ἐπὶ
μικρὸν γάρ τι μέρος [s]Ἐμπεδοκλῆς καὶ Δημόκριτος τοῦ εἴδους
καὶ τοῦ τί ἦν εἶναι ἥψαντο. Εἰ δὲ ἡ τέχνη μιμεῖται τὴν 7

[a] μὲν οὖν τούτων I. [b] μαθητικός E. [c] οἱ περὶ τὰς F. [d] μαθητικῶν et sec. 4. μαθητικὴν E. [e] ἐστι F. [f] ἔτι δὲ] αἴτια corr. E. [g] οὐκέτι] οὐκ αἴτια in litura E. [h] ἀλλ' αὐτὰ E. [i] μαθητῶν pr. E, μαθηματικῶν F. [k] ἔχουσι τρόπον τινὰ F. [l] ἀλλ' ἡ μὲν γ.] ἡ μὲν γὰρ γ. F. et rc. E: pr. enim om. [m] ἐπειδὴ F.I. [n] δὲ καὶ ἡ F. [o] σιμοῦ E. [p] τί ἐστι σκοποῖμεν F.I. [q] διχῶς om. pr. E. [r] ἐπειδὴ F. [s] εἰ] ἀεὶ E. [t] βλέψαντι E. [v] ἂν om. F.

φύσιν, τῆς δὲ αὐτῆς ἐπιστήμης εἰδέναι τὸ εἶδος καὶ τὴν ὕλην μέχρι του (οἷον ἰατροῦ ὑγίειαν καὶ χολὴν καὶ φλέγμα, ἐν οἷς ἡ [w]ὑγίεια, ὁμοίως δὲ καὶ οἰκοδόμου τό τε εἶδος τῆς οἰκίας καὶ τὴν ὕλην, ὅτι πλίνθοι καὶ ξύλα· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων), καὶ τῆς φυσικῆς ἂν εἴη τὸ γνωρίζειν [x]ἀμφοτέρας
8 τὰς φύσεις. Ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος τῆς αὐτῆς, καὶ ὅσα τούτων ἕνεκα. [b]Ἡ δὲ [y]φύσις τέλος καὶ οὗ ἕνεκα· ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης [z]ἔστι τι τέλος [a]τῆς κινήσεως, τοῦτο ἔσχατον καὶ τὸ οὗ ἕνεκα. Διὸ καὶ [b]ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν

Ἔχει τελευτήν, ἥσπερ οὕνεκ' ἐγένετο.

9 Βούλεται γὰρ οὐ πᾶν εἶναι τὸ ἔσχατον τέλος, ἀλλὰ τὸ βέλτιστον, ἐπεὶ καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην αἱ μὲν ἁπλῶς αἱ δὲ εὐεργόν, καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων. [d]Ἐσμὲν γάρ πως καὶ ἡμεῖς τέλος· διχῶς γὰρ τὸ οὗ [c]ἕνεκα· εἴρηται δ' ἐν τοῖς περὶ φιλοσοφίας. Δύο [d]δὴ [e]αἱ ἄρχουσαι τῆς ὕλης καὶ αἱ γνωρίζουσαι τέχναι, ἥ τε χρωμένη
10 καὶ τῆς ποιητικῆς ἡ ἀρχιτεκτονική. Διὸ καὶ ἡ χρωμένη ἀρχιτεκτονική πως, διαφέρει δὲ ᾗ [f]ἡ μὲν τοῦ εἴδους γνωριστική, ἡ ἀρχιτεκτονική, ἡ δὲ ὡς ποιητικὴ τῆς ὕλης· ὁ μὲν γὰρ κυβερνήτης ποιόν τι τὸ εἶδος τοῦ πηδαλίου γνωρίζει καὶ ἐπι-
11 τάττει, ὁ δ' ἐκ ποίου ξύλου [g]καὶ ποίων κινήσεων ἔσται. [d]Ἐν μὲν οὖν τοῖς [h]κατὰ τέχνην ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα, ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα. [d]Ἔτι τῶν πρός [i]τι ἡ ὕλη· [k]ἄλλῳ γὰρ εἴδει ἄλλη ὕλη. Μέχρι δὴ πόσου [l]τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστιν; [h]Ἡ [m]ὥσπερ ἰατρὸν νεῦρον [n]ἢ χαλκέα χαλκόν, μέχρι [o]του. Τινὸς γὰρ ἕνεκα ἕκαστον, καὶ περὶ ταῦτα [p]ἃ ἐστι χωριστὰ

[w] ὑγίεια ἅπερ ὡς ὕλη ὁμοίως E. [x] ἀμφοτέρας om. F. [y] φύσις τὸ τέλος οὗ F. [z] τι ἐστι I. [a] τῆς κινήσεως om. pr. E. [b] καὶ Εὐριπίδης ὁ F. [c] εἵνεκα I. [d] δὲ E, δὴ καὶ F. [e] αἱ om. F. [f] ἡ om. E.F. [g] καὶ ἐκ ποίων F.I. [h] κατὰ τὴν τ. E. [i] τι ἡ] τῇ pr. E. [k] ἄλλῳ—ὕλη post ἐστιν F. [l] τὸν om. F. [m] ὥσπερ τὸν ἰ. I. [n] ἢ] καὶ F.I. [o] του] τοῦ εἰδέναι F. [p] ἅ om. pr. E.

μὲν εἴδει, ἐν ὕλῃ δέ. [u]Ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ [q]καὶ ἥλιος. Πῶς δ' ἔχει τὸ χωριστὸν καὶ τί ἐστι, φιλοσοφίας [r]τῆς πρώτης διορίσαι ἔργον.

Διωρισμένων δὲ τούτων ἐπισκεπτέον περὶ τῶν αἰτίων, 3
ποιά τε καὶ πόσα τὸν ἀριθμόν ἐστιν. [t]Ἐπεὶ γὰρ τοῦ εἰδέναι [s]χάριν ἡ πραγματεία, εἰδέναι δ' οὐ πρότερον οἰόμεθα ἕκαστον πρὶν ἂν λάβωμεν τὸ διὰ τί περὶ ἕκαστον (τοῦτο δ' ἐστὶ τὸ λαβεῖν τὴν πρώτην αἰτίαν), δῆλον ὅτι καὶ ἡμῖν τοῦτο ποιητέον καὶ περὶ γενέσεως καὶ φθορᾶς [t]καὶ πάσης τῆς φυσικῆς μεταβολῆς, ὅπως εἰδότες [v]αὐτῶν τὰς ἀρχὰς ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζητουμένων ἕκαστον. [w]Ἕνα μὲν οὖν 2
τρόπον αἴτιον λέγεται τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης καὶ τὰ τούτων γένη, [w]ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα· τοῦτο δ' ἐστὶν ὁ λόγος [x]ὁ τοῦ τί ἦν εἶναι καὶ τὰ τούτου γένη, οἷον [y]τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἕν, καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. [u]Ἔτι ὅθεν ἡ ἀρχὴ τῆς 3
μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πατὴρ [z]τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβάλλον τοῦ μεταβαλλομένου. [u]Ἔτι ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια· διὰ τί γὰρ περιπατεῖ; φαμὲν ἵνα [a]ὑγιαίνῃ, καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. Καὶ ὅσα 4
δὴ κινήσαντος ἄλλου μεταξὺ [b]γίγνεται τοῦ τέλους, οἷον τῆς ὑγιείας ἡ [c]ἰσχνασία ἢ ἡ κάθαρσις [d]ἢ τὰ φάρμακα ἢ τὰ ὄργανα· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστι, διαφέρει δ' ἀλλήλων ὡς ὄντα τὰ μὲν ἔργα τὰ δ' ὄργανα. Τὰ μὲν οὖν 5
αἴτια σχεδὸν τοσαυταχῶς [e]λέγεται, συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι, οὐ

[q] καὶ ὁ ἥλιος F. [r] ἔργον διορίσαι τῆς πρώτης I, τῆς πρώτης ἐστίν E. [s] χάριν τὰ φυσικὰ ἡ I. [t] καὶ περὶ πάσης F.I. [v] τὰς ἀρχὰς αὐτῶν E. [w] ἄλλο I. [x] ὁ post λόγος om. F. [y] τοῦ δ.] τὸν δ. E. [z] τοῦ ante τέκνου om. I. [a] ὑγιάνῃ F.I. [b] γένηται E. [c] ἰσχνανσία I. [d] ἢ τὰ φάρμακα om. E. [e] λέγεται om. F.

κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος [f] καὶ ἡ [g] ἀνδριαντοποιικὴ καὶ ὁ χαλκός, [h] οὐ καθ' ἕτερόν τι ἀλλ' ᾗ ἀνδριάς, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς ὕλη τὸ δ' ὡς ὅθεν ἡ
6 [i] κίνησις. [1] Ἔστι δέ τινα καὶ ἀλλήλων αἴτια, οἷον τὸ [k] πονεῖν τῆς εὐεξίας καὶ αὕτη τοῦ πονεῖν· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος τὸ δ' ὡς ἀρχὴ κινήσεως. [1] Ἔτι δὲ τὸ αὐτὸ τῶν ἐναντίων ἐστὶν [l] αἴτιον· ὃ γὰρ παρὸν αἴτιον τοῦδε, τοῦτο καὶ ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου, οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου [m] τῆς τοῦ πλοίου ἀνατροπῆς,
7 οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. [v] Ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια εἰς [n] τέτταρας [o] πίπτει τόπους τοὺς φανερωτάτους. Τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ [p] ἡ ὕλη τῶν [q] σκευαστῶν καὶ τὸ πῦρ καὶ τὰ τοιαῦτα τῶν σωμάτων καὶ τὰ μέρη τοῦ ὅλου καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος ὡς τὸ ἐξ οὗ αἰτιά ἐστιν· τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη, τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλον καὶ ἡ σύν-
8 θεσις καὶ τὸ εἶδος. Τὸ δὲ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς [r] ἢ στάσεως ἢ κινήσεως. Τὰ [s] δ' ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων· [t] τὸ γὰρ οὗ ἕνεκα βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι· διαφερέτω δὲ [v] μηδὲν εἰπεῖν αὐτὸ
9 ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν. Τὰ μὲν οὖν αἴτια [w] ταῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει· τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μέν εἰσι πολλοί, κεφαλαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους. Λέγεται [x] γὰρ αἴτια πολλαχῶς, καὶ αὐτῶν τῶν ὁμοειδῶν προτέρως καὶ ὑστέρως [y] ἄλλο ἄλλου, οἷον ὑγιείας [z] ἰατρὸς καὶ [a] τεχνίτης, καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ [b] ὁ ἀριθμός, καὶ
10 ἀεὶ τὰ [c] περιέχοντα πρὸς [d] τὸ καθ' ἕκαστα. [1] Ἔτι δ' ὡς τὸ

[f] καὶ om. F.I. [g] ἀνδριαντοποιητικὴ F.I. [h] οὐ] ταῦτα δὲ οὐ E. [i] κίνησις ἐστιν. Ἔστιν E. [k] πονεῖν αἴτιον τῆς F.I. [l] αἴτιον ante ὃ om. E.F. [m] τῆς τοῦ om. E. [n] τέσσαρας I. [o] τρόπους πίπτει F.I. [p] ἡ om. E. [q] κατασκευαστῶν E. [r] ἢ κινήσεως om. E. [s] δ' ἄλλα ὡς E. [t] τὸ—ἄλλων om. E. [v] αὐτὸ μηδὲν εἰπεῖν F.I. [w] ταῦτα] τοιαῦτα I. [x] γὰρ τὰ αἴτια F. [y] ἄλλου ἄλλο F. [z] ὁ ἰατρὸς F.I. [a] καὶ ὁ τεχν. I. [b] ὁ om. E. [c] περιέχοντα om. E. [d] τῷ καθέκαστον F.

συμβεβηκὸς καὶ τὰ τούτων γένη, οἷον ἀνδριάντος [e]ἄλλως Πολύκλειτος καὶ [e]ἄλλως ἀνδριαντοποιός, ὅτι συμβέβηκε τῷ ἀνδριαντοποιῷ τὸ Πολυκλείτῳ εἶναι. Καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκός, οἷον εἰ ὁ ἄνθρωπος αἴτιος [f]εἴη ἀνδριάντος ἢ [g]ὅλως ζῴου. [d]Ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων 11
πορρώτερον καὶ ἐγγύτερον, οἷον εἰ ὁ λευκὸς [h]καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος. [i]Πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα καὶ τὰ κατὰ συμβεβηκὸς τὰ μὲν ὡς δυνάμενα λέγεται τὰ δ' ὡς ἐνεργοῦντα, οἷον τοῦ οἰκοδομεῖσθαι [k]οἰκίαν [l]οἰκοδόμος ἢ οἰκοδομῶν οἰκοδόμος. [b]Ὁμοίως δὲ [m]λεχθήσεται 12
καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια τοῖς εἰρημένοις, οἷον [n]τουδὶ [o]τοῦ ἀνδριάντος [p]ἢ ἀνδριάντος [q]ἢ καὶ ὅλως εἰκόνος, καὶ χαλκοῦ τουδὶ ἢ χαλκοῦ [r]ἢ ὅλως ὕλης· καὶ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. [d]Ἔτι δὲ συμπλεκόμενα καὶ ταῦτα [s]κἀκεῖνα λεχθήσεται, οἷον οὐ Πολύκλειτος [t]οὐδὲ ἀνδριαντοποιός, ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός. [b]Ἀλλ' ὅμως ἅπαντα ταὐτά ἐστι 13
τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς· ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος, ἢ ὡς τὸ συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, ἢ ὡς συμπλεκόμενα ταῦτα, ἢ ὡς ἁπλῶς λεγόμενα· πάντα δὲ ἢ ἐνεργοῦντα ἢ κατὰ δύναμιν. Διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστι καὶ ὧν [v]αἴτια, οἷον ὅδ' [w]ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ καὶ ὅδε [w]ὁ οἰκοδομῶν τῷδε τῷ οἰκοδομουμένῳ, [x]τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεί· φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος. Δεῖ δ' ἀεὶ τὸ αἴτιον ἑκάστου τὸ ἀκρότατον 14
ζητεῖν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, οἷον ἄνθρωπος οἰκοδομεῖ ὅτι οἰκοδόμος, ὁ δ' οἰκοδόμος [y]κατὰ τὴν οἰκοδομικήν· τοῦτο τοίνυν πρότερον τὸ αἴτιον. Καὶ οὕτως ἐπὶ πάντων. [d]Ἔτι τὰ μὲν γένη τῶν γενῶν, τὰ δὲ καθ' [z]ἕκαστον τῶν καθ' ἕκα-

[e] ἄλλος I. [f] ἀνδριάντος εἴη E. [g] ὅλως τὸ ζῶον I. [h] καὶ ὁ μουσικὸς om. E. [i] πάντα] παρὰ πάντα I. [k] οἰκίαν om. E. [l] ὁ οἰκ. ἢ ὁ οἰκ. F.I. [m] δειχθήσεται F. [n] τοῦδε F.I. [o] τοῦ om. E. [p] ἢ ἀνδριάντος om. E. [q] καὶ post ἢ om. E. [r] ἢ καὶ ὅλως F. [s] καὶ ἐκεῖνα F. [t] οὐδὲ—Πολύκλειτος om. I. [v] αἴτια corr. E. [w] ὁ om. E. [x] τὸ E. [y] κατὰ] ὅτι κατὰ E. [z] ἕκαστα—ἕκαστα F.I.

στον, οἷον ἀνδριαντοποιὸς μὲν ἀνδριάντος, ὀδὶ δὲ τουδί. Καὶ τὰς μὲν δυνάμεις τῶν δυνατῶν, τὰ δ' ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα. Ὅσα μὲν οὖν τὰ αἴτια καὶ ὃν τρόπον αἴτια, ἔστω ἡμῖν διωρισμένα ἱκανῶς.

4 Λέγεται δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον τῶν αἰτίων, καὶ πολλὰ καὶ εἶναι καὶ γίνεσθαι [a]διὰ τύχην καὶ [b]διὰ τὸ αὐτόματον· τίνα οὖν τρόπον ἐν τούτοις ἐστὶ τοῖς αἰτίοις ἡ τύχη καὶ τὸ αὐτόματον, καὶ πότερον τὸ αὐτὸ [c]ἡ τύχη καὶ τὸ αὐτόματον ἢ ἕτερον, καὶ ὅλως τί [d]ἐστιν ἡ τύχη καὶ τὸ αὐτό-
2 ματον, ἐπισκεπτέον. Ἔνιοι γὰρ [e]καὶ εἰ ἔστιν ἢ μὴ ἀποροῦσιν· οὐδὲν [f]γὰρ γίνεσθαι ἀπὸ τύχης φασίν, ἀλλὰ πάντων εἶναί [g]τι αἴτιον ὡρισμένον, ὅσα [h]λέγομεν [i]ἀπ' αὐτομάτου γίγνεσθαι [k]ἢ τύχης, οἷον τοῦ ἐλθεῖν ἀπὸ τύχης εἰς τὴν ἀγοράν, [l]καὶ καταλαβεῖν ὃν ἐβούλετο μὲν οὐκ ᾤετο δέ, αἴτιον τὸ βούλεσθαι [m]ἀγοράσαι ἐλθόντα· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀπὸ τύχης [n]λεγομένων ἀεί τι εἶναι λαβεῖν τὸ αἴτιον, ἀλλ' οὐ τύχην, ἐπεὶ εἴ γέ τι ἦν ἡ τύχη, ἄτοπον ἂν φανείη ὡς ἀληθῶς, καὶ ἀπορήσειεν ἄν τις διὰ τί ποτ' οὐδεὶς τῶν ἀρχαίων σοφῶν τὰ αἴτια περὶ γενέσεως καὶ φθορᾶς λέγων περὶ τύχης οὐδὲν διώρισεν, ἀλλ' ὡς ἔοικεν, οὐδὲν ᾤοντο οὐδ' ἐκεῖνοι εἶναι
3 ἀπὸ τύχης. Ἀλλὰ καὶ τοῦτο θαυμαστόν· πολλὰ γὰρ καὶ γίνεται καὶ ἔστιν ἀπὸ τύχης καὶ ἀπὸ [o]ταὐτομάτου, ἃ οὐκ ἀγνοοῦντες ὅτι ἔστιν [p]ἐπανενεγκεῖν ἕκαστον ἐπί τι αἴτιον τῶν γινομένων, καθάπερ ὁ παλαιὸς λόγος εἶπεν ὁ ἀναιρῶν τὴν τύχην, [q]ὅμως τούτων τὰ μὲν εἶναί φασι πάντες ἀπὸ τύχης τὰ δ' οὐκ ἀπὸ τύχης· διὸ καὶ ἀμῶς γέ πως ἦν ποιητέον
4 αὐτοῖς μνείαν. Ἀλλὰ μὴν οὐδ' ἐκείνων γέ τι ᾤοντο εἶναι τὴν τύχην, οἷον φιλίαν ἢ νεῖκος ἢ [r]νοῦν ἢ πῦρ ἢ ἄλλο γέ τι τῶν τοιούτων. Ἄτοπον οὖν εἴτε μὴ ὑπελάμβανον εἶναι εἴτε

[a] διὰ] διὰ τὴν E, καὶ διὰ F. [b] διὰ om. I. [c] ἡ om. I. [d] ἐστιν αὐτόματον καὶ ἡ τύχη E. [e] εἰ καὶ I. [f] γὰρ] γὰρ δὴ E. [g] τι om. F. [h] λεγόμενα I. [i] ἀπὸ ταυτομάτου F.I. [k] ἢ] καὶ F. [l] καὶ καταλαβεῖν εἰς τὴν ἀγορὰν I. [m] ἐλθόντα ἀγοράσαι F.I. [n] λεγομένων om. E. [o] τοῦ αὐτομάτου E. [p] ἐπενεγκεῖν F. [q] ὁμοίως E. [r] πῦρ ἢ νοῦν F.I.

οἰόμενοι [s]παρέλειπον, καὶ ταῦτ' ἐνίοτε χρώμενοι, ὥσπερ [t]Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα [t]ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ' ὅπως ἂν τύχῃ. Λέγει [v]γοῦν ἐν τῇ κοσμοποιίᾳ

'Ως οὕτω συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως·

καὶ τὰ μόρια τῶν ζῴων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστα [w]φησίν. Εἰσὶ δέ τινες οἳ καὶ [x]τοὐρανοῦ τοῦδε καὶ τῶν [y]κοσμικῶν πάντων αἰτιῶνται τὸ αὐτόματον· ἀπὸ ταὐτομάτου γὰρ [z]γίγνεσθαι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν. Καὶ μάλα [a]τοῦτο θαυμάσαι ἄξιον· [b]λέγοντες γὰρ τὰ μὲν 6 ζῷα καὶ τὰ φυτὰ ἀπὸ τύχης μήτε εἶναι μήτε γίγνεσθαι, ἀλλ' ἤτοι φύσιν ἢ νοῦν ἤ [c]τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον (οὐ γὰρ ὅ τι ἔτυχεν ἐκ τοῦ σπέρματος ἑκάστου γίγνεται, ἀλλ' ἐκ μὲν τοῦ τοιουδὶ [d]ἐλαία ἐκ δὲ τοῦ τοιουδὶ [e]ἄνθρωπος), τὸν δ' οὐρανὸν καὶ τὰ [f]θειότατα τῶν φανερῶν ἀπὸ τοῦ αὐτομάτου [g]γενέσθαι, τοιαύτην [h]δ' αἰτίαν μηδεμίαν εἶναι οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν. Καίτοι [i]εἰ 7 οὕτως ἔχει, [k]τοῦτ' αὐτὸ ἄξιον ἐπιστάσεως, καὶ καλῶς ἔχει λεχθῆναί τι περὶ [l]αὐτοῦ. Πρὸς γὰρ τῷ καὶ ἄλλως [m]ἄτοπον εἶναι τὸ λεγόμενον, ἔτι ἀτοπώτερον τὸ λέγειν ταῦτα ὁρῶντας ἐν μὲν τῷ οὐρανῷ οὐδὲν ἀπὸ ταὐτομάτου γιγνόμενον, ἐν δὲ τοῖς οὐκ ἀπὸ [n]τύχης πολλὰ συμβαίνοντα ἀπὸ τύχης· καίτοι εἰκός [o]γε ἦν τοὐναντίον [p]γίγνεσθαι. Εἰσὶ δέ τινες 8 οἷς δοκεῖ εἶναι [q]αἰτία μὲν ἡ τύχη, ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ ὡς θεῖόν τι οὖσα καὶ δαιμονιώτερον. [v]Ὥστε σκεπτέον καὶ τί ἑκάτερον, καὶ εἰ ταὐτὸν ἢ ἕτερον τό [r]τε αὐτόματον καὶ ἡ τύχη, καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἐμπίπτουσιν.

Πρῶτον μὲν οὖν, ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γινό- 5 μενα τὰ δὲ ὡς [s]ἐπὶ πολύ, φανερὸν [t]ὅτι οὐδετέρου τούτων

[s] παρέλιπον I. [t] ἀποκρίνεσθαι ἀνωτάτω F.I. [v] γοῦν] οὖν F. [w] φησὶν οὗτος. Εἰσὶ E. [x] τοῦ οὐρανοῦ F.I. [y] κόσμων E. [z] γίνεσθαί φασι τὴν I. [a] τοὐτό γε αὐτὸ θαυμάσαι F.I. [b] λέγοντας τὰ F. [c] τι om. F. [d] ἐλαίαν I. [e] ἄνθρωπον I. [f] θειότερα F.I. [g] γίγνεσθαι E. [h] δ' om. E. [i] εἰ] γε εἰ I. [k] τοῦτό γε αὐτὸ F.I. [l] αὐτοῦ τούτου. Πρὸς E. [m] ἄλογον E. [n] τύχης εἶναι πολλὰ E. [o] γε om. E. [p] γενέσθαι I. [q] μὲν αἰτία F.I. [r] τε om. F. [s] ἐπὶ τὸ πολὺ F.I. [t] ὅτι] ὡς F.

αἰτία ἡ τύχη λέγεται οὐδὲ τὸ ἀπὸ τύχης, οὔτε τοῦ ἐξ ἀνάγ-
κης [v]καὶ ἀεὶ οὔτε [w]τοῦ ὡς [x]ἐπὶ πολύ. [1]Ἀλλ' ἐπειδὴ [y]ἔστιν
ἃ γίγνεται καὶ [z]παρὰ ταῦτα, καὶ [a]ταῦτα πάντες φασὶν εἶναι
ἀπὸ τύχης, φανερὸν ὅτι ἔστι τι ἡ τύχη καὶ τὸ αὐτόματον·
τά τε γὰρ τοιαῦτα ἀπὸ τύχης [b]καὶ τὰ ἀπὸ τύχης τοιαῦτα
2 ὄντα ἴσμεν. Τῶν δὲ γινομένων τὰ μὲν ἕνεκά [c]του γίγνεται,
τὰ δ' οὔ· τούτων δὲ τὰ μὲν [d]κατὰ προαίρεσιν, τὰ δ' οὐ κατὰ
προαίρεσιν, ἄμφω δ' ἐν τοῖς ἕνεκά του, ὥστε δῆλον ὅτι καὶ
ἐν τοῖς [e]παρὰ τὸ ἀναγκαῖον καὶ τὸ ὡς [f]ἐπὶ πολὺ ἔστιν ἕνια
περὶ ἃ ἐνδέχεται ὑπάρχειν τὸ ἕνεκά του. [2]Ἔστι δ' ἕνεκά του
ὅσα [g]τε ἀπὸ διανοίας ἂν πραχθείη καὶ ὅσα ἀπὸ φύσεως.
3 Τὰ δὴ τοιαῦτα ὅταν κατὰ συμβεβηκὸς γένηται, ἀπὸ τύχης
φαμὲν εἶναι· ὥσπερ γὰρ καὶ [h]ὂν ἐστι τὸ μὲν καθ' αὐτὸ τὸ
δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον ἐνδέχεται εἶναι, οἷον
οἰκίας καθ' αὐτὸ μὲν αἴτιον τὸ οἰκοδομικόν, κατὰ συμβεβηκὸς
δὲ τὸ λευκὸν ἢ τὸ μουσικόν. Τὸ μὲν οὖν καθ' αὐτὸ αἴτιον
ὡρισμένον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀόριστον· ἄπειρα γὰρ
4 [i]ἂν τῷ ἑνὶ συμβαίη. Καθάπερ οὖν ἐλέχθη, ὅταν ἐν τοῖς
ἕνεκά [k]του γιγνομένοις τοῦτο γένηται, τότε λέγεται ἀπὸ
ταὐτομάτου καὶ ἀπὸ τύχης. [1]Αὐτῶν δὲ πρὸς ἄλληλα τὴν
διαφορὰν τούτων ὕστερον διοριστέον. Νῦν δὲ τοῦτο ἔστω
φανερόν, ὅτι ἄμφω ἐν τοῖς ἕνεκά τού ἐστιν, οἷον ἕνεκα τοῦ
ἀπολαβεῖν τὸ ἀργύριον ἦλθεν ἄν, [m]κομισόμενος τὸν ἔρανον,
εἰ ἤδει· ἦλθε δ' οὐ τούτου ἕνεκα, ἀλλὰ συνέβη [n]αὐτῷ ἐλθεῖν
καὶ ποιῆσαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα· τοῦτο δὲ οὔθ' ὡς
ἐπὶ τὸ πολὺ φοιτῶν εἰς τὸ χωρίον οὔτ' ἐξ ἀνάγκης· ἔστι δὲ
τὸ τέλος, ἡ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων, ἀλλὰ τῶν [o]προ-
αιρετῶν καὶ ἀπὸ διανοίας· καὶ λέγεταί [p]γε τότε ἀπὸ τύχης
5 ἐλθεῖν. Εἰ δὲ προελόμενος [q]καὶ τούτου ἕνεκα, ἢ ἀεὶ φοιτῶν

[v] καὶ om. F. [w] τοῦ] τὸ F. [x] ἐπὶ τὸ πολὺ I. [y] ἔστι τινὰ ἃ I, τινα F. [z] περὶ F. [a] πάντες ταῦτα F.I. [b] καὶ τὰ ἀπὸ τύχης om. F. [c] του om. E. [d] κατὰ προαίρεσιν om. F. [e] περὶ F. [f] ἐπὶ τὸ πολὺ F.I. [g] τε om. F. [h] ὄν] ο E. [i] ἂν ἐν τῷ F. [k] του γιγνομένοις om. E. [l] αὐτὴν F. [m] κομισάμενος E. [n] αὐτῷ om. F.I. [o] ἀπροαιρέτων καὶ οὐκ ἀπὸ γρ. I. [p] γε τότε] το E. [q] καὶ om. E.

ἢ ὡς ἐπὶ τὸ πολὺ κομιζόμενος, οὐκ ἀπὸ τύχης. Δῆλον ἄρα ὅτι ἡ τύχη αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά του. Διὸ περὶ τὸ αὐτὸ διάνοια καὶ τύχη· ἡ γὰρ προαίρεσις οὐκ ἄνευ διανοίας. [t]Ἀόριστα μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι, ἀφ' ὧν ἂν γένοιτο τὸ [r]ἀπὸ τύχης. [u]Ὅθεν 6 [s]καὶ ἡ τύχη τοῦ [t]ἀορίστου εἶναι [v]δοκεῖ καὶ ἄδηλος ἀνθρώπῳ, καὶ ἔστιν ὡς [w]οὐδὲν ἀπὸ τύχης δόξειεν ἂν γίγνεσθαι. Πάντα γὰρ ταῦτα ὀρθῶς λέγεται, [x]ὅτι εὐλόγως. [u]Εστι μὲν γὰρ ὡς γίνεται ἀπὸ τύχης· κατὰ συμβεβηκὸς γὰρ γίνεται, καὶ ἔστιν αἴτιον ὡς συμβεβηκὸς ἡ τύχη, ὡς δ' ἁπλῶς οὐδενός, οἷον οἰκίας οἰκοδόμος μὲν αἴτιος, κατὰ συμβεβηκὸς δὲ αὐλητής, καὶ τοῦ ἐλθόντα κομίσασθαι τὸ ἀργύριον, μὴ τούτου ἕνεκα ἐλθόντα, ἄπειρα τὸ πλῆθος· καὶ γὰρ ἰδεῖν τινὰ βουλόμενος καὶ διώκων [y]καὶ φεύγων. Καὶ τὸ [z]φάναι εἶναί τι παράλογον 7 τὴν τύχην ὀρθῶς· ὁ γὰρ λόγος ἢ τῶν ἀεὶ ὄντων ἢ τῶν ὡς ἐπὶ τὸ πολύ, ἡ δὲ τύχη ἐν τοῖς γιγνομένοις παρὰ ταῦτα. [u]Ωστ' [a]ἐπειδὴ ἀόριστα τὰ οὕτως αἴτια, καὶ ἡ τύχη ἀόριστον. [b][u]Ομως δ' ἐπ' ἐνίων ἀπορήσειεν ἄν τις, ἆρ' οὖν τὰ τυχόντα αἴτι' ἂν γένοιτο τῆς τύχης, οἷον ὑγιείας ἢ πνεῦμα ἢ [c]εἴλησις, ἀλλ' οὐ τὸ [d]ἀποκεκάρθαι· ἔστι γὰρ ἄλλα ἄλλων ἐγγύτερα τῶν κατὰ συμβεβηκὸς [e]αἰτίων. Τύχη δὲ ἀγαθὴ μὲν λέγεται, 8 ὅταν ἀγαθόν τι ἀποβῇ, φαύλη δέ, ὅταν φαῦλόν τι, εὐτυχία δὲ καὶ δυστυχία, ὅταν μέγεθος ἔχοντα ταῦτα· διὸ καὶ τὸ [f]παρὰ μικρὸν κακὸν ἢ ἀγαθὸν [g]μέγα λαβεῖν ἢ [h]δυστυχεῖν ἢ εὐτυχεῖν ἐστίν, ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια· τὸ γὰρ [f]παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ. [u]Ετι ἀβέβαιον ἡ εὐτυχία εὐλόγως· ἡ γὰρ τύχη ἀβέβαιος· οὔτε γὰρ ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολὺ οἷόν τ' εἶναι τῶν ἀπὸ τύχης οὐθέν. [u]Εστι 9 μὲν οὖν [i]ἄμφω αἴτια, καθάπερ εἴρηται, κατὰ συμβεβηκός,

[r] ἀπὸ τῆς τύχης E. [s] καὶ om. F.I. [t] ἀρίστου I. [v] δοκεῖ ante ἡ F.I. [w] ἀπὸ τύχης οὐδὲν I. [x] ὅτι om. E. [y] καὶ θεασόμενος καὶ φ. F.I. [z] εἶναι φάναι τι I, εἶναί τι φάναι F. [a] ἐπεὶ F. [b] ὁμοίως E. [c] εἴλισις F. [d] ἀποκεκαθάρθαι I. [e] αἰτίων εὐτυχία δέ ἐστιν ὅταν ὡς προείλετο ἀποβῇ, ἀτυχία δ' ὅταν παρὰ τὴν προαίρεσιν. Τύχη E. [f] περὶ F. [g] λαβεῖν μέγα F.I. [h] εὐτυχεῖν ἢ ἀτυχεῖν E.F. [i] ἄμφω om. E.

καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, ἐν τοῖς ἐνδεχομένοις γίγνεσθαι μὴ ἁπλῶς μηδ' ὡς ἐπὶ τὸ πολύ, καὶ τούτων ὅσ' ἂν [k]γένοιτο ἕνεκά του.

6 Διαφέρει δ' ὅτι τὸ αὐτόματον ἐπὶ πλεῖόν ἐστι· τὸ μὲν γὰρ ἀπὸ τύχης πᾶν ἀπὸ ταὐτομάτου, τοῦτο δ' οὐ [l]πᾶν ἀπὸ τύχης. [h]Ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης [m]ἐστὶν ὅσοις καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειεν καὶ ὅλως πρᾶξις. Διὸ καὶ ἀνάγκη περὶ τὰ πρακτὰ εἶναι [n]τὴν τύχην· σημεῖον δ' ὅτι δοκεῖ ἤτοι ταὐτὸν εἶναι τῇ εὐδαιμονίᾳ [o]ἡ εὐτυχία ἢ ἐγγύς, ἡ δ' εὐδαιμονία πρᾶξίς τις· εὐπραξία γάρ. [v]Ὥσθ' [p]ὁπόσοις
2 μὴ ἐνδέχεται πρᾶξαι, οὐδὲ τὸ ἀπὸ τύχης τι ποιῆσαι. Καὶ διὰ τοῦτο οὔτε ἄψυχον οὐδὲν οὔτε θηρίον οὔτε παιδίον οὐδὲν ποιεῖ ἀπὸ τύχης, ὅτι οὐκ ἔχει προαίρεσιν· οὐδ' εὐτυχία οὐδ' ἀτυχία ὑπάρχει τούτοις, εἰ μὴ καθ' ὁμοιότητα, ὥσπερ ἔφη Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοί, ὅτι τιμῶνται, οἱ δὲ ὁμόζυγες αὐτῶν καταπατοῦνται. Τὸ δὲ πάσχειν ἀπὸ τύχης [q]ὑπάρξει πως καὶ τούτοις, ὅταν ὁ πράττων τι περὶ αὐτὰ [r]πράξῃ ἀπὸ τύχης· ἄλλως δὲ οὐκ ἔστιν.
3 Τὸ δ' αὐτόματον καὶ τοῖς ἄλλοις ζῴοις [s]καὶ [t]πολλοῖς [v]τῶν ἀψύχων, οἷον ὁ ἵππος αὐτόματος, φαμέν, ἦλθεν, ὅτι ἐσώθη μὲν ἐλθών, οὐ τοῦ σωθῆναι δὲ [w]ἕνεκα ἦλθεν. Καὶ ὁ τρίπους αὐτόματος κατέπεσεν· [x]ἔστη μὲν γὰρ τοῦ καθῆσθαι [w]ἕνεκα,
4 ἀλλ' οὐ τοῦ καθῆσθαι [w]ἕνεκα κατέπεσεν. [v]Ὥστε φανερὸν ὅτι ἐν τοῖς ἁπλῶς [y]ἕνεκά του γινομένοις, ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται [z]οὗ ἔξω τὸ αἴτιον, τότε ἀπὸ [a]ταὐτομάτου λέγομεν· ἀπὸ τύχης δέ, τούτων ὅσα ἀπὸ ταὐτομάτου
5 γίνεται τῶν προαιρετῶν τοῖς ἔχουσι προαίρεσιν. Σημεῖον δὲ τὸ μάτην, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ ἕνεκα ἄλλου ἐκείνου ἕνεκα, οἷον τὸ [b]βαδίσαι λαπάξεως ἕνεκά ἐστιν· εἰ δὲ μὴ ἐγένετο βαδίσαντι, μάτην [c]φαμὲν βαδίσαι καὶ ἡ βάδισις

[k] *γένοιτο ἐν τοῖς ἕνεκά* I. [l] *πᾶν* om. F.I. [m] *ἐστὶν ἐν ὅσοις* I. [n] *τὴν* om. E. [o] *ἡ εὐτυχία* om. F. [p] *ὅσοις* F.I. [q] *ὑπάρχει* F. [r] *πράξῃ τι ἀπὸ* E. [s] *καὶ* ante *π.* om. I. [t] *πολλοῖς* om. F. [v] *τοῖς ἀψύχοις* F. [w] *ἕνεκεν* F.I. [x] *ἐστι* E. [y] *ἕνεκα γ.* F. [z] *οὗ*] *ὧν* F. [a] *τοῦ αὐτομάτου* F. [b] *βαδίσαι εἰ λαπ.* F.I. [c] *ἔφαμεν* F.I.

ματαία, ὡς τοῦτο ὂν τὸ μάτην, τὸ πεφυκὸς ἄλλου ἕνεκα, ὅταν μὴ περαίνῃ ἐκεῖνο οὗ ἕνεκα [d]ἐπεφύκει, ἐπεὶ εἴ τις λούσασθαι φαίη μάτην ὅτι οὐκ [e]ἐξέλιπεν ὁ ἥλιος, γελοῖος ἂν εἴη· οὐ γὰρ ἦν τοῦτο ἐκείνου ἕνεκα. Οὕτω δὴ τὸ αὐτόματον 6
[f]καὶ κατὰ τὸ ὄνομα, ὅταν αὐτὸ μάτην γένηται· κατέπεσε γὰρ [g]οὐ τοῦ πατάξαι [h]ἕνεκα [i]ὁ λίθος· ἀπὸ τοῦ αὐτομάτου ἄρα κατέπεσεν ὁ λίθος, ὅτι πέσοι ἂν ὑπὸ τινὸς καὶ τοῦ πατάξαι ἕνεκα. Μάλιστα δ' ἐστὶ χωριζόμενον [k]τὸ ἀπὸ τύχης ἐν τοῖς φύσει γινομένοις· ὅταν γὰρ γένηταί [l]τι παρὰ φύσιν, τότε οὐκ ἀπὸ τύχης ἀλλὰ μᾶλλον ἀπὸ ταὐτομάτου γεγονέναι φαμέν. [v]Εστι δὲ καὶ τοῦτο ἕτερον· τοῦ μὲν γὰρ ἔξω τὸ αἴτιον, τοῦ δ' ἐντός.

Τί μὲν οὖν ἐστὶ τὸ αὐτόματον καὶ [m]τί ἡ τύχη, εἴρηται, 7
καὶ τί [n]διαφέρουσιν ἀλλήλων. Τὸν δὲ τρόπον [o]τῆς αἰτίας ἐν τοῖς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, [p]ἑκάτερον αὐτῶν· ἢ γὰρ τῶν φύσει τι ἢ τῶν ἀπὸ διανοίας αἴτιον ἀεί ἐστιν· ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον. [q]Επεὶ δ' ἐστὶ τὸ αὐτόματον καὶ 8
ἡ τύχη αἴτια ὧν ἂν [q]ἡ νοῦς γένοιτο αἴτιος ἢ φύσις, ὅταν κατὰ συμβεβηκὸς αἴτιόν τι γένηται τούτων αὐτῶν, [r]οὐδὲν δὲ κατὰ συμβεβηκός ἐστι πρότερον τῶν καθ' [s]αὑτό, δῆλον ὅτι οὐδὲ τὸ κατὰ συμβεβηκὸς αἴτιον [t]πρότερον τοῦ καθ' [v]αὑτό. [v]Υστερον ἄρα τὸ αὐτόματον καὶ ἡ τύχη καὶ νοῦ καὶ φύσεως· ὥστ' εἰ ὅτι μάλιστα τοῦ οὐρανοῦ αἴτιον τὸ αὐτόματον, ἀνάγκη πρότερον νοῦν [w]καὶ φύσιν αἰτίαν εἶναι καὶ ἄλλων πολλῶν καὶ [x]τοῦδε παντός.

[v]Οτι δ' ἔστιν αἴτια, καὶ [y]ὅτι τοσαῦτα τὸν ἀριθμὸν ὅσα 7
φαμέν, δῆλον· τοσαῦτα γὰρ τὸν ἀριθμὸν τὸ διὰ τί περιείληφεν· ἢ γὰρ εἰς τὸ τί ἐστιν ἀνάγεται τὸ διὰ τί ἔσχατον ἐν τοῖς ἀκινήτοις, οἷον ἐν τοῖς μαθήμασιν (εἰς ὁρισμὸν [z]γὰρ τοῦ

[d] ἐπεφύκει] ἦν καὶ ἐπεφύκει F.I. [e] ἐξέλειπεν E. [f] καὶ om. F.I. [g] οὐ] ὁ F. [h] ἕνεκεν E. [i] ὁ post ἕνεκα om. F. [k] τοῦ E. [l] τι om. E. [m] τί ante ἡ om. I. [n] διαφέρει F. [o] τῆς δ' αἰτίας τὸν τρόπον I. [p] ἑκατέρου I. [q] ἢ post ἂν om. E. [r] οὐθὲν I. [s] αὐτό, ὥστ' οὐδ' αἴτιον, δῆλον E. [t] πότερον F. [v] ἑαυτό I. [w] αἴτιον καὶ φύσιν F.I. [x] τοῦδε τοῦ παντός F.I. [y] ὅτι ἔστι τοσαῦτα F.I. [z] γὰρ om. I.

εὐθέος ἢ συμμέτρου ἢ ἄλλου τινὸς ἀνάγεται ἔσχατον), ἢ εἰς τὸ κινῆσαν πρῶτον, οἷον διὰ τί ἐπολέμησαν; Ὅτι ἐσύλησαν· ἢ τίνος ἕνεκα; Ἵν' ἄρξωσιν· ἢ ἐν τοῖς γινομένοις ἡ ὕλη.
2 Ὅτι μὲν οὖν τὰ αἴτια [a] ταῦτα καὶ τοσαῦτα, φανερόν· ἐπεὶ [b] δ' αἱ αἰτίαι [c] τέτταρες, περὶ πασῶν τοῦ φυσικοῦ εἰδέναι, καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς, τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα. Ἔρχεται δὲ τὰ τρία εἰς τὸ [d] ἓν πολλάκις· τὸ μὲν γὰρ τί ἐστι καὶ τὸ οὗ ἕνεκα ἕν ἐστι, τὸ δ' ὅθεν ἡ κίνησις πρῶτον τῷ εἴδει [e] ταὐτὸ τούτοις· ἄν-
3 θρωπος [f] γὰρ ἄνθρωπον γεννᾷ. Καὶ ὅλως ὅσα κινούμενα κινεῖ· ὅσα δὲ μή, οὐκέτι φυσικῆς· οὐ γὰρ ἐν [g] αὐτοῖς ἔχοντα κίνησιν οὐδ' ἀρχὴν κινήσεως κινεῖ, ἀλλ' ἀκίνητα ὄντα. Διὸ τρεῖς αἱ πραγματεῖαι, ἡ μὲν περὶ [h] ἀκίνητον, ἡ δὲ περὶ κινούμενον μὲν ἄφθαρτον δέ, ἡ δὲ περὶ τὰ φθαρτά. Ὥστε τὸ διὰ τί καὶ εἰς τὴν ὕλην ἀνάγοντι ἀποδίδοται, καὶ εἰς [i] τὸ τί
4 ἐστι, καὶ εἰς τὸ πρῶτον κινῆσαν. Περὶ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας σκοποῦσι, τί μετὰ [k] τί γίνεται, καὶ τί πρῶτον [l] ἐποίησεν ἢ τί ἔπαθε, καὶ οὕτως ἀεὶ [m] τὸ ἐφεξῆς. Διτταὶ δὲ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς, ὧν ἡ ἑτέρα οὐ φυσική· οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν ἐν [n] αὑτῇ.
5 [o] Τοιοῦτον δ' ἐστὶν εἴ τι κινεῖ μὴ κινούμενον, [p] ὥσπερ τό τε παντελῶς ἀκίνητον καὶ τὸ πάντων πρῶτον [q] καὶ τὸ τί ἐστι [r] καὶ ἡ μορφή· τέλος γὰρ καὶ οὗ ἕνεκα· ὥστε [s] ἐπεὶ ἡ φύσις ἕνεκά του, καὶ ταύτην εἰδέναι δεῖ, [t] καὶ πάντως ἀποδοτέον τὸ διὰ τί, οἷον [v] ὅτι ἐκ τοῦδε ἀνάγκη τόδε· [w] τὸ δὲ ἐκ τοῦδε ἢ ἁπλῶς [x] ἢ ὡς ἐπὶ τὸ πολύ. Καὶ εἰ μέλλει τοδὶ ἔσεσθαι, ὥσπερ ἐκ τῶν προτάσεων τὸ συμπέρασμα· καὶ ὅτι τοῦτ' ἦν τὸ τί ἦν εἶναι, καὶ διότι [y] βέλτιον οὕτως, οὐχ ἁπλῶς, ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου οὐσίαν.

[a] ταῦτα] τοιαῦτα I. [b] δ' αἱ] δὲ F.I. [c] τέσσαρες F. [d] ἕν om. E. [e] τὸ αὐτὸ F. [f] γὰρ] μὲν γὰρ F.I. [g] ἑαυτοῖς F.I. [h] ἀκινήτων E. [i] τὸ τί ἐστι καὶ εἰς om. F. [k] τί post μετὰ om. E. [l] ἐποίησαν, supra posito εν, F. [m] τῷ E. [n] ἑαυτῇ F.I. [o] τοῦτο I. [p] ὥσπερ γὰρ τό E. [q] καὶ τὸ] καίτοι E. [r] καὶ ante ἡ om. F. [s] ἐπεὶ καὶ ἡ I. [t] καὶ om. E. [v] ὅτι om. F. [w] τὸ] τόδε E. [x] ἢ ante ὡς om. F. [y] βέλτιστον I.

Λεκτέον [z] δὴ πρῶτον μὲν διότι ἡ φύσις τῶν ἕνεκά του 8
αἰτίων, ἔπειτα περὶ τοῦ ἀναγκαίου, πῶς ἔχει ἐν τοῖς φυσικοῖς· εἰς γὰρ ταύτην τὴν αἰτίαν ἀνάγουσι πάντες, ὅτι ἐπειδὴ τὸ θερμὸν τοιονδὶ πέφυκε καὶ τὸ ψυχρὸν [a] καὶ ἕκαστον δὴ τῶν τοιούτων, ταδὶ ἐξ ἀνάγκης ἐστὶ καὶ [b] γίνεται· καὶ γὰρ [c] ἐὰν ἄλλην αἰτίαν εἴπωσιν, ὅσον ἁψάμενοι χαίρειν ἐῶσιν, ὁ μὲν τὴν φιλίαν καὶ τὸ νεῖκος, ὁ δὲ τὸν νοῦν. [d] Ἔχει δ' ἀπο- 2
ρίαν τί κωλύει τὴν φύσιν μὴ ἕνεκά τοῦ ποιεῖν μηδ' ὅτι βέλτιον, ἀλλ' ὥσπερ ὕει ὁ Ζεὺς οὐχ ὅπως τὸν σῖτον [e] αὐξήσῃ, ἀλλ' ἐξ ἀνάγκης· τὸ γὰρ ἀναχθὲν [f] ψυχθῆναι δεῖ, καὶ τὸ ψυχθὲν ὕδωρ γενόμενον κατελθεῖν· τὸ δ' αὐξάνεσθαι τούτου γενομένου [g] τὸν σῖτον συμβαίνει. [h] Ὁμοίως δὲ καὶ εἴ τῳ ἀπόλ- 3
λυται ὁ σῖτος ἐν τῇ ἅλῳ, οὐ τούτου ἕνεκα [i] ὗει ὅπως ἀπόληται, ἀλλὰ τοῦτο συμβέβηκεν. [j] Ὥστε τί κωλύει οὕτω καὶ τὰ μέρη ἔχειν ἐν τῇ φύσει, οἷον τοὺς ὀδόντας ἐξ ἀνάγκης ἀνατεῖλαι τοὺς μὲν ἐμπροσθίους ὀξεῖς, ἐπιτηδείους πρὸς τὸ διαιρεῖν, τοὺς δὲ γομφίους πλατεῖς καὶ χρησίμους πρὸς τὸ λεαίνειν τὴν τροφήν, ἐπεὶ οὐ τούτου ἕνεκα γενέσθαι, ἀλλὰ συμπεσεῖν. [k] Ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων μερῶν, ἐν [l] ὅσοις 4
δοκεῖ ὑπάρχειν τὸ ἕνεκά του. [m] Ὅπου μὲν οὖν ἅπαντα συνέβη ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως· ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται, καθάπερ [n] Ἐμπεδοκλῆς λέγει τὰ [o] βουγενῆ [p] ἀνδρόπρωρα. [q] Ὁ μὲν οὖν λόγος, [r] ᾧ ἄν τις ἀπορήσειεν, 5
οὗτος, καὶ εἴ τις ἄλλος τοιοῦτός ἐστιν· ἀδύνατον [s] δὲ τοῦτον ἔχειν τὸν τρόπον. Ταῦτα μὲν γὰρ καὶ πάντα τὰ φύσει ἢ [t] ἀεὶ οὕτω γίνεται ἢ ὡς ἐπὶ τὸ πολύ, τῶν δ' ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου οὐδέν. [u] Οὐ γὰρ ἀπὸ τύχης οὐδ' ἀπὸ συμπτώματος δοκεῖ ὗειν πολλάκι τοῦ χειμῶνος, ἀλλ' [v] ἐὰν ὑπὸ κύνα· οὐδὲ καύματα ὑπὸ κύνα, ἀλλ' ἂν χειμῶνος. [w] Εἰ οὖν 6

[z] δὲ F.I. [a] καὶ τὸ ἕκαστον F. [b] γίνεται καὶ πέφυκε καὶ F.I. [c] ἐὰν] κἂν F. [d] αὐξήσαι I. [e] τὸ ante ψ. om. E. [f] συμβαίνει τὸν σῖτον F.I. [g] ὗεν I. [h] οἷς E. [i] βουγενῆ καὶ ἀνδρ. F. [k] ἀνδροπωρα E. [l] ᾧ] ὃν I. [m] δὲ ταῦτα τοῦτον F.I. [n] οὕτως ἀεὶ F. [o] οὐ—οὐδ'] οὔτε—οὔτε F.I. [p] ἂν F.I. [q] εἰ] ἢ I.

[r] ἢ ὡς ἀπὸ συμπτώματος δοκεῖ ἢ ἕνεκά του εἶναι, εἰ μὴ οἷόν τε ταῦτ' εἶναι μήτε ἀπὸ συμπτώματος μήτ' ἀπὸ ταὐτομάτου, ἕνεκά του ἂν εἴη. [1] Ἀλλὰ μὴν φύσει [s] γ' ἐστὶ [t] τὰ τοιαῦτα [v] πάντα, ὡς κἂν αὐτοὶ φαῖεν οἱ ταῦτα λέγοντες. [1] Ἔστιν 7 ἄρα τὸ ἕνεκά του ἐν τοῖς φύσει γινομένοις καὶ οὖσιν. [1] Ἔτι ἐν ὅσοις τέλος [w] ἐστί τι, τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς. Οὐκοῦν ὡς πράττεται, οὕτω πέφυκε, καὶ ὡς πέφυκεν, [x] οὕτω πράττεται ἕκαστον, ἂν μή τι ἐμποδίζῃ. Πράττεται δ' ἕνεκά του· καὶ πέφυκεν ἄρα τούτου [y] ἕνεκα. Οἷον εἰ οἰκία τῶν φύσει γινομένων ἦν, οὕτως ἂν ἐγίνετο ὡς νῦν ὑπὸ τῆς τέχνης· εἰ δὲ [z] τὰ φύσει μὴ μόνον φύσει ἀλλὰ καὶ τέχνῃ γίγνοιτο, ὡσαύτως ἂν γίνοιτο ἢ πέ- 8 φυκεν. [1] Ἕνεκα ἄρα θατέρου θάτερον. [1] Ὅλως [a] τε ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις ἀδυνατεῖ [b] ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται. Εἰ οὖν τὰ κατὰ [c] τὴν τέχνην ἕνεκά του, δῆλον ὅτι καὶ τὰ κατὰ [c] τὴν φύσιν· ὁμοίως γὰρ [d] ἔχει πρὸς ἄλληλα ἐν τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς κατὰ φύσιν τὰ ὕστερα [e] πρὸς 9 τὰ πρότερα. Μάλιστα δὲ φανερὸν ἐπὶ τῶν ζῴων τῶν ἄλλων, ἃ οὔτε τέχνῃ οὔτε ζητήσαντα οὔτε βουλευσάμενα ποιεῖ· [f] ὅθεν διαποροῦσί τινες πότερον νῷ ἤ τινι ἄλλῳ ἐργάζονται οἵ τ' ἀράχναι καὶ οἱ μύρμηκες καὶ τὰ τοιαῦτα. Κατὰ μικρὸν δ' οὕτω [g] προϊόντι καὶ ἐν τοῖς φυτοῖς φαίνεται τὰ συμφέροντα γινόμενα πρὸς τὸ τέλος, οἷον τὰ φύλλα τῆς τοῦ καρ- 10 ποῦ [h] ἕνεκα σκέπης. [i] [1] Ὥστ' εἰ φύσει τε ποιεῖ καὶ ἕνεκά του ἡ χελιδὼν [k] τὴν νεοττιὰν καὶ ὁ ἀράχνης τὸ ἀράχνιον, καὶ τὰ φυτὰ [l] τὰ φύλλα ἕνεκα τῶν καρπῶν καὶ τὰς ῥίζας οὐκ ἄνω ἀλλὰ κάτω [m] ἕνεκα τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν [n] ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γινομένοις καὶ οὖσιν. Καὶ ἐπεὶ ἡ

[r] ἢ ὡς om. F.I. [s] τ' E. [t] τὰ τοιαῦτα] ταῦτα E. [v] πάντα] γε πάντα F.I. [w] τι ἐστι F.I. [x] οὕτω πρ. ἕκ. post ἐμποδίζῃ F.I. [y] ἕνεκα] ἕνεκά του E. [z] τὰ φύσει om. E.I. [a] δὲ E. [b] ἀπεργάζεσθαι F.I. [c] τὴν om. F.I. [d] ἔχει ἐν τοῖς πρὸς E. [e] πρὸς τὰ πρότερα om. E. [f] ὅθεν διαπ.] διὸ ἀπ. F.I. [g] προϊόντα F.I. [h] ἕνεκα ante τῆς F.I. [i] ὥστ' εἰ] ὥστῃ E. [k] τὴν ητε περιφερῆ νεοττιὰν F. [l] τὸ φύλλον E. [m] ἕνεκα om. E. [n] ἡ ante αἰτία om. F.

φύσις διττή, ἡ μὲν ὡς ὕλη ἡ δ' ὡς μορφή, τέλος δ' αὕτη, τοῦ τέλους δ' ἕνεκα τἆλλα, αὕτη ἂν εἴη [o] ἡ αἰτία ἡ οὗ ἕνεκα. [p] Ἁμαρτία δὲ γίγνεται καὶ ἐν τοῖς κατὰ τέχνην· ἔγραψε γὰρ 11
οὐκ ὀρθῶς ὁ γραμματικός, καὶ ἐπότισεν [p] οὐκ ὀρθῶς ὁ ἰατρὸς τὸ φάρμακον· ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ ἐν τοῖς κατὰ φύσιν. Εἰ δὴ ἔστιν ἕνια κατὰ τέχνην ἐν οἷς τὸ ὀρθῶς ἕνεκά του, ἐν δὲ τοῖς ἁμαρτανομένοις ἕνεκα μέν τινος ἐπιχειρεῖται ἀλλ' ἀποτυγχάνεται, ὁμοίως ἂν [q] ἔχοι καὶ ἐν τοῖς φυσικοῖς, καὶ τὰ τέρατα [r] ἁμαρτήματα ἐκείνου τοῦ ἕνεκά [s] του. Καὶ ἐν ταῖς ἐξ ἀρχῆς ἄρα συστάσεσι τὰ βουγενῆ, εἰ μὴ πρός τινα ὅρον καὶ τέλος δυνατὰ ἦν ἐλθεῖν, διαφθειρομένης ἂν ἀρχῆς τινὸς ἐγίνετο, ὥσπερ νῦν τοῦ σπέρματος. [t] Ἔτι ἀνάγκη 12
σπέρμα γενέσθαι [t] πρῶτον, ἀλλὰ μὴ εὐθὺς τὰ ζῷα· καὶ τὸ

[v] Οὐλοφυὲς μὲν [v] πρῶτα

σπέρμα ἦν. [u] Ἔτι καὶ ἐν τοῖς φυτοῖς [w] ἔνεστι τὸ ἕνεκά του, ἧττον δὲ [x] διήρθρωται· [y] πότερον οὖν [z] καὶ ἐν τοῖς φυτοῖς ἐγίνετο, ὥσπερ [a] τὰ [b] βουγενῆ ἀνδρόπρωρα, οὕτω καὶ [c] ἀμπελογενῆ ἐλαιόπρωρα, ἢ οὔ; [u] Ἄτοπον γάρ· ἀλλὰ μὴν ἔδει [d] γε, εἴπερ καὶ ἐν τοῖς ζῴοις. [u] Ἔτι ἔδει [e] ἐν τοῖς 13
σπέρμασι γίνεσθαι [f] ὅπως ἔτυχεν· ὅλως δ' ἀναιρεῖ [g] ὁ οὕτω λέγων τὰ φύσει τε καὶ φύσιν· φύσει γάρ, ὅσα ἀπό τινος ἐν [h] αὑτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἀφικνεῖται εἴς τι τέλος· ἀφ' ἑκάστης δὲ οὐ τὸ αὐτὸ ἑκάστοις οὐδὲ τὸ τυχόν, ἀεὶ μέντοι ἐπὶ τὸ αὐτό, [i] ἂν μή τι ἐμποδίσῃ. Τὸ δὲ οὗ ἕνε- 14
κα, καὶ [k] ὃ τούτου ἕνεκα, γένοιτο ἂν [l] καὶ ἀπὸ τύχης, οἷον λέγομεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος [m] καὶ λουσάμενος ἀπῆλθεν, ὅταν ὥσπερ ἕνεκα τούτου ἐλθὼν πράξῃ, μὴ ἕνεκα [n] δὲ τούτου ἔλθῃ. Καὶ τοῦτο κατὰ συμβεβηκός· [o] ἡ γὰρ τύχη

[o] ἡ ante αἰτία om. E. [p] οὐκ ὀρθῶς post ἐπότισεν om. E. [q] ἔχοι om. F. [r] ἁμαρτήματα om. E. [s] του om. E. [t] πρῶτον μὲν ἀλλὰ I. [v] πρότερον I. [w] ἔστι E. [x] ἤρθρωται E. [y] πρότερον F. [z] καὶ om. F. [a] τὰ om. F.I. [b] βουβογενῆ F. [c] ἀμπελογενῆ καὶ F.I. [d] γε om. E. [e] ἐν] καὶ ἐν F. [f] ὥσπερ F. [g] ὁ om. I. [h] ἑαυτοῖς F.I. [i] ἐὰν F.I. [k] ὃ om. E. [l] καὶ om. F.I. [m] γρ. καὶ λυσάμενος τουτέστι λυτρωσάμενος τὸν αἰσχμάλωτον I. [n] τούτου δ' F.I. [o] ἡ—συμβεβηκὸς om. E.

τῶν κατὰ συμβεβηκὸς αἰτίων, καθάπερ καὶ πρότερον εἴπομεν· [p] ἀλλ' ὅταν τοῦτο ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ [q] γίγνηται, οὐ συμβεβηκὸς οὐδ' ἀπὸ τύχης· ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως, [r] ἂν μή τι ἐμποδίσῃ. [u]Ατοπον δὲ τὸ μὴ οἴεσθαι ἕνεκά του γίνεσθαι, ἐὰν μὴ ἴδωσι τὸ [s] κινοῦν βουλευσάμενον. Καίτοι καὶ ἡ τέχνη οὐ βουλεύεται· καὶ [t] γὰρ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως [v] ἂν φύσει ἐποίει· ὥστ' εἰ ἐν τῇ τέχνῃ ἔνεστι τὸ ἕνεκά του, [w] καὶ ἐν φύσει. Μάλιστα δὲ δῆλον, ὅταν τις ἰατρεύῃ αὐτὸς [x] ἑαυτόν· τούτῳ γὰρ ἔοικεν ἡ φύσις. [v]Οτι μὲν οὖν αἰτία ἡ φύσις, καὶ οὕτως ὡς ἕνεκά του, φανερόν.

9 Τὸ δ' ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει ἢ καὶ ἁπλῶς; Νῦν μὲν γὰρ οἴονται τὸ ἐξ ἀνάγκης εἶναι ἐν τῇ γενέσει, ὥσπερ [y] ἂν εἴ τις τὸν τοῖχον [z] ἐξ ἀνάγκης γεγενῆσθαι νομίζοι, ὅτι τὰ μὲν βαρέα κάτω πέφυκε φέρεσθαι τὰ δὲ κοῦφα [a] ἐπιπολῆς, διὸ οἱ λίθοι μὲν κάτω καὶ τὰ θεμέλια, ἡ δὲ γῆ ἄνω [b] διὰ κουφότητα, ἐπιπολῆς δὲ μάλιστα τὰ ξύλα· κου- 2 φότατα γάρ. [t]Αλλ' ὅμως οὐκ ἄνευ μὲν τούτων γέγονεν, οὐ μέντοι διὰ ταῦτα πλὴν ὡς δι' ὕλην, ἀλλ' ἕνεκα τοῦ κρύπτειν [c] ἄττα καὶ σώζειν. [k]Ομοίως δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσιν, ἐν ὅσοις τὸ ἕνεκά του ἐστίν, οὐκ ἄνευ μὲν τῶν ἀναγκαίαν ἐχόντων τὴν φύσιν, οὐ μέντοι [d] γε διὰ ταῦτα ἀλλ' ἢ ὡς ὕλην, ἀλλ' ἕνεκά του, οἷον διὰ τί ὁ πρίων [e] τοιοσδί; [v]Οπως τοδὶ καὶ ἕνεκα τουδί. Τοῦτο μέντοι τὸ οὗ ἕνεκα ἀδύνατον γενέσθαι, ἂν μὴ σιδηροῦς ᾖ· ἀνάγκη ἄρα σιδηροῦν εἶναι, εἰ 3 πρίων ἔσται καὶ τὸ ἔργον αὐτοῦ. [t]Εξ ὑποθέσεως δὴ τὸ ἀναγκαῖον, ἀλλ' οὐχ ὡς τέλος· ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον, τὸ δ' οὗ ἕνεκα ἐν τῷ λόγῳ. [u]Εστι δὲ τὸ ἀναγκαῖον ἔν τε τοῖς μαθήμασι [f] καὶ ἐν τοῖς κατὰ φύσιν γινομένοις τρόπον τινὰ

[p] ἀλλ' ὅταν om. E. [q] *γένηται* E. [r] *ἐὰν* F. [s] *κοινοῦν* I. [t] *γὰρ* om. E. [v] *ἂν τῇ φ.* F.I. [w] *καὶ ἐν φ.*] *καὶ ἐν τῇ φ. ἔνεστι* F.I. [x] *αὐτὸν* I. [y] *ἂν* om. E. [z] *γεγενῆσθαι ἐξ ἀνάγκης* F.I. [a] *ἐξεπιπολῆς* E. [b] *διὰ τὴν κουφ.* F. [c] *ἄττα* om. E.I. [d] *γε* om. F. [e] *τοιοῦτος* E. [f] *καὶ ἐν τοῖς κ. φ.* om. E.

παραπλησίως· ἐπεὶ γὰρ τὸ εὐθὺ τοδί ἐστιν, ἀνάγκη τὸ τρίγωνον δύο [g] ὀρθαῖς [h] ἴσας ἔχειν· ἀλλ' οὐκ [i] ἐπεὶ τοῦτο, ἐκεῖνο· ἀλλ' εἴγε τοῦτο μή ἐστιν, [k] οὐδὲ τὸ εὐθύ ἐστιν. [4] Ἐν δὲ τοῖς γινομένοις ἕνεκά του [l] ἀνάπαλιν, εἰ [m] τὸ τέλος ἔσται ἢ ἔστι, [n] καὶ τὸ ἔμπροσθεν ἔσται ἢ ἔστιν· εἰ δὲ μή, ὥσπερ ἐκεῖ μὴ ὄντος [o] τοῦ συμπεράσματος ἡ ἀρχὴ οὐκ ἔσται, καὶ ἐνταῦθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα· ἀρχὴ γὰρ καὶ αὕτη, οὐ τῆς [p] πράξεως ἀλλὰ τοῦ λογισμοῦ· ἐκεῖ δὲ τοῦ λογισμοῦ· πράξεις γὰρ οὐκ εἰσίν. [w] Ὥστ' εἰ ἔσται οἰκία, [q] ἀνάγκη ταῦτα γενέσθαι ἢ ὑπάρχειν ἢ εἶναι, ἢ ὅλως τὴν ὕλην τὴν ἕνεκά του, οἷον πλίνθους καὶ λίθους, εἰ οἰκία· οὐ μέντοι διὰ ταῦτά ἐστι τὸ τέλος ἀλλ' ἢ ὡς [r] ὕλην. Οὐδ' ἔσται διὰ ταῦτα. [5] Ὅλως μέντοι μὴ ὄντων οὐκ ἔσται οὐδ' ἡ οἰκία οὐδ' ὁ πρίων, ἡ μὲν εἰ μὴ οἱ λίθοι, ὁ δ' εἰ μὴ ὁ σίδηρος· οὐδὲ γὰρ ἐκεῖ αἱ ἀρχαί, εἰ μὴ τὸ τρίγωνον δύο [s] ὀρθαῖς. Φανερὸν δὴ ὅτι τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς τὸ ὡς ὕλη λεγόμενον καὶ αἱ κινήσεις αἱ ταύτης. Καὶ ἅμφω μὲν τῷ φυσικῷ λεκτέαι [t] αἱ αἰτίαι, μᾶλλον δὲ ἡ τινὸς ἕνεκα· αἴτιον γὰρ τοῦτο τῆς ὕλης, ἀλλ' [v] οὐχ αὕτη τοῦ τέλους· καὶ τὸ τέλος [w] τὸ οὗ ἕνεκα, καὶ [x] ἡ ἀρχὴ ἀπὸ τοῦ ὁρισμοῦ καὶ τοῦ λόγου, ὥσπερ ἐν τοῖς κατὰ τέχνην, ἐπεὶ [y] ἡ οἰκία τοιόνδε, τάδε δεῖ [z] γίγνεσθαι καὶ [a] ὑπάρχειν ἐξ ἀνάγκης, καὶ ἐπεὶ ἡ ὑγίεια τοδί, τάδε δεῖ [b] γίγνεσθαι ἐξ ἀνάγκης καὶ ὑπάρχειν. Οὕτως καὶ εἰ ἄνθρωπος [c] τοδί, ταδί· εἰ δὲ [6] ταδί, ταδί. [4] Ἴσως δὲ καὶ ἐν τῷ λόγῳ ἐστὶ [d] τὸ ἀναγκαῖον. [e] Ὁρισαμένῳ γὰρ τὸ ἔργον τοῦ πρίειν ὅτι διαίρεσις τοιαδί· αὕτη δ' οὐκ ἔσται, εἰ μὴ ἔξει ὀδόντας τοιουσδί· οὗτοι δ' [f] οὔ, εἰ μὴ σιδηροῦς. [4] Ἔστι γὰρ καὶ ἐν τῷ λόγῳ ἔνια μόρια ὡς ὕλη τοῦ λόγου.

[g] ὀρθὰς F. [h] ἴσας om. E. [i] ἐπὶ E, εἰ F.I. [k] οὐδὲ τὸ εὐθὺ ἔστιν om. pr. E. [l] ἀνάπαλιν om. E. [m] τὸ om. E. [n] καὶ om. F.I. [o] τοῦ συμπεράσματος om. E. [p] πράξεως δὲ ἀλλὰ F. [q] ταῦτα ἀνάγκη I. [r] ὕλης corr. E, ὕλη I, ἡ ὕλη F. [s] ὀρθαι E. [t] αἱ post λ. om. F. [v] οὐκ αὐτὴ I. [w] τὸ οὗ] τοῦ οὗ E. [x] ἡ om. I. [y] ἡ om. E. [z] γενέσθαι F.I. [a] ὑπάρξειν I. [b] γενέσθαι F.I. [c] τοδί om. E. [d] τὰ ἀναγκαῖα I. [e] ὁρισαμένοι E, ὁρισαμένου I. [f] οὔ om. E.I.

[g] Γ.

'Επεὶ δ' ἡ φύσις μέν ἐστιν ἀρχὴ [h] κινήσεως καὶ μεταβολῆς, ἡ δὲ μέθοδος ἡμῖν περὶ φύσεώς [i] ἐστι, δεῖ μὴ λανθάνειν τί ἐστι κίνησις· ἀναγκαῖον γὰρ ἀγνοουμένης αὐτῆς ἀγνοεῖσθαι καὶ τὴν φύσιν. Διορισαμένοις δὲ περὶ κινήσεως πειρατέον τὸν αὐτὸν ἐπελθεῖν τρόπον περὶ τῶν ἐφεξῆς. Δοκεῖ δ' ἡ κίνησις εἶναι τῶν συνεχῶν, τὸ δ' ἄπειρον ἐμφαίνεται πρῶτον ἐν τῷ συνεχεῖ· διὸ καὶ τοῖς ὁριζομένοις τὸ συνεχὲς [k] συμβαίνει [l] προσχρήσασθαι πολλάκις τῷ λόγῳ τῷ τοῦ [m] ἀπεί-
2 ρου, ὡς τὸ εἰς ἄπειρον διαιρετὸν συνεχὲς ὄν. Πρὸς δὲ τούτοις ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου [n] κίνησιν ἀδύνατον εἶναι. Δῆλον οὖν ὡς διά [o] τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου [p] ταῦτα πᾶσι, σκεπτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων· ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν ἐστίν. [q] Καὶ πρῶτον, καθάπερ [r] εἴπαμεν, περὶ κινήσεως. [1] Εστι δή τι τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ, τὸ μὲν τόδε τι, τὸ δὲ τοσόνδε, [s] τὸ δὲ τοιόνδε, καὶ ἐπὶ τῶν ἄλλων τῶν τοῦ ὄντος κατηγοριῶν
3 ὁμοίως. Τοῦ δὲ πρός τι τὸ μὲν καθ' [t] ὑπεροχὴν λέγεται καὶ κατ' ἔλλειψιν, τὸ δὲ κατὰ [v] τὸ ποιητικὸν καὶ παθητικόν, καὶ ὅλως [w] κινητικόν τε καὶ κινητόν· [x] τὸ γὰρ κινητικὸν κινητικὸν τοῦ κινητοῦ καὶ τὸ κινητὸν κινητὸν ὑπὸ τοῦ κινητικοῦ. Οὐκ ἔστι [y] δὲ κίνησις παρὰ τὰ πράγματα· μεταβάλλει γὰρ τὸ μεταβάλλον [z] ἀεὶ ἢ κατ' οὐσίαν ἢ [a] κατὰ ποσὸν ἢ [b] κατὰ
4 ποιὸν ἢ κατὰ τόπον. Κοινὸν δ' ἐπὶ τούτων οὐδὲν [c] ἔστι

[g] Tit. Γ] *φυσικῶν γ* I. [h] *κινήσεως καὶ στάσεως καὶ μετ.* F. [i] *ἐστι, δεῖ—κίνησις* om. pr. E, qui in litura *ἀναγκαῖον πρῶτον μὲν εἰπεῖν τί ἐστι κίνησις, ἔπειτα τοῦτο διορισαμένους περὶ τῶν ἐφεξῆς τὸν αὐτὸν ἐπελθεῖν τρόπον. Δοκεῖ.* [k] *συμβαίνει ἀνάγκη πρ.* E. [l] *προσχρῆσθαι* I. [m] *ἀπείρου ὡς τὸ εἰς* om. E. [n] *ἀδύνατον κίνησιν* F.I. [o] *τε* om. E. [p] *ταῦτα* om. E. [q] *καὶ πρῶτον*] *πρῶτον δὲ* F.I. [r] *εἴπομεν* F.I. [s] *τὸ δὲ* ante *τοιόνδε* om. F. [t] *ὑπεροχὴν καὶ ἔλλειψιν λέγεται* F.I. [v] *τὸ*] *τό τε* F, om. E. [w] *κινητόν τε καὶ κινητικόν* E. [x] *τὸ μὲν γὰρ* F. [y] *δὲ*] *δέ τις* I. [z] *ἀεὶ* ante *τὸ* F.I. [a] *κατὰ τὸ ποσὸν* F.I. [b] *κατὰ τὸ ποιὸν* F.I, *ποιὸν* E. [c] *ἔστι—ποιὸν* om. E.

λαβεῖν, ὡς [c] φαμέν, ὃ οὔτε τόδε οὔτε ποσὸν οὔτε ποιὸν οὔτε τῶν ἄλλων κατηγορημάτων οὐθέν. Ὥστ' οὐδὲ κίνησις [d] οὐδὲ μεταβολὴ οὐθενὸς ἔσται παρὰ τὰ εἰρημένα, [e] μηδενός γε ὄντος παρὰ τὰ εἰρημένα. Ἕκαστον δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ τόδε· τὸ μὲν γὰρ μορφὴ αὐτοῦ, τὸ δὲ στέρησις· καὶ κατὰ τὸ ποιόν· τὸ μὲν γὰρ λευκὸν τὸ δὲ μέλαν· καὶ κατὰ τὸ ποσὸν τὸ [f] μὲν τέλειον τὸ δ' ἀτελές. Ὁμοίως δὲ καὶ 5
κατὰ τὴν φορὰν τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ τὸ μὲν κοῦφον τὸ δὲ βαρύ. Ὥστε κινήσεως καὶ μεταβολῆς ἐστὶν εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος. Διηρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει, ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ἡ [g] τοιοῦτον, κίνησίς ἐστιν, οἷον τοῦ μὲν ἀλλοιωτοῦ, ἢ ἀλλοιωτόν, ἀλλοίωσις, τοῦ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου φθιτοῦ (οὐδὲν γὰρ ὄνομα κοινὸν ἐπ' ἀμφοῖν) αὔξησις καὶ φθίσις, τοῦ δὲ [h] γενητοῦ καὶ φθαρτοῦ γένεσις καὶ φθορά, [i] τοῦ δὲ φορητοῦ φορά. Ὅτι [k] δὲ τοῦτό ἐστιν ἡ κίνησις, 6
ἐντεῦθεν δῆλον. Ὅταν γὰρ τὸ οἰκοδομητόν, ἢ [l] τοιοῦτον αὐτὸ λέγομεν εἶναι, ἐντελεχείᾳ ἢ, οἰκοδομεῖται, καὶ ἔστι τοῦτο οἰκοδόμησις· [m] ὁμοίως δὲ [n] καὶ μάθησις καὶ ἰάτρευσις καὶ κύλισις καὶ ἅλσις καὶ [o] ἄδρυνσις καὶ γήρανσις. Ἐπεὶ δ' ἔνια ταὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν, οὐχ ἅμα δὲ ἢ οὐ κατὰ τὸ αὐτό, ἀλλ' οἷον θερμὸν μὲν δυνάμει ψυχρὸν δὲ ἐντελεχείᾳ, πολλὰ ἤδη ποιήσει καὶ πείσεται ὑπ' ἀλλήλων· ἅπαν γὰρ ἔσται ἅμα ποιητικὸν καὶ παθητικόν. Ὥστε καὶ 7
τὸ κινοῦν φυσικῶς κινητόν· πᾶν γὰρ τὸ τοιοῦτον κινεῖ κινούμενον καὶ αὐτό. Δοκεῖ μὲν οὖν τισὶν ἅπαν κινεῖσθαι τὸ κινοῦν, [p] οὐ μὴν ἀλλὰ περὶ [q] τούτου μὲν ἐξ ἄλλων ἔσται δῆλον [r] ὅπως ἔχει (ἔστι γάρ [s] τι κινοῦν καὶ ἀκίνητον), ἡ δὲ τοῦ δυ-

[c] ἔφαμεν I. [d] οὔτε F.I. [e] μηθενός I. [f] μὲν γὰρ τ. E. [g] τοιοῦτον] τι τοιοῦτόν ἐστι F, τοιοῦτόν ἐστι I. [h] γεννητοῦ F.I. [i] τοῦ δὲ φορητοῦ φορά om. F. [k] δ' ἐστὶ τοῦτο F. [l] τοιοῦτο αὐτὸν E. [m] ὁμοίως —μάθησις om. E. [n] καὶ μάθησις] καὶ ἡ μάθησις I, om. F. [o] ἄνδρωσις, supra posito νν, I. [p] οὐ μὴν] οὐκ οὖν F. [q] μὲν τούτου F, μὲν οὖν τούτων I. [r] πῶς ἔχει F, om. E. [s] τι τῶν κινούντων καὶ F.I.

νάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ [t] ἢ αὐτὸ ἢ ἄλλο, ᾗ
8 κινητόν, κίνησίς ἐστιν. Λέγω δὲ τὸ ᾗ [v] ὠδί. [1]Εστι γὰρ ὁ
χαλκὸς δυνάμει ἀνδριάς, ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντε-
λέχεια, ᾗ χαλκός, κίνησίς ἐστιν· οὐ γὰρ τὸ [w] αὐτὸ τὸ χαλκῷ
εἶναι καὶ δυνάμει τινὶ κινητῷ, ἐπεὶ εἰ [x] ταὐτὸν ἦν ἁπλῶς καὶ
κατὰ τὸν λόγον, ἦν ἂν ἡ τοῦ χαλκοῦ, ᾗ χαλκός, ἐντελέχεια
9 κίνησις· οὐκ ἔστι δὲ [y] ταὐτὸν ὡς εἴρηται. Δῆλον δ' ἐπὶ τῶν
ἐναντίων· τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι κάμνειν
ἕτερον· καὶ γὰρ ἂν τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν [z] ταὐτὸν ἦν·
τὸ δὲ ὑποκείμενον καὶ τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν, εἴθ' ὑγρό-
της εἴθ' αἷμα, [z] ταὐτὸν καὶ ἕν. [1]Επεὶ δ' οὐ ταὐτόν, ὥσπερ
οὐδὲ χρῶμα [z] ταὐτὸν καὶ ὁρατόν, ἡ τοῦ δυνατοῦ, ᾗ δυνατόν,
10 ἐντελέχεια φανερὸν [a] ὅτι κίνησίς [b] ἐστιν. [v]Οτι μὲν οὖν ἐστὶν
[c] αὕτη, καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι ὅταν [d] ἡ ἐντελέχεια
ᾗ αὕτη, καὶ οὔτε πρότερον οὔτε ὕστερον, [e] δῆλον· ἐνδέχεται
γὰρ ἕκαστον ὁτὲ [f] μὲν ἐνεργεῖν ὁτὲ δὲ μή, οἷον [g] τὸ οἰκοδο-
μητὸν καὶ ἡ τοῦ οἰκοδομητοῦ [h] ἐνέργεια, ᾗ οἰκοδομητόν, οἰκο-
δόμησίς ἐστιν· ἢ [i] γὰρ οἰκοδόμησις [k] ἡ ἐνέργεια [l] τοῦ οἰκοδο-
μητοῦ ἢ [m] ἡ οἰκία· ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτ' οἰκοδομητὸν
[n] ἔστιν· οἰκοδομεῖται δὲ τὸ οἰκοδομητόν· ἀνάγκη [o] ἄρα [p] τὴν
οἰκοδόμησιν τὴν ἐνέργειαν εἶναι· ἡ δ' οἰκοδόμησις κίνησίς τίς
[q] ἐστιν. [1]Αλλὰ μὴν ὁ αὐτὸς ἐφαρμόσει λόγος καὶ ἐπὶ τῶν
ἄλλων κινήσεων.

2 [v]Οτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ
αὐτῆς λέγουσι, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως
αὐτήν. Οὔτε γὰρ τὴν κίνησιν καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ

[t] ἢ αὐτὸ—ᾗ] ἢ αὐτὸ I, οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ γρ. I. [v] ὠδί post γὰρ E. [w] αὐτῷ τῷ F, αὐτὸ E. [x] ταυτὸ ἢ ἁπλῶς ἢ κ. τ. λόγον ἡ τοῦ χ. ᾗι χ. ἐντ. κίνησις ἂν ἦν E. [y] ταυτὸ ὥσπερ F.I. [z] τὸ αὐτὸ F. [a] ὅτι] τὸ E. [b] ἐστιν. Εἰ δὲ μὴ τὸ αὐτὸ ἀλλ' ὡς χρῶμα τὸ αὐτὸ καὶ ὁρατόν, ᾗ δυνάμει ἐστίν, τὴν τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχειαν εἶναι λέγω κίνησιν. [v]Οτι E. [c] αὕτη τοῦτο καὶ E. [d] ἡ et mox ᾗ om. F. [e] φανερὸν E. [f] γὰρ] μὲν γὰρ F. [g] τὸ om. E. [h] ἐντελέχεια E. [i] γὰρ τοῦτό ἐστιν οἰκοδόμησις F.I. [k] ἡ om. E.F. [l] τοῦ οἰκοδομητοῦ om. F.I. [m] ἡ om. F.I. [n] ἔσται F.I. [o] οὖν E. [p] τὴν om. E.I. [q] ἐστιν om. F.I.

γένει θεῖναι δύναιτ' ἄν [r]τις. Δῆλον [s]δὲ σκοποῦσιν ὡς τιθέασιν [t]αὐτὴν ἔνιοι, ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν· ὧν οὐδὲν ἀναγκαῖον κινεῖσθαι, οὔτ' ἂν ἕτερα ᾖ οὔτ' [v]ἂν ἄνισα οὔτ' ἂν οὐκ ὄντα· ἀλλ' οὐδ' ἡ μεταβολὴ οὔτ' εἰς ταῦτα οὔτ' ἐκ τούτων μᾶλλόν ἐστιν ἢ [w]ἐκ τῶν ἀντικειμένων. Αἴτιον δὲ τοῦ εἰς ταῦτα [x]τιθέναι ὅτι 2
ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις, τῆς δὲ ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι ἀόριστοι· οὔτε γὰρ τόδε οὔτε [y]τοιόνδε οὐδεμία αὐτῶν [z]ἐστίν, ὅτι οὐδὲ τῶν ἄλλων κατηγοριῶν. Τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν αἴτιον ὅτι οὔτε εἰς δύναμιν τῶν ὄντων [a]οὔτε εἰς ἐνέργειαν ἔστι θεῖναι αὐτὴν [b]ἁπλῶς· οὔτε γὰρ τὸ δυνατὸν [c]ποσὸν εἶναι κινεῖται ἐξ ἀνάγκης οὔτε τὸ ἐνεργείᾳ [d]ποσόν, ἥ τε κίνησις ἐνέργεια μέν [e]τις εἶναι δοκεῖ, ἀτελὴς δέ. Αἴτιον δ' ὅτι ἀτε-
λὲς τὸ δυνατόν, οὗ ἐστὶν [f]ἡ ἐνέργεια. Καὶ διὰ τοῦτο δὴ 3
χαλεπὸν [g]αὐτὴν λαβεῖν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀναγκαῖον θεῖναι ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν ἁπλῆν, τούτων δ' οὐδὲν φαίνεται ἐνδεχόμενον. Λείπεται [h]τοίνυν ὁ εἰρημένος τρόπος, ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δ' ἐνέργειαν οἵαν [i]εἴπαμεν, χαλεπὴν μὲν ἰδεῖν, ἐνδεχομένην δ' [k]εἶναι. Κινεῖ- 4
ται δὲ καὶ τὸ κινοῦν, ὥσπερ εἴρηται, πᾶν τὸ δυνάμει ὂν κινητόν, καὶ οὗ ἡ ἀκινησία ἠρεμία ἐστίν· ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτῳ ἡ ἀκινησία ἠρεμία· τὸ γὰρ πρὸς τοῦτο ἐνεργεῖν, ᾗ τοιοῦτον, αὐτὸ τὸ κινεῖν ἐστί· τοῦτο δὲ ποιεῖ θίξει, ὥστε ἅμα καὶ πάσχει· διὸ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ, ᾗ κινητόν. Συμβαίνει [l]δὲ τοῦτο θίξει τοῦ κινητικοῦ, [m]ὥσθ' 5
ἅμα καὶ πάσχει. Εἶδος δὲ ἀεὶ οἴσεταί [n]τι τὸ κινοῦν, ἤτοι

[r] post τις editi οὔτε οἱ ἑτέρως εἰρηκότες περὶ αὐτῆς κατορθοῦσι. [s] τε E. [t] ἐνιοι αὐτὴν F.I. [v] ἂν ante ἄνισα om. F.I. [w] ἐκ post ἢ om. F.I. [x] post τιθέναι deletum nescio quid E. [y] τοσόνδε I. [z] ἐστίν om. F.I. [a] οὐδὲ F. [b] ἁπλῶς om. I. [c] εἶναι ποσὸν F.I. [d] αποσον E. [e] εἶναι δοκεῖ τις E. [f] ἡ om. F.I. [g] αὐτὴ E. [h] τοίνυν] δὴ E. [i] εἴπομεν F.I. [k] εἶναι. Ὅτι δὲ καλῶς εἴρηται, δῆλον. Οὐ γὰρ αὐτὴν κίνησιν καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτ' ἄν τις, ἥ τε κίνησις ἐνέργεια μὲν εἶναι δοκεῖ τις, ἀτελὴς δέ, αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατόν. Κινεῖται E. [l] δὲ om. F. [m] ὥσθ' ἅμα κ. π. om. E. [n] τι om. E.

τόδε ἢ τοιόνδε [o] ἢ τοσόνδε, ὃ ἔσται ἀρχὴ καὶ αἴτιον τῆς κινήσεως, ὅταν κινῇ, οἷον ὁ ἐντελεχείᾳ ἄνθρωπος ποιεῖ ἐκ τοῦ δυνάμει ὄντος ἀνθρώπου ἄνθρωπον.

3 Καὶ τὸ ἀπορούμενον δὲ φανερόν, ὅτι ἐστὶν ἡ κίνησις ἐν τῷ κινητῷ· ἐντελέχεια γάρ ἐστι τούτου, καὶ ὑπὸ τοῦ κινητικοῦ. Καὶ ἡ τοῦ κινητικοῦ δὲ ἐνέργεια οὐκ ἄλλη ἐστίν· δεῖ μὲν γὰρ εἶναι ἐντελέχειαν ἀμφοῖν· [p] κινητικὸν μὲν γάρ ἐστι τῷ δύνασθαι, κινοῦν δὲ τῷ ἐνεργεῖν· ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ, ὥστε ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια ὥσπερ τὸ αὐτὸ διάστημα ἓν [q] πρὸς δύο καὶ δύο πρὸς ἕν, καὶ τὸ ἄναντες καὶ τὸ κάταντες· ταῦτα γὰρ ἓν μέν ἐστιν, ὁ μέντοι λόγος οὐχ εἷς. [r] Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου.

2 [v] Ἔχει δ' ἀπορίαν λογικήν· ἀναγκαῖον γὰρ ἴσως εἶναί [r] τινα ἐνέργειαν [s] ἄλλην τοῦ ποιητικοῦ [t] καὶ τοῦ παθητικοῦ· τὸ μὲν [v] δὴ ποίησις, τὸ δὲ πάθησις, ἔργον δὲ καὶ τέλος τοῦ μὲν ποίημα, τοῦ δὲ πάθος. [w] Ἐπεὶ οὖν ἄμφω κινήσεις, εἰ μὲν [x] ἕτεραι, ἐν τίνι; [u] Ἡ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ κινουμένῳ, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι· εἰ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν, ὁμώνυμος ἂν

3 εἴη. [t] Ἀλλὰ μὴν εἰ τοῦτο, ἡ κίνησις ἐν τῷ κινοῦντι ἔσται· ὁ γὰρ αὐτὸς λόγος ἐπὶ κινοῦντος καὶ κινουμένου. [v] Ὥστ' ἢ πᾶν τὸ κινοῦν κινήσεται, ἢ ἔχον κίνησιν οὐ κινήσεται. Εἰ δ' ἄμφω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι, καὶ ἡ ποίησις καὶ ἡ πάθησις, καὶ ἡ δίδαξις καὶ ἡ μάθησις δύο οὖσαι ἐν τῷ μανθάνοντι, πρῶτον μὲν ἡ ἐνέργεια [y] ἡ ἑκάστου οὐκ ἐν ἑκάστῳ ὑπάρξει, εἶτα ἄτοπον [z] δύο κινήσεις ἅμα κινεῖσθαι· τίνες γὰρ ἔσονται ἀλλοιώσεις δύο τοῦ ἑνὸς καὶ εἰς ἓν εἶδος; [t] Ἀλλ'

4 ἀδύνατον. [t] Ἀλλὰ μία ἔσται ἡ ἐνέργεια. [t] Ἀλλ' ἄλογον δύο ἑτέρων τῷ εἴδει τὴν αὐτὴν καὶ μίαν εἶναι ἐνέργειαν· καὶ ἔσται, εἴπερ [a] ἡ δίδαξις καὶ ἡ μάθησις [b] ταὐτὸ καὶ ἡ ποίησις καὶ ἡ

[o] ἢ τοσόνδε om. E. [p] κινητὸν I. [q] πρὸς δύο F. [r] τινα εἶναι F. [s] ἄλλην om. E. [t] καὶ ἄλλην τοῦ I. [v] δὴ] γὰρ F.I. [w] ἐπεὶ] εἰ F. [x] ἕτεραι εἰσιν ἐν E. [y] ἡ ἐν ἑκάστῳ F. [z] δύο] τὸ δύο F, τὰς δύο I. [a] ἡ μάθησις καὶ ἡ δίδαξις F, ἡ μάθησις καὶ δίδαξις I. [b] τὸ αὐτὸ F.

πάθησις, καὶ τὸ διδάσκειν τῷ μανθάνειν [b] ταὐτὸ καὶ τὸ ποιεῖν τῷ πάσχειν, ὥστε τὸν διδάσκοντα ἀνάγκη ἔσται πάντα μανθάνειν καὶ τὸν ποιοῦντα πάσχειν. Ἡ οὔτε τὸ τὴν ἄλλου 5
ἐνέργειαν ἐν ἑτέρῳ εἶναι ἄτοπον (ἔστι [c] γὰρ ἡ δίδαξις ἐνέργεια τοῦ διδασκαλικοῦ, ἔν τινι μέντοι, [d] καὶ οὐκ ἀποτετμημένη, ἀλλὰ τοῦδε ἐν τῷδε) οὔτε μίαν δυοῖν [e] τὴν αὐτὴν εἶναι κωλύει, μὴ ὡς τὸ εἶναι τὸ [f] αὐτό, ἀλλ' ὡς ὑπάρχει τὸ [g] δυνάμει ὂν πρὸς τὸ ἐνεργοῦν. Οὔτ' ἀνάγκη τὸν διδάσκοντα 6
μανθάνειν, οὐδ' εἰ τὸ [h] ποιεῖν καὶ πάσχειν τὸ αὐτό ἐστι, μὴ μέντοι ὡς τὸν λόγον [i] εἶναι ἕνα [k] τὸν τί ἦν εἶναι λέγοντα, [l] ὡς λῶπιον καὶ ἱμάτιον, ἀλλ' ὡς ἡ ὁδὸς ἡ Θήβηθεν [t] Ἀθήναζε καὶ ἡ [t] Ἀθήνηθεν εἰς Θήβας, ὥσπερ εἴρηται καὶ πρότερον· οὐ γὰρ ταὐτὰ πάντα ὑπάρχει τοῖς ὁπωσοῦν [m] τοῖς αὐτοῖς, ἀλλὰ μόνον οἷς τὸ εἶναι τὸ αὐτό. Οὐ μὴν ἀλλ' οὐδ' εἰ ἡ 7
δίδαξις τῇ μαθήσει τὸ αὐτό, καὶ τὸ μανθάνειν τῷ [n] διδάσκειν, ὥσπερ οὐδ' εἰ ἡ διάστασις μία τῶν διεστηκότων, καὶ τὸ διίστασθαι ἐνθένθε ἐκεῖσε [o] κἀκεῖθεν δεῦρο ἓν καὶ τὸ αὐτό. [v] Ὅλως δ' εἰπεῖν οὐδ' ἡ δίδαξις τῇ μαθήσει οὐδ [p] ἡ ποίησις τῇ παθήσει τὸ αὐτὸ κυρίως, ἀλλ' ᾧ ὑπάρχει ταῦτα, [p] ἡ κίνησις· τὸ γὰρ [q] τοῦδε ἐν τῷδε καὶ τὸ τοῦδε ὑπὸ τοῦδε ἐνέργειαν εἶναι ἕτερον τῷ λόγῳ.

Τί μὲν οὖν [r] ἐστὶ κίνησις [s] εἴρηται καὶ καθόλου καὶ κατὰ 8
μέρος· οὐ γὰρ ἄδηλον [t] ὡς ὁρισθήσεται τῶν εἰδῶν ἕκαστον αὐτῆς· ἀλλοίωσις μὲν γὰρ ἡ τοῦ ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτόν, ἐντελέχεια. [t] Ἔτι δὲ γνωριμώτερον, ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ, ᾗ τοιοῦτον, ἁπλῶς τε καὶ πάλιν καθ' ἕκαστον, [v] ἢ οἰκοδόμησις ἢ ἰάτρευσις. Τὸν αὐτὸν [w] δὲ λεχθήσεται τρόπον καὶ περὶ τῶν ἄλλων κινήσεων ἑκάστης.

[b] τὸ αὐτὸ F. [c] ἡ γὰρ E. [d] καὶ om. F. [e] κωλύει οὐθεν τὴν αὐτὴν εἶναι F.I. [f] αὐτό, ὡς λώπιον καὶ ἱμάτιον, ἀλλ' I. [g] δυνάμενον πρὸς E. [h] τὸ πάσχειν καὶ τὸ ποιεῖν F.I. [i] εἶναι ἕνα om. E.F. [k] τὸ E, om. F. [l] οἷον τῷ λωπίῳ καὶ ἱματίῳ F.I. [m] τοῖς αὐτοῖς] ταυτοῖς I. [n] διδάσκειν τὸ αὐτὸ ὥσπερ F.I. [o] καὶ ἐκεῖθεν F.I. [p] ἡ] ὡς I. [q] τοῦδε—τὸ] τόδε E. [r] ἐστι] ἡ F. [s] εἴρηται post μέρος F.I. [t] πῶς I. [v] ἢ] ὅτι E. [w] δὲ om. I.

4 [d]Ἐπεὶ δ' ἔστιν ἡ περὶ φύσεως ἐπιστήμη περὶ [x]μεγέθη καὶ κίνησιν καὶ χρόνον, ὧν ἕκαστον ἀναγκαῖον ἢ ἄπειρον ἢ πεπερασμένον εἶναι, εἰ καὶ μὴ πᾶν ἐστὶν ἄπειρον ἢ πεπερασμένον, οἷον πάθος ἢ στιγμή (τῶν γὰρ τοιούτων ἴσως οὐδὲν ἀναγκαῖον ἐν θατέρῳ τούτων εἶναι), προσῆκον ἂν εἴη τὸν περὶ φύσεως πραγματευόμενον θεωρῆσαι περὶ ἀπείρου, εἰ ἔστιν ἢ
2 μή, καὶ εἰ ἔστι, τί ἐστιν. Σημεῖον δ' [y]ὅτι τῆς ἐπιστήμης οἰκεία [z]ἡ θεωρία [a]ταύτης· πάντες γὰρ [b]οἱ δοκοῦντες ἀξιολόγως [c]ἥφθαι τῆς τοιαύτης φιλοσοφίας πεποίηνται λόγον περὶ [d]τοῦ ἀπείρου, καὶ πάντες ὡς ἀρχήν [e]τινα τιθέασι τῶν [f]ὄντων, οἱ μέν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων, καθ' αὑτό, οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ ἀλλ' οὐσίαν αὐτὸ ὂν τὸ
3 ἄπειρον. Πλὴν οἱ μὲν Πυθαγόρειοι ἐν τοῖς αἰσθητοῖς (οὐ γὰρ χωριστὸν [g]ποιοῦσι τὸν ἀριθμόν), καὶ [h]εἶναι τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον. Πλάτων δὲ ἔξω μὲν [i]οὐδὲν εἶναι σῶμα, οὐδὲ τὰς ἰδέας, διὰ τὸ μηδέ που εἶναι [k]αὐτάς, τὸ μέντοι ἄπειρον
4 καὶ ἐν τοῖς αἰσθητοῖς καὶ ἐν [l]ἐκείναις εἶναι. Καὶ οἱ μὲν τὸ ἄπειρον [m]εἶναι τὸ ἄρτιον· τοῦτο [n]γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον [o]παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν· σημεῖον δ' εἶναι τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἀριθμῶν· περιτιθεμένων γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν καὶ χωρὶς ὁτὲ μὲν ἄλλο ἀεὶ γίγνεσθαι τὸ εἶδος, ὁτὲ δὲ ἕν· Πλά-
5 των δὲ δύο τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν. Οἱ δὲ περὶ φύσεως [p]ἅπαντες ἀεὶ ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων στοιχείων, οἷον ὕδωρ ἢ ἀέρα ἢ τὸ μεταξὺ τούτων. Τῶν [q]δὲ πεπερασμένα ποιούντων στοιχεῖα οὐθεὶς ἄπειρα ποιεῖ· ὅσοι δ' ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, καθάπερ [d]Ἀναξαγόρας καὶ Δημόκριτος, ὁ μὲν ἐκ τῶν ὁμοιο-

[x] μεγέθη τε καὶ F. [y] ὅτι ταύτης τῆς F.I. [z] ἡ περὶ αὐτὸ θεωρία rc. E. in litura. [a] ταύτης] περὶ αὐτοῦ F, ἡ περὶ αὐτοῦ I. [b] οἱ δοκοῦντες om. F. [c] ἥφθαι corr. E: locus pluribus. [d] τοῦ om. E. [e] τινα—αὐτὸ om. F. [f] ὄντων καὶ οἱ I. [g] ποιοῦσι] εἶναι λέγουσι E. [h] εἶναι δὲ ἔξω τοῦ οὐρανοῦ τὸ ἄπειρον F. [i] οὐδὲ F. [k] αὐτὰς εἶναι E. [l] ἐκείνοις E.I. [m] εἶναι post ἄπ. om. F. [n] γὰρ] γὰρ τὸ E. [o] παρέχει E.F. [p] ἀεὶ πάντες E. [q] δὲ om. E.

μερῶν, ὁ δ' ἐκ τῆς πανσπερμίας τῶν σχημάτων, τῇ ἁφῇ συνεχὲς [r]τὸ ἄπειρον εἶναι φασίν· καὶ ὁ μὲν ὁτιοῦν [s]τῶν μορίων εἶναι [t]μίγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γιγνόμενον· ἐντεῦθεν γὰρ ἔοικε [v]καὶ ὁμοῦ ποτὲ [w]πάντα [x]χρήματα φάναι εἶναι, οἷον ἥδε ἡ σὰρξ καὶ τόδε τὸ ὀστοῦν, καὶ οὕτως ὁτιοῦν· καὶ πάντα ἄρα· καὶ ἅμα τοίνυν· ἀρχὴ γὰρ οὐ μόνον ἐν ἑκάστῳ ἐστὶ τῆς διακρίσεως, ἀλλὰ καὶ πάντων. [y]Ἐπεὶ γὰρ τὸ γιγνόμενον ἐκ [y]τοῦ τοιούτου γίνε- 6
ται σώματος, πάντων δ' ἐστὶ γένεσις πλὴν οὐχ ἅμα, καί τινα ἀρχὴν [z]δεῖ εἶναι τῆς γενέσεως, αὕτη δ' ἐστὶ μία, [a]ὃν ἐκεῖνος καλεῖ νοῦν, ὁ δὲ νοῦς ἀπ' ἀρχῆς τινὸς ἐργάζεται νοήσας· ὥστε ἀνάγκη ὁμοῦ [b]ποτὲ πάντα εἶναι καὶ ἄρξασθαί ποτε κινούμενα. Δημόκριτος δ' οὐδὲν ἕτερον ἐξ ἑτέρου γίγνεσθαι 7
τῶν πρώτων [c]φησίν· ἀλλ' ὅμως [d]γε [e]αὐτὸ τὸ κοινὸν σῶμα [f]πάντων ἐστὶν [g]ἀρχή, μεγέθει [h]κατὰ μόρια καὶ σχήματι διαφέρον.

[u]Ὅτι μὲν οὖν προσήκουσα τοῖς φυσικοῖς ἡ θεωρία, δῆλον 8
ἐκ τούτων. Εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες· οὔτε γὰρ μάτην [i]αὐτὸ οἷόν τε εἶναι, οὔτε ἄλλην [k]ὑπάρχειν αὐτῷ δύναμιν πλὴν ὡς ἀρχήν· ἅπαντα γὰρ ἢ ἀρχὴ ἢ ἐξ ἀρχῆς, τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή· εἴη γὰρ [l]ἂν αὐτοῦ πέρας. [v]Ἔτι δὲ καὶ [m]ἀγένητον καὶ ἄφθαρτον ὡς ἀρχή τις οὖσα· τό τε γὰρ γενόμενον ἀνάγκη [n]τέλος λαβεῖν, καὶ τελευτὴ πάσης ἐστὶ φθορᾶς. [o]Διὸ καθάπερ λέγομεν, οὐ 9
ταύτης ἀρχή, ἀλλ' αὕτη τῶν ἄλλων εἶναι δοκεῖ καὶ περιέχειν ἅπαντα καὶ πάντα κυβερνᾶν, ὥς φασιν ὅσοι μὴ ποιοῦσι παρὰ τὸ ἄπειρον ἄλλας αἰτίας, οἷον νοῦν ἢ φιλίαν· καὶ τοῦτ' εἶναι τὸ θεῖον· ἀθάνατον γὰρ καὶ ἀνώλεθρον, [p]ὡς φησὶν [q]ὁ Ἀνα-

[r] εἶναι τὸ ἄπειρον F. [s] τῶν μορίων] μόριον I. [t] ὁμοίως μίγμα F.I. [v] καὶ τὸ ὁμοῦ I. [w] ἅπαντα I, πάντα τὰ E, om. F. [x] χρήματα om. E, post φάναι ponit F. [y] τοῦ om. I. [z] εἶναι δεῖ F.I. [a] οἷον E. [b] πάντα ποτὲ I. [c] φησίν] φύσεων F. [d] γε om. F.I. [e] αὐτῶν E. [f] ἁπάντων F.I. [g] ἀρχὴ om. E. [h] κατὰ τὰ μόρια I. [i] αὐτὸ οἴονται E, οἷόν τε αὐτὸ F.I. [k] αὐτῷ ὑπάρχειν F.I. [l] ἂν om. I. [m] ἀγέννητον F.I. [n] λαβεῖν τέλος F.I. [o] διόπερ καθὰ I. [p] ὥσπερ F.I. [q] ὁ om. I.

10 ξίμανδρος καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων. Τοῦ δ' εἶναί τι ἄπειρον ἡ πίστις [r] ἐκ πέντε μάλιστ' ἂν συμβαίνοι σκοποῦσιν, ἔκ τε τοῦ χρόνου (οὗτος γὰρ ἄπειρος) καὶ ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως (χρῶνται γὰρ καὶ οἱ [s] μαθηματικοὶ τῷ ἀπείρῳ), ἔτι τῷ οὕτως ἂν μόνως μὴ ὑπολείπειν [t] γένεσιν καὶ φθοράν, [v] εἰ ἄπειρον [w] εἴη ὅθεν ἀφαιρεῖται τὸ γιγνόμενον.
11 Ἔτι τῷ [x] τὸ πεπερασμένον [y] ἀεὶ πρός τι περαίνειν, ὥστε ἀνάγκη [z] μηδὲν εἶναι πέρας, εἰ ἀεὶ περαίνειν ἀνάγκη ἕτερον πρὸς ἕτερον. Μάλιστα δὲ καὶ κυριώτατον, ὃ τὴν κοινὴν ποιεῖ ἀπορίαν πᾶσιν· διὰ γὰρ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν καὶ ὁ ἀριθμὸς δοκεῖ ἄπειρος εἶναι καὶ τὰ [a] μαθηματικὰ
12 μεγέθη καὶ τὸ ἔξω τοῦ οὐρανοῦ. Ἀπείρου δ' ὄντος τοῦ ἔξω, καὶ σῶμα ἄπειρον εἶναι δοκεῖ καὶ κόσμοι· τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα ἢ ἐνταῦθα; Ὥστ' εἴπερ μοναχοῦ, καὶ παντα-χοῦ εἶναι τὸν ὄγκον. Ἅμα δ' εἰ καὶ ἔστι κενὸν καὶ τόπος ἄπειρος, καὶ σῶμα [b] ἄπειρον [c] εἶναι ἀναγκαῖον· [d] ἐνδέχεσθαι
13 γὰρ [e] ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις. Ἔχει δ' ἀπο-ρίαν ἡ περὶ τοῦ ἀπείρου θεωρία· καὶ γὰρ [f] μὴ εἶναι τιθεμέ-νοις πόλλ' ἀδύνατα συμβαίνει καὶ εἶναι. Ἔτι δὲ ποτέρως ἐστί, πότερον ὡς οὐσία [g] ἢ συμβεβηκὸς καθ' αὑτὸ φύσει τινί; Ἢ οὐδετέρως, ἀλλ' οὐδὲν ἧττον [e] ἐστὶν ἄπειρον [h] ἢ ἄπειρα τῷ πλήθει. Μάλιστα δὲ φυσικοῦ ἐστὶ σκέψασθαι εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον. Πρῶτον [i] οὖν διοριστέον
14 ποσαχῶς λέγεται τὸ ἄπειρον. Ἕνα μὲν δὴ τρόπον τὸ ἀδύ-νατον διελθεῖν τῷ μὴ πεφυκέναι διιέναι, ὥσπερ [k] ἡ φωνὴ ἀόρατος· ἄλλως δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ [l] μό-λις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας. Ἔτι ἄπειρον ἅπαν ἢ κατὰ πρόσθεσιν ἢ κατὰ διαίρεσιν ἢ ἀμφο-τέρως.

5 Χωριστὸν μὲν οὖν εἶναι τὸ ἄπειρον τῶν αἰσθητῶν, αὐτό

[r] ἐκ πέντε om. F. [s] μαθητικοὶ E. [t] γένεσιν] τὴν γένεσιν F. [v] εἰ—γιγνόμενον om. E. [w] εἴη] ἦ F. [x] τὸ post τῷ om. F. [y] αἰεὶ F. [z] μηδὲ E. [a] μαθητικὰ E. [b] ἄπειρον om. E. [c] ἀναγκαῖον εἶναι F.I. [d] τὸ γὰρ ἐνδέχεσθαι F.I. [e] ἢ] τοῦ F.I. [f] μὴ] καὶ μὴ I. [g] ἢ om. E. [h] ἢ ἀπ.] καὶ ἀπ. F.I. [i] οὖν om. F. [k] ἡ] δ' ἡ E. [l] μόγις F.I.

τι ὂν ἄπειρον, οὐχ οἷόν τε. Εἰ γὰρ μήτε μέγεθός ἐστι μήτε πλῆθος, [m]ἀλλ' οὐσία αὐτό ἐστι τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται· τὸ [n]γὰρ διαιρετὸν ἢ μέγεθος ἔσται ἢ πλῆθος· Εἰ δὲ [o]ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ ὡς 2
ἡ φωνὴ ἀόρατος. [1]Αλλ' οὐχ οὕτως οὔτε φασὶν [p]εἶναι οἱ φάσκοντες εἶναι τὸ ἄπειρον οὔτε ἡμεῖς ζητοῦμεν, ἀλλ' ὡς [q]ἀδιέξοδον. [r]Εἰ δὲ κατὰ συμβεβηκός ἐστι τὸ ἄπειρον, οὐκ ἂν εἴη [s]στοιχεῖον τῶν ὄντων, ᾗ ἄπειρον, ὥσπερ [t]οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου, καίτοι ἡ φωνή ἐστιν ἀόρατος. [1]Ετι 3
πῶς ἐνδέχεται [v]εἶναί τι αὐτὸ ἄπειρον, εἴπερ [w]μὴ καὶ ἀριθμὸν καὶ μέγεθος, ὧν ἐστὶ καθ' [x]αὐτὸ πάθος τι τὸ ἄπειρον; [1]Ετι γὰρ ἧττον ἀνάγκη ἢ τὸν ἀριθμὸν ἢ τὸ μέγεθος. Φανερὸν δὲ καὶ ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ ἄπειρον ὡς ἐνεργείᾳ ὂν καὶ ὡς οὐσίαν καὶ [y]ἀρχήν· ἔσται γὰρ ὁτιοῦν αὐτοῦ ἄπειρον τὸ λαμβανόμενον, εἰ μεριστόν. Τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπει- 4
ρον τὸ αὐτό, εἴπερ οὐσία τὸ ἄπειρον καὶ μὴ καθ' ὑποκειμένου, ὥστ' ἢ ἀδιαίρετον ἢ εἰς ἄπειρα διαιρετόν· πολλὰ [z]δ' ἄπειρα [a]τὸ αὐτὸ εἶναι ἀδύνατον. [1]Αλλὰ μὴν ὥσπερ [b]ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου, εἴ [c]γε οὐσία ἐστὶ καὶ ἀρχή. [1]Αμέριστον ἄρα καὶ ἀδιαίρετον. [1]Αλλ' ἀδύνατον τὸ 5
ἐντελεχείᾳ ὂν ἄπειρον· ποσὸν γάρ τι εἶναι ἀναγκαῖον. Κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει τὸ ἄπειρον. [1]Αλλ' εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται [d]αὐτὸ λέγειν ἀρχήν, ἀλλ' [e]ἐκεῖνο ᾧ συμβέβηκεν, τὸν ἀέρα ἢ τὸ [f]ἄρτιον. [1]Ωστε ἀτόπως ἂν ἀποφαίνοιντο οἱ λέγοντες [g]οὕτως ὥσπερ οἱ Πυθαγόρειοί φασιν· ἅμα γὰρ οὐσίαν ποιοῦσι τὸ ἄπειρον καὶ μερίζουσιν. [1]Αλλ' [h]ἴσως αὕτη [i]μέν ἐστι καθόλου ἡ ζήτησις 6

[m] ἀλλ' οὐσία] οὐσία δὲ F.I. [n] γὰρ μέγεθος καὶ τὸ πλῆθος διαιρετόν. Εἰ E. [o] ἀδιαίρετον] τοιοῦτον E. [p] εἶναι ante οἱ om. I. [q] ἀδιεξίτητον E. [r] εἰ δὲ] ἔτι εἰ E. [s] τῶν ὄντων στοιχεῖον ᾗ δ' ἄπειρον I. [t] οὐδὲ om. E. [v] αὐτὸ εἶναί τι F.I. [w] καὶ μὴ E. [x] αὐτὰ E. [y] ἀρχήν. Ἀλλ' ἧττον ἢ τὸν ἀριθμὸν καὶ μέγεθος. Ἔτι ἀδύνατον οὐσίαν εἶναι τὸ ἄπειρον ἐντελεχείᾳ ὄντος τοῦ ἀπείρου. Ἔσται E. [z] δ' om. E. [a] εἶναι τὸ αὐτὸ F.I. [b] ἀὴρ μέρος ἀέρος F. [c] γε et ἐστὶ om. E. [d] αὐτὸ] τὸ αὐτὸ F. [e] ἐκεῖνο om. E. [f] ἄρτιον ἂν λέγοιτο ἀρχή. Ὥστε E. [g] οὕτως ὥσπερ] ἐκεῖνο καθάπερ F.I. [h] ἴσως] γὰρ E. [i] μὲν ἂν εἴη καθόλου ζήτησις, εἰ E.

μᾶλλον, εἰ ἐνδέχεται [k]τὸ ἄπειρον καὶ ἐν τοῖς μαθηματικοῖς εἶναι καὶ ἐν τοῖς νοητοῖς [l]καὶ μηδὲν ἔχουσι μέγεθος· [m]ἡμεῖς δ' ἐπισκοποῦμεν περὶ τῶν αἰσθητῶν καὶ περὶ ὧν ποιούμεθα τὴν μέθοδον, ἆρ' ἔστιν [n]ἐν αὐτοῖς ἢ οὐκ ἔστι σῶμα ἄπειρον
7 περὶ τὴν αὔξησιν. Λογικῶς μὲν οὖν σκοπουμένοις ἐκ [o]τῶν τοιῶνδε δόξειεν ἂν οὐκ εἶναι. Εἰ γάρ ἐστι σώματος λόγος τὸ ἐπιπέδῳ ὡρισμένον, οὐκ ἂν εἴη σῶμα ἄπειρον, οὔτε νοητὸν οὔτε αἰσθητόν. [1]Ἀλλὰ μὴν [p]οὐδ' ἀριθμὸς οὕτως ὡς κεχωρισμένος καὶ ἄπειρος· ἀριθμητὸν γὰρ ἀριθμὸς ἢ τὸ ἔχον ἀριθμόν· εἰ οὖν τὸ ἀριθμητὸν ἐνδέχεται ἀριθμῆσαι, καὶ [q]διεξ-
8 ελθεῖν ἂν εἴη δυνατὸν τὸ ἄπειρον. Φυσικῶς δὲ μᾶλλον θεωροῦσιν ἐκ τῶνδε. Οὔτε γὰρ σύνθετον [r]οἷόν τε εἶναι οὔτε ἁπλοῦν. Σύνθετον μὲν οὖν οὐκ [s]ἔσται τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ [t]στοιχεῖα. [1]Ἀνάγκη γὰρ πλείω εἶναι, καὶ ἰσάζειν ἀεὶ [v]τἀναντία, καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον· εἰ γὰρ [w]ὁποσῳοῦν λείπεται ἡ ἐν ἑνὶ σώματι δύναμις θατέρου, οἷον εἰ τὸ πῦρ [x]πεπέρανται, ὁ δ' ἀὴρ ἄπειρος, ἔστι δὲ τὸ ἴσον πῦρ τοῦ ἴσου ἀέρος τῇ δυνάμει ὁποσαπλασιονοῦν, μόνον δὲ ἀριθμόν τινα ἔχον, ὅμως φανερὸν ὅτι τὸ ἄπειρον
9 [y]ὑπερβαλεῖ καὶ φθερεῖ τὸ πεπερασμένον. [w]Ἕκαστον δ' ἄπειρον εἶναι ἀδύνατον· σῶμα [z]μὲν γάρ ἐστι τὸ πάντῃ ἔχον διάστασιν, ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός, ὥστε τὸ ἄπειρον σῶμα [a]πανταχῇ [b]ἔσται διεστηκὸς [c]εἰς ἄπειρον. [1]Ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν [d]εἶναι ἐνδέχεται [e]τὸ ἄπειρον σῶμα, οὔτε ὡς λέγουσί τινες τὸ παρὰ τὰ στοιχεῖα, ἐξ οὗ ταῦτα γεννῶσιν, οὔθ' ἁπλῶς. Εἰσὶ γάρ τινες οἳ τοῦτο [f]ποιοῦσι τὸ ἄπειρον, ἀλλ' οὐκ ἀέρα ἢ ὕδωρ, [g]ὡς μὴ τἆλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν· ἔχουσι γὰρ πρὸς ἄλληλα

[k] τὸ om. E. [l] καὶ ἐν τοῖς μηδὲν F.I. [m] ἡμεῖς δ' ἐπισκοποῦμεν corr. E. [n] ἐν αὐτοῖς ante σῶμα E. [o] τῶν τοιῶνδε] τῶνδε F. [p] οὐδ'] οὔτε I. [q] διελθεῖν F. [r] οἷον εἶναι τὸ ἄπειρον σῶμα οὔτε E. [s] ἔστι F. [t] στοιχεῖα εἴη. Ἀνάγκη F. [v] τὰ ἐναντία E. [w] ὁπωσοῦν F.I. [x] πεπέρασται F.I. [y] ὑπερβάλλει καὶ φθείρει E.I. [z] μὲν om. F.I. [a] πανταχοῦ F. [b] ἐστιν E, om. F. [c] εἰς] καὶ εἰς E. [d] εἶναι om. F. [e] σῶμα ἄπειρον ἐνδέχεται, omisso τὸ, E. [f] ποιοῦντες E. [g] ὅπως I.

ἐναντίωσιν, οἷον ὁ μὲν ἀὴρ ψυχρός, τὸ δ' ὕδωρ ὑγρόν, τὸ δὲ πῦρ θερμόν· ὧν εἰ ἦν ἓν ἄπειρον, ἔφθαρτο [h] ἂν ἤδη τἆλλα· νῦν δ' ἕτερον [i] εἶναί φασιν ἐξ οὗ ταῦτα. Ἀδύνατον δ' εἶναι 10
τοιοῦτον, οὐχ ὅτι ἄπειρον (περὶ τούτου [k] μὲν γὰρ κοινόν τι λεκτέον ἐπὶ παντὸς ὁμοίως, καὶ ἀέρος καὶ ὕδατος καὶ ὁτουοῦν), ἀλλ' ὅτι οὐκ ἔστι τοιοῦτον σῶμα αἰσθητὸν παρὰ τὰ [l] στοιχεῖα καλούμενα· [m] ἅπαντα γὰρ ἐξ οὗ ἐστί, καὶ διαλύεται εἰς τοῦτο, ὥστε ἦν ἂν ἐνταῦθα παρὰ ἀέρα καὶ πῦρ καὶ γῆν καὶ ὕδωρ· φαίνεται δ' οὐδέν. Οὐδὲ δὴ πῦρ οὐδ' ἄλλο 11
[n] τι τῶν στοιχείων οὐδὲν ἄπειρον ἐνδέχεται εἶναι. [o]Ὅλως γὰρ καὶ χωρὶς τοῦ ἄπειρον εἶναί τι αὐτῶν, ἀδύνατον [o] τὸ πᾶν, [p] κἂν ᾖ πεπερασμένον, ἢ εἶναι ἢ γίγνεσθαι ἕν τι αὐτῶν, ὥσπερ [r] Ἡράκλειτός φησιν ἅπαντα γίνεσθαί ποτε πῦρ. [r]Ὁ 12
δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνός, οἷον ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί· πάντα γὰρ μεταβάλλει ἐξ ἐναντίου εἰς [q] ἐναντίον, οἷον ἐκ θερμοῦ εἰς ψυχρόν. Δεῖ δὲ [r] κατὰ παντὸς [s] ἐκ τῶνδε σκοπεῖν, εἰ ἐνδέχεται [t] ἢ οὐκ ἐνδέχεται [v] εἶναι σῶμα ἄπειρον αἰσθητόν. [v]Ὅτι δ' ὅλως ἀδύνατον εἶναι [w] σῶμα ἄπειρον αἰσθητόν, ἐκ τῶνδε δῆλον. Πέφυκε γὰρ πᾶν τὸ 13
αἰσθητόν που εἶναι, καὶ ἔστι τόπος τις ἑκάστου, καὶ ὁ αὐτὸς τοῦ μορίου καὶ παντός, οἷον ὅλης τε τῆς γῆς καὶ [x] βώλου μιᾶς, καὶ πυρὸς καὶ σπινθῆρος. [v]Ὥστε εἰ μὲν ὁμοειδές, ἀκίνητον ἔσται ἢ ἀεὶ οἰσθήσεται. Καίτοι ἀδύνατον· τί γὰρ μᾶλλον κάτω ἢ ἄνω ἢ [y] ποῦ; Λέγω δ', οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινηθήσεται ἢ ποῦ μενεῖ; [r]Ὁ γὰρ τόπος ἄπειρος τοῦ συγγενοῦς [z] αὐτῇ σώματος. Πότερον οὖν καθέξει τὸν 14
ὅλον τόπον; Καὶ πῶς; Τίς οὖν [a] ἢ ποῦ [b] ἡ μονὴ καὶ ἡ κίνησις [c] αὐτῆς; [n]Ἡ πανταχοῦ μενεῖ; [d] Οὐ κινηθήσεται ἄρα. [n]Ἡ πανταχοῦ κινηθήσεται; Οὐκ ἄρα στήσεται. Εἰ δ' ἀνόμοιον

[h] ἂν om. F. [i] φασὶν εἶναι τὸ ἐξ F.I. [k] μὲν om. F. [l] καλούμενα στοιχεῖα F.I. [m] ἅπαν I, ἅπαν μὲν F. [n] τι om. F, post εἶναι ponit I. [o] τὸ om. E. [p] κἂν ᾖ] ἡ καὶ E. [q] ἐναντία E. [r] κατὰ] περὶ I, et corr. F. [s] ἐκ] καὶ ἐκ F.I. [t] ἢ οὐκ ἐνδέχεται om. F. [v] σῶμα εἶναι I. [w] σῶμα ἄπειρον αἰσθητόν om. E. [x] μιᾶς βώλου F.I. [y] ποῦ] ὁποιονοῦν F. [z] αὐτῆς E. [a] ἢ] καὶ I. [b] ἡ om. F. [c] αὐτῇ E. [d] οὐ κ.—στήσεται om. E.

τὸ [e] πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι· καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς ἀλλ' ἢ [f] τῷ ἅπτεσθαι· ἔπειτα ἤτοι πεπε-
15 ρασμένα ταῦτ' [g] ἔσται ἢ ἄπειρα τῷ [h] εἴδει. Πεπερασμένα μὲν [i] οὖν οὐχ οἷόν τε· ἔσται γὰρ τὰ μὲν ἄπειρα τὰ δ' οὔ, εἰ τὸ πᾶν ἄπειρον, οἷον τὸ πῦρ ἢ τὸ ὕδωρ· φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις, [k] καθάπερ εἴρηται πρότερον. Καὶ διὰ τοῦτ' οὐθεὶς τὸ ἓν καὶ [l] ἄπειρον πῦρ ἐποίησεν οὐδὲ γῆν τῶν φυσιολόγων, ἀλλ' [m] ἢ ὕδωρ ἢ ἀέρα ἢ τὸ μέσον αὐτῶν, ὅτι τόπος ἑκατέρου δῆλος ἦν διωρισμένος, ταῦτα δ' ἐπαμφοτερίζει τῷ ἄνω καὶ κάτω. Εἰ δ' ἄπειρα [n] καὶ ἁπλᾶ, καὶ οἱ
16 τόποι ἄπειροι, καὶ [o] ἔσται ἄπειρα τὰ στοιχεῖα. Εἰ δὲ τοῦτ' ἀδύνατον καὶ πεπερασμένοι οἱ [p] τόποι, καὶ τὸ ὅλον [q] πεπεράνθαι ἀναγκαῖον· ἀδύνατον γὰρ μὴ ἀπαρτίζειν τὸν τόπον καὶ τὸ σῶμα· οὔτε γὰρ ὁ τόπος ὁ πᾶς μείζων ἢ ὅσον ἐνδέχεται τὸ σῶμα [r] ἅμα εἶναι· ἅμα δ' [s] οὐδ' ἄπειρον ἔσται τὸ [t] σῶμα· οὔτε τὸ σῶμα μεῖζον ἢ ὁ τόπος· ἢ γὰρ κενὸν ἔσται
17 τι ἢ σῶμα οὐδαμοῦ πεφυκὸς εἶναι. [4]Αναξαγόρας δ' ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς· στηρίζειν γὰρ αὐτὸ αὐτό φησι τὸ ἄπειρον· τοῦτο δέ, ὅτι ἐν [v] αὑτῷ· ἄλλο γὰρ οὐδὲν περιέχει, ὡς ὅπου ἄν τι ᾖ, πεφυκὸς ἐνταῦθα [w] εἶναι. Τοῦτο δ' οὐκ ἀληθές· εἴη γὰρ ἄν τί που βιᾷ καὶ οὐχ οὗ πέφυκεν.
18 Εἰ οὖν ὅτι μάλιστα μὴ κινεῖται τὸ ὅλον (τὸ [x] γὰρ αὑτῷ στηριζόμενον καὶ ἐν αὑτῷ ὂν ἀκίνητον εἶναι ἀνάγκη), ἀλλὰ διὰ τί οὐ πέφυκε κινεῖσθαι, λεκτέον. Οὐ γὰρ ἱκανὸν τὸ οὕτως εἰπόντα ἀπηλλάχθαι· εἴη γὰρ ἂν καὶ [y] ὁτιοῦν ἄλλο οὐ κινούμενον, ἀλλὰ πεφυκέναι οὐδὲν κωλύει, ἐπεὶ καὶ ἡ γῆ οὐ φέρεται, οὐδ' εἰ ἄπειρος ἦν, [z] εἰργμένη μέντοι ἀπὸ τοῦ μέσου· ἀλλ' οὐχ ὅτι οὐκ ἔστιν ἄλλο οὗ ἐνεχθήσεται, [a] μείνειεν

[e] ἅπαν E. [f] τῷ] τοῦ E. [g] ἐστιν E. [h] εἴδει. Καὶ πεπ. I. [i] οὖν om. I. [k] καθάπερ εἴρηται πρότερον om. E. [l] ἄπειρον καὶ ἓν F. [m] ἢ post ἀλλ' om. E. [n] καὶ τὰ ἁπλᾶ E. [o] ἔσται post στοιχεῖα F. [p] τόποι ὥστε καὶ E. [q] πεπεράνθαι ἀναγκαῖον om. E. [r] ἅμα post σῶμα om. E. [s] οὐδ' om. E. [t] σῶμα ἔτι οὔτε E. [v] αὐτῷ E, ἑαυτῷ I. [w] εἶναι] ὂν E. [x] γὰρ] γὰρ ἐν F.I. [y] ὁτιοῦν ἄλλο] ὅτι οὐκ ἔχει ἀλλαχῆ κινεῖσθαι E. [z] ἠργμένη E. [a] μείνει F, μένειεν I.

ἂν [b] ἐπὶ τοῦ μέσου, ἀλλ' ὅτι [c] οὐ πέφυκεν οὕτως. Καίτοι ἐξείη [d] ἂν λέγειν ὅτι στηρίζει [e] αὐτήν. Εἰ οὖν μηδ' ἐπὶ τῆς 19
γῆς τοῦτο αἴτιον ἀπείρου οὔσης, ἀλλ' ὅτι βάρος ἔχει, τὸ δὲ βαρὺ μένει ἐπὶ τοῦ μέσου, [f] ἡ δὲ γῆ ἐπὶ τοῦ μέσου, ὁμοίως ἂν καὶ τὸ ἄπειρον [g] μένοι ἐν αὑτῷ διά τιν' ἄλλην αἰτίαν, καὶ οὐχ ὅτι ἄπειρον καὶ στηρίζει αὐτὸ [h] αὑτό. [v]Αμα δὲ δῆλον ὅτι κἂν ὁτιοῦν μέρος [i] δέοι μένειν· ὡς γὰρ τὸ ἄπειρον ἐν [k] ἑαυτῷ μένει στηρίζον, οὕτω κἂν ὁτιοῦν [l] ληφθῇ μέρος ἐν ἑαυτῷ [m] μενεῖ· τοῦ γὰρ ὅλου καὶ τοῦ μέρους ὁμοειδεῖς οἱ τόποι, οἷον ὅλης γῆς καὶ βώλου κάτω καὶ παντὸς πυρὸς καὶ σπινθῆρος ἄνω. [v]Ωστε εἰ τοῦ ἀπείρου τόπος [n] τὸ ἐν αὑτῷ, 20
καὶ τοῦ μέρους ὁ αὐτός· μενεῖ ἄρα ἐν ἑαυτῷ. [v]Ολως δὲ φανερὸν ὅτι ἀδύνατον [o] ἅμα [p] ἄπειρον λέγειν σῶμα καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν, εἰ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα, καὶ εἰ μὲν βαρύ, ἐπὶ τὸ μέσον ἔχει τὴν φοράν φύσει, εἰ δὲ κοῦφον, ἄνω· ἀνάγκη γὰρ καὶ τὸ [q] ἄπειρον, ἀδύνατον δὲ [r] ἢ ἅπαν ὁποτερονοῦν ἢ τὸ ἥμισυ ἑκάτερον πεπονθέναι· πῶς γὰρ διελεῖς; [1]Η πῶς τοῦ ἀπείρου ἔσται [s] τὸ μὲν 21
ἄνω τὸ δὲ κάτω, ἢ ἔσχατον ἢ μέσον; [1]Ετι πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, τόπου δὲ εἴδη καὶ διαφοραὶ [t] τἄνω [v] καὶ κάτω [w] καὶ ἔμπροσθεν καὶ ὄπισθεν καὶ δεξιὸν καὶ ἀριστερόν· καὶ ταῦτα οὐ μόνον πρὸς ἡμᾶς καὶ [x] θέσει, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ ὅλῳ διώρισται. [1]Αδύνατον δ' ἐν τῷ [y] ἀπείρῳ εἶναι ταῦτα. [1]Απλῶς δ' εἰ ἀδύνατον [z] τόπον [a] ἄπειρον εἶναι, ἐν τόπῳ δὲ [b] πᾶν σῶμα, ἀδύνατον ἄπειρόν [c] τι εἶναι σῶμα. [1]Αλλὰ μὴν τό γε ποῦ ἐν τόπῳ, καὶ τὸ ἐν τόπῳ ποῦ. Εἰ οὖν μηδὲ πο- 22
σὸν οἷόν τ' εἶναι τὸ ἄπειρον· πόσον γάρ τι ἔσται, οἷον [d] δί-

[b] ἐπὶ τοῦ μέσου om. E. [c] οὐ om. E. [d] λέγειν ἂν I. [e] ἑαυτὴν F.I. [f] ἡ δὲ γῆ ἐπὶ τοῦ μέσου om. I. [g] μένοι ἂν ἐν I. [h] ἑαυτὸ F, αὐτῷ E.I. [i] δέοι ἂν μένειν F. [k] αὐτῷ F. [l] μέρος ληφθῇ F. [m] μένει F. [n] τὸ ἐν αὐτῷ om. E. [o] ἄπειρον ἅμα E. [p] ἄπειρον om. F. [q] ἄπειρον σῶμα. Ἀδύνατον I. [r] ἢ ἅπαν] εἶναι πᾶν corr. E. [s] τὸ μὲν ἄνω ἔσται I. [t] τὸ ἄνω F.I. [v] καὶ] τὸ I, καὶ τὸ F. [w] καὶ τὸ ἔμπροσθεν F, τὸ πρόσθεν I. [x] θέσει ἐστὶν ἀλλὰ I. [y] ἀπείρῳ σώματι εἶναι E. [z] τόπον] τὸ τόπον I. [a] εἶναι ἄπειρον F.I. [b] πᾶν τὸ σῶμα E. [c] εἶναί τι E.I. [d] τρίπηχυ ἢ δίπηχυ E.

πηχυ ἢ τρίπηχυ· ταῦτα γὰρ σημαίνει τὸ ποσόν· οὕτω καὶ [e]τὸ ἐν τόπῳ ὅτι ποῦ· τοῦτο δὲ [f]ἢ [g]ἄνω ἢ κάτω ἢ ἐν ἄλλῃ τινὶ διαστάσει τῶν ἓξ· τούτων δ' ἕκαστον πέρας τί ἐστιν. [v]Ὅτι μὲν οὖν ἐνεργείᾳ [h]οὐκ ἔστι σῶμα ἄπειρον, φανερὸν ἐκ [i]τούτων.

6 [v]Ὅτι δ' εἰ μή ἐστιν ἄπειρον ἁπλῶς, πολλὰ ἀδύνατα συμβαίνει, δῆλον. Τοῦ τε γὰρ χρόνου ἔσται τις ἀρχὴ καὶ τελευτή, καὶ τὰ μεγέθη οὐ διαιρετὰ εἰς [k]μεγέθη, καὶ ἀριθμὸς οὐκ ἔσται ἄπειρος. [v]Οταν δὲ [l]διωρισμένων οὕτως μηδετέρως [m]φαίνηται ἐνδέχεσθαι, διαιτητοῦ δεῖ, καὶ δῆλον ὅτι πῶς μὲν
2 ἔστι πῶς δ' οὔ. Λέγεται [n]δὴ τὸ εἶναι τὸ μὲν δυνάμει τὸ δὲ ἐντελεχείᾳ, καὶ τὸ ἄπειρον ἔστι μὲν προσθέσει ἔστι δὲ [o]καὶ ἀφαιρέσει. Τὸ δὲ μέγεθος ὅτι μὲν κατ' ἐνέργειαν οὐκ ἔστιν ἄπειρον, εἴρηται, διαιρέσει δ' ἐστίν· οὐ γὰρ χαλεπὸν ἀνελεῖν τὰς [p]ἀτόμους γραμμάς· λείπεται οὖν δυνάμει εἶναι
3 τὸ ἄπειρον. Οὐ δεῖ δὲ τὸ δυνάμει ὂν λαμβάνειν, ὥσπερ εἰ δυνατὸν τοῦτ' ἀνδριάντα εἶναι, ὡς καὶ ἔσται [q]τοῦτ' ἀνδριάς, οὕτω καὶ ἄπειρόν [r]τι, ὃ ἔσται ἐνεργείᾳ· ἀλλ' ἐπεὶ πολλαχῶς τὸ εἶναι, ὥσπερ [s]ἡ ἡμέρα ἐστὶ καὶ ὁ ἀγὼν τῷ ἀεὶ ἄλλο
4 καὶ ἄλλο γίνεσθαι, οὕτω καὶ τὸ ἄπειρον. [t]Καὶ γὰρ ἐπὶ τούτων ἐστὶ [v]καὶ δυνάμει καὶ ἐνεργείᾳ· [w]Ὀλύμπια γάρ ἐστι καὶ τῷ δύνασθαι τὸν ἀγῶνα γίνεσθαι καὶ τῷ γίνεσθαι. [w]Ἄλλως δ' ἔν [x]τε τῷ χρόνῳ δῆλον [y]τὸ ἄπειρον καὶ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῆς διαιρέσεως τῶν μεγεθῶν. [v]Ὅλως μὲν γὰρ οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο [z]καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμβανόμενον μὲν ἀεὶ [a]εἶναι πεπερασμένον,
5 ἀλλ' ἀεί γε ἕτερον [b]καὶ ἕτερον. [v]Ωστε τὸ ἄπειρον [c]οὐ δεῖ

[e] τὸ ἐν om. E. [f] ἢ om. F. [g] κάτω ἢ ἄνω E. [h] σῶμα οὐκ ἔστιν I. [i] τούτων] τῶν εἰρημένων F. [k] μέγεθος F.I. [l] ὡρίσωμεν οὕτως καὶ μ. E. [m] φαίνεται F. [n] δὲ F. [o] καὶ ἀφ.] διαιρέσει F. [p] αὐτομάτους F. [q] τοῦτ' om. E. [r] τι post οὕτω I, om. E. [s] ἡ om. E.I. [t] καὶ γὰρ —τῷ γίνεσθαι om. E. [v] καὶ ante δ. om. F. [w] ἄλλως δὲ] καὶ ἄλλως τε E. [x] τε om. F. [y] τὸ ἄπειρον om. E. [z] καὶ et λαμβάνεσθαι καὶ τὸ om. E. [a] πεπερασμένον εἶναι F.I. [b] καὶ ἕτερον. Ὅτι τὸ εἶναι πλεοναχῶς λέγεται. Ὥστε E. [c] οὐδεὶς λαμβάνει E.

λαμβάνειν ὡς τόδε τι, οἷον ἄνθρωπον ἢ οἰκίαν, ἀλλ' ὡς [d] ἡ ἡμέρα λέγεται καὶ ὁ ἀγών, [e] οἷς τὸ εἶναι οὐχ ὡς οὐσία τις γέγονεν, ἀλλ' ἀεὶ ἐν γενέσει [f] ἢ φθορᾷ, [g] εἰ καὶ πεπερασμένον, ἀλλ' ἀεί [h] γε ἕτερον καὶ ἕτερον. [4]Ἀλλ' ἐν [i] μὲν τοῖς 6
μεγέθεσιν ὑπομένοντος τοῦ ληφθέντος [k] τοῦτο συμβαίνει, ἐπὶ δὲ [l] τοῦ χρόνου καὶ τῶν ἀνθρώπων φθειρομένων [m] οὕτως ὥστε μὴ [n] ἐπιλείπειν. Τὸ δὲ κατὰ πρόσθεσιν τὸ αὐτό [o] ἐστί 7
πως καὶ τὸ κατὰ διαίρεσιν· ἐν γὰρ τῷ πεπερασμένῳ κατὰ πρόσθεσιν γίνεται ἀντεστραμμένως· ᾗ γὰρ διαιρούμενον ὁρᾶται εἰς ἄπειρον, [p] ταύτῃ προστιθέμενον φανεῖται πρὸς τὸ ὡρισμένον. [q] [4]Ἐν γὰρ τῷ πεπερασμένῳ μεγέθει [r] ἂν λαβών [s] τις ὡρισμένον προσλαμβάνῃ τῷ αὐτῷ λόγῳ, μὴ τὸ αὐτό [t] τι μέγεθος [v] τῷ ὅλῳ περιλαμβάνων, οὐ [w] διέξεισι [x] τὸ πεπερασμένον· [y] ἐὰν δ' οὕτως αὔξῃ τὸν λόγον ὥστε ἀεί τι τὸ αὐτὸ περιλαμβάνειν μέγεθος, διέξεισι, διὰ τὸ πᾶν [z] τὸ πεπερασμένον ἀναιρεῖσθαι ὁτῳοῦν ὡρισμένῳ. [a][4]Ἄλλως μὲν 8
οὖν οὐκ ἔστιν, οὕτως δ' ἔστι τὸ ἄπειρον, δυνάμει τε καὶ ἐπὶ καθαιρέσει. Καὶ ἐντελεχείᾳ [b] δὲ ἐστίν, ὡς τὴν ἡμέραν [c] εἶναι λέγομεν καὶ τὸν ἀγῶνα, καὶ δυνάμει οὕτως ὡς [d] ἡ ὕλη, καὶ οὐ καθ' αὑτό, [d] ὡς τὸ πεπερασμένον. Καὶ κατὰ πρόσθεσιν δὴ οὕτως ἄπειρον δυνάμει ἐστίν, ὃ ταὐτὸ λέγομεν [e] τρόπον τινὰ εἶναι τῷ κατὰ διαίρεσιν· ἀεὶ μὲν γάρ τι [f] αὐτοῦ ἔξω [g] ἔσται λαμβάνειν, οὐ μέντοι [h] ὑπερβαλεῖ παντὸς [i] ὡρισμένου μεγέθους, ὥσπερ ἐπὶ τὴν διαίρεσιν ὑπερβάλλει παντὸς ὡρισμένου, [k] καὶ ἔσται ἔλαττον. [v]Ὥστε δὲ παντὸς ὑπερβάλλειν κατὰ 9
[l] τὴν πρόσθεσιν, οὐδὲ δυνάμει οἷόν τε εἶναι, εἴπερ μή [m] ἐστι

[d] ἡ om. E.F. [e] οἷς] ἃ E. [f] ἢ] καὶ E. et pr. F. [g] εἰ καὶ] εἰ corr. E, om. I. [h] γε om. F. [i] μὲν om. E.I. [k] τοῦτο συμβαίνει om. E. [l] τῶν ἀνθρώπων καὶ τοῦ χρόνου F.I. [m] οὕτως om. E. [n] ὑπολείπειν F.I. [o] πῶς ἐστι F.I. [p] αὕτη E. [q] ἐν γὰρ] ἐὰν ἐν E. [r] ἂν om. E. [s] τί E. [t] τι] τι τοῦ ὅλου F, om. E. [v] τῷ ὅλῳ] τῷ λόγῳ I, om. F. [w] διεξείει E. [x] τὸ om. F. [y] ἂν F.I. [z] τὸ post πᾶν om. E.F. [a] ἄλλως μὲν οὖν οὐκ ἔστιν om. E. [b] δέ ἐστιν om. E. [c] λέγομεν εἶναι F. [d] ἡ et ὡς τὸ om. E. [e] εἶναι τρόπον τινὰ F. [f] αὐτοῦ om. E. [g] ἐστὶ F. [h] ὑπερβάλλει F.I. [i] ὡρισμένου om. E. [k] καὶ ἀεὶ ἔσται E. [l] τὴν om. F. [m] ἔσται E.

κατὰ συμβεβηκὸς ἐντελεχείᾳ ἄπειρον, ὥσπερ φασὶν οἱ φυσιολόγοι τὸ [n]ἔξω σῶμα τοῦ κόσμου, οὗ ἡ οὐσία [o]ἢ ἀὴρ ἢ ἄλλο τι τοιοῦτον, ἄπειρον εἶναι. [4]Αλλ' εἰ μὴ οἷόν τε [p]εἶναι ἄπειρον ἐντελεχείᾳ σῶμα αἰσθητὸν οὕτω, φανερὸν ὅτι οὐδὲ δυνάμει ἂν εἴη κατὰ πρόσθεσιν, ἀλλ' ἢ ὥσπερ εἴρηται ἀντεστραμμένως τῇ διαιρέσει, ἐπεὶ καὶ Πλάτων διὰ τοῦτο [q]δύο τὰ ἄπειρα ἐποίησεν, ὅτι [r]καὶ ἐπὶ τὴν αὔξην δοκεῖ ὑπερβάλ-
10 λειν καὶ εἰς ἄπειρον ἰέναι [s]καὶ ἐπὶ τὴν καθαίρεσιν. Ποιήσας μέντοι δύο οὐ χρῆται· οὔτε γὰρ ἐν τοῖς ἀριθμοῖς τὸ ἐπὶ τὴν καθαίρεσιν ἄπειρον ὑπάρχει, ἡ γὰρ μονὰς ἐλάχιστον, οὔτε [t]ἐπὶ τὴν αὔξην· μέχρι [v]γὰρ δεκάδος ποιεῖ τὸν ἀριθμόν. Συμβαίνει δὲ τοὐναντίον εἶναι ἄπειρον [w]ἢ ὡς λέγουσιν. Οὐ γὰρ οὗ μηδὲν ἔξω, ἀλλ' οὗ ἀεί τι ἔξω ἐστί, τοῦτο ἄπειρόν ἐστιν. Σημεῖον δέ· καὶ γὰρ τοὺς δακτυλίους ἀπείρους λέγουσι τοὺς μὴ ἔχοντας σφενδόνην, ὅτι αἰεί [x]τι [y]ἔξω ἔστι λαμβάνειν, καθ' ὁμοιότητα μέν τινα λέγοντες, οὐ μέντοι κυρίως· δεῖ γὰρ τοῦτό τε ὑπάρχειν καὶ μηδέ ποτε τὸ αὐτὸ λαμβάνεσθαι· ἐν δὲ τῷ κύκλῳ οὐ γίνεται οὕτως, ἀλλ' αἰεὶ τὸ
11 ἐφεξῆς μόνον ἕτερον. [4']Απειρον μὲν [z]οὖν ἐστὶν οὗ [a]κατὰ ποσὸν λαμβάνουσιν αἰεί τι [b]λαβεῖν ἔστιν ἔξω. [c]Οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἐστὶ τέλειον καὶ ὅλον· οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηθὲν ἄπεστιν, οἷον ἄνθρωπον [d]ὅλον ἢ κιβωτόν. [v]Ωσπερ [e]δὲ τὸ καθ' ἕκαστον, οὕτω καὶ τὸ κυρίως, οἷον τὸ ὅλον οὗ μηδέν ἐστιν ἔξω· οὗ δ' ἐστὶν ἀπουσία ἔξω, οὐ πᾶν, ὅ τι ἂν ἀπῇ. [f v]Ολον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ
12 σύνεγγυς τὴν φύσιν [g]ἐστίν. Τέλειον δ' οὐδὲν μὴ ἔχον τέλος· τὸ δὲ τέλος πέρας. Διὸ βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν, ὁ δὲ

[n] ἔξωθεν E. [o] ἢ ante ἀὴρ et εἶναι om. F.I. [p] εἶναι ἄπειρον om. E. [q] δύο τὰ ἄπειρα] ἄπειρα δύο F.I. [r] καὶ om. F. [s] καὶ ante ἐπὶ om. F. [t] περὶ E. [v] γὰρ om. F. [w] ἢ om. E. [x] τι] τι ἄλλο E. [y] ἔστιν ἔξω λ. I, ἔξω λ. ἐστι E. [z] οὖν τοῦτ' ἐστιν F.I. [a] κατὰ τὸ π. I. [b] λαμβάνειν E. [c] οὗ πρὸς τὰ μέρη μηθὲν ἄπεστιν ἔξω I. [d] ὅλον post κιβώτιον F: κιβώτιον enim F.I. [e] δὲ] δὲ καὶ E, om. F. [f] τὸ ὅλον F.I. [g] ἐστιν om. E.

τὸ ὅλον πεπεράνθαι [h] μεσσόθεν ἰσοπαλές. Οὐ γὰρ λίνον λίνῳ [i] συνάπτειν ἔστι τῷ ἅπαντι καὶ ὅλῳ τὸ ἄπειρον, ἐπεὶ ἐντεῦθέν [j] γε λαμβάνουσι τὴν [k] σεμνότητα κατὰ τοῦ ἀπείρου, τὸ πάντα [l] περιέχον [m] καὶ τὸ πᾶν ἐν [n] ἑαυτῷ ἔχον, διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ ὅλῳ. [1] Ἔστι γὰρ τὸ ἄπειρον 13
τῆς [o] τοῦ μεγέθους τελειότητος ὕλη καὶ τὸ δυνάμει ὅλον, ἐντελεχείᾳ δ' οὔ, διαιρετὸν δ' ἐπί τε τὴν καθαίρεσιν καὶ τὴν [p] ἀντεστραμμένην πρόσθεσιν, ὅλον δὲ καὶ πεπερασμένον οὐ καθ' αὑτὸ ἀλλὰ κατ' ἄλλο· καὶ [q] οὐ περιέχει ἀλλὰ περιέχεται, ᾗ ἄπειρον. Διὸ καὶ ἄγνωστον [r] ᾗ ἄπειρον· εἶδος γὰρ 14
οὐκ ἔχει ἡ ὕλη. [2] Ὥστε φανερὸν ὅτι μᾶλλον ἐν μορίου λόγῳ τὸ ἄπειρον ἢ ἐν [s] ὅλου· μόριον γὰρ ἡ ὕλη τοῦ ὅλου ὥσπερ ὁ χαλκὸς τοῦ χαλκοῦ ἀνδριάντος, ἐπεὶ εἴ γε [t] περιέχει ἐν τοῖς αἰσθητοῖς καὶ [v] ἐν τοῖς νοητοῖς τὸ μέγα καὶ τὸ μικρόν, ἔδει περιέχειν τὰ νοητά. [3] Ἄτοπον δὲ καὶ ἀδύνατον [w] τὸ ἄγνωστον καὶ τὸ ἀόριστον περιέχειν καὶ ὁρίζειν.

Κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν [x] μὲν μὴ 7
εἶναι δοκεῖν [y] ἄπειρον οὕτως ὥστε παντὸς ὑπερβάλλειν μεγέθους, ἐπὶ τὴν διαίρεσιν δὲ εἶναι· περιέχεται γὰρ [z] ὡς ἡ ὕλη ἐντὸς [a] καὶ τὸ ἄπειρον, περιέχει δὲ τὸ εἶδος. Εὐλόγως δὲ καὶ τὸ [b] ἐν [c] μὲν τῷ ἀριθμῷ εἶναι ἐπὶ τὸ ἐλάχιστον πέρας, ἐπὶ δὲ [d] τὸ πλεῖον ἀεὶ παντὸς ὑπερβάλλειν πλήθους, ἐπὶ [e] δὲ τῶν μεγεθῶν τοὐναντίον ἐπὶ μὲν τὸ [f] ἔλαττον παντὸς ὑπερβάλλειν μεγέθους, ἐπὶ δὲ τὸ μεῖζον μὴ εἶναι μέγεθος ἄπειρον. [1] Αἴτιον δ' ὅτι τὸ ἕν ἐστιν ἀδιαίρετον, ὅ τι [g] περ ἂν ἓν ᾖ, οἷον 2
ἄνθρωπος [h] εἷς ἄνθρωπος καὶ οὐ πολλοί· ὁ δ' ἀριθμός ἐστιν [i] ἕνα πλείω καὶ πόσ' ἅττα· ὥστ' ἀνάγκη στῆναι ἐπὶ τὸ ἀδιαίρετον· τὰ γὰρ [k] δύο καὶ τρία [l] παρώνυμα ὀνόματά ἐστιν,

h μέσοθεν E. i ἐστι συνάπτειν F.I. j γε] δὴ I. k σεμνότητα corr. E. l περιέχειν E. m καὶ τὸ—ἔχον om. E. n αὐτῷ I. o τοῦ om. E. p ἀνεστραμμένην E. q οὐχ ὑπερέχει ἀλλ' ὑπερέχεται E.I. r ᾗ ἄπειρον om. F. s ὅλῳ E. et pr. F. t περιέχοι E. v ἐν post καὶ om. I. w τὸ utrumque om. E. x μὲν] ὡς F. y οὕτως ἄπειρον F. z ὡς om. E. a καὶ post ἐντὸς om. E. b ἓν E.I. c μὲν post ἐπὶ E. d τὰ πλείω I. e δὲ om. F. f ἐλάχιστον F. g περ om. E. h εἷς ἄνθρωπος om. I. i ἑνὸς I. et corr. E. k τρία καὶ δύο E. l παρώνυμα om. E.

ὁμοίως δὲ καὶ τῶν ἄλλων ἀριθμῶν ἕκαστος· [m]ἐπὶ δὲ τὸ πλεῖον ἀεὶ ἔστι νοῆσαι· ἄπειροι γὰρ αἱ διχοτομίαι τοῦ μεγέθους. 3 [v]Ὥστε δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δ' οὔ· ἀλλ' ἀεὶ ὑπερβάλλει τὸ λαμβανόμενον παντὸς ὡρισμένου [n]πλήθους. [t]Ἀλλ' οὐ χωριστὸς [o]ὁ ἀριθμὸς οὗτος [p]τῆς διχοτομίας, οὐδὲ μένει ἡ ἀπειρία ἀλλὰ γίνεται, ὥσπερ καὶ ὁ χρόνος καὶ ὁ ἀριθμὸς τοῦ χρόνου. [t]Ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον ἐστίν· διαιρεῖται μὲν γὰρ εἰς ἄπειρα τὸ συνεχές, ἐπὶ δὲ τὸ μεῖζον οὐκ 4 ἔστιν ἄπειρον. [v]Οσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται [q]τοσοῦτον εἶναι. [v]Ὥστε ἐπεὶ ἄπειρον οὐδέν ἐστι μέγεθος αἰσθητόν, οὐκ ἐνδέχεται παντὸς ὑπερβολὴν εἶναι ὡρισμένου μεγέθους· εἴη γὰρ ἄν τι τοῦ οὐρανοῦ μεῖζον. Τὸ [r]δ' ἄπειρον οὐ ταὐτὸν ἐν [s]μεγέθει καὶ κινήσει καὶ χρόνῳ, ὡς μία τις φύσις, ἀλλὰ τὸ ὕστερον λέγεται κατὰ τὸ πρότερον, οἷον κίνησις μὲν [t]ὅτι [v]τὸ μέγεθος ἐφ' οὗ κινεῖται ἢ ἀλλοι- 5 οῦται ἢ αὐξάνεται, ὁ χρόνος δὲ διὰ τὴν κίνησιν. Νῦν μὲν οὖν χρώμεθα τούτοις, ὕστερον δὲ [w]πειρασόμεθα λέγειν καὶ [x]τί ἐστιν ἕκαστον, καὶ διότι πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν. Οὐκ ἀφαιρεῖται δ' ὁ λόγος οὐδὲ τοὺς [y]μαθηματικοὺς τὴν θεωρίαν, ἀναιρῶν [z]οὕτως εἶναι τὸ ἄπειρον ὥστε ἐνεργείᾳ εἶναι ἐπὶ τὴν [a]αὔξην [b]ὡς ἀδιεξίτητον· οὐδὲ γὰρ νῦν δέονται τοῦ ἀπείρου [c]οὐδὲ χρῶνται, ἀλλὰ μόνον εἶναι ὅσην ἂν βούλωνται [d]τὴν πεπερασμένην· τῷ δὲ μεγίστῳ μεγέθει τὸν αὐτὸν 6 ἔστι τετμῆσθαι λόγον ὁπηλικονοῦν μέγεθος ἕτερον. [v]Ὥστε πρὸς μὲν τὸ δεῖξαι [e]ἐκείνοις οὐδὲν διοίσει, τὸ δ' εἶναι ἐν τοῖς οὖσιν [f]ἔσται [g]μεγέθεσιν. [t]Ἐπεὶ δὲ τὰ αἴτια διήρηται τετραχῶς, φανερὸν [h]ὅτι ὡς ὕλη τὸ ἄπειρόν [i]ἐστιν αἴτιον, καὶ ὅτι τὸ μὲν εἶναι [k]αὐτῷ [l]στέρησις, τὸ δὲ καθ' αὐτὸ ὑποκείμενον

[m] ἐπεὶ E. [n] μεγέθους I. [o] οὗτος ὁ ἀριθμὸς I. [p] τῆς] τοῦ τῆς E. [q] εἶναι τοσοῦτον F. [r] δὲ τὸ E. [s] κινήσει καὶ μεγέθει F. [t] ὅτι] ὅτι πρότερον F.I. [v] τὸ om. F.I. [w] πειρασόμεθα λέγειν] ἐροῦμεν E. [x] τί ἐστιν] ὅτι E. [y] μαθητικοὺς E. [z] οὕτως εἶναι] μὴ εἶναι οὕτως E. [a] αὔξησιν E. [b] ὡς om. E. et corr. F. [c] οὐδὲ] οὐ γὰρ E, οὐδὲ γὰρ I. [d] τὴν om. F.I. [e] ἐκείνως F.I. [f] ἔσται] ἐστι F, litteras tres deletas E. [g] μεγέθεσιν οὐδέν ἐστιν ἀναγκαῖον. Ἐπεὶ E, ἐστιν quidem corr. [h] ὅτι] τι E. [i] αἴτιόν ἐστι F.I. [k] αὐτῶν E. [l] στέρησίς ἐστι τὸ F.I.

τὸ συνεχὲς καὶ αἰσθητόν. Φαίνονται δὲ πάντες καὶ οἱ ἄλλοι ὡς ὕλῃ χρώμενοι τῷ ἀπείρῳ· διὸ [g]καὶ ἄτοπον τὸ περιέχον ποιεῖν αὐτὸ ἀλλὰ μὴ [h]τὸ περιεχόμενον.

Λοιπὸν δ' ἐπελθεῖν καθ' οὓς λόγους τὸ ἄπειρον εἶναι δοκεῖ 8
οὐ μόνον δυνάμει ἀλλ' ὡς [i]ἀφωρισμένον· τὰ μὲν γάρ ἐστιν αὐτῶν οὐκ ἀναγκαῖα, τὰ δ' ἔχει τινὰς [k]ἑτέρας ἀληθεῖς ἀπαντήσεις. Οὔτε γὰρ ἵνα ἡ γένεσις μὴ [l]ἐπιλείπῃ, ἀναγκαῖον ἐνεργείᾳ ἄπειρον εἶναι σῶμα αἰσθητόν· ἐνδέχεται γὰρ τὴν θατέρου φθορὰν [m]θατέρου εἶναι γένεσιν, πεπερασμένου ὄντος [n]τοῦ παντός. [o]Ἔτι τὸ ἅπτεσθαι καὶ τὸ πεπεράνθαι ἕτερον. 2
Τὸ μὲν γὰρ πρός τι καὶ [o]τινός (ἅπτεται γὰρ πᾶν τινός) [p]καὶ τῶν πεπερασμένων τινὶ συμβέβηκεν· τὸ δὲ πεπερασμένον οὐ πρός τι, οὐδ' ἅψασθαι τῷ τυχόντι τοῦ τυχόντος ἔστιν. Τὸ [q]δὲ τῇ νοήσει πιστεύειν ἄτοπον· οὐ γὰρ ἐπὶ τοῦ πράγματος ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις, ἀλλ' ἐπὶ τῆς νοήσεως. [r]Ἕκαστον γὰρ [r]ἡμῶν νοήσειεν ἄν τις πολλαπλάσιον [s]ἑαυτοῦ 3
αὔξων εἰς ἄπειρον· ἀλλ' οὐ διὰ τοῦτο ἔξω τοῦ ἄστεός τίς ἐστιν ἢ τοῦ τηλικοῦδε μεγέθους ὃ ἔχομεν, ὅτι νοεῖ τις, ἀλλ' ὅτι ἔστιν· τοῦτο δὲ συμβέβηκεν. [t]Ὁ δὲ χρόνος καὶ ἡ κίνησις 4
ἄπειρά ἐστι, καὶ ἡ νόησις οὐχ ὑπομένοντος τοῦ λαμβανομένου. Μέγεθος δὲ οὔτε τῇ καθαιρέσει οὔτε τῇ [t]νοητικῇ αὐξήσει ἐστὶν [v]ἄπειρον. [u]Ἀλλὰ περὶ μὲν [w]τοῦ ἀπείρου, πῶς ἔστι καὶ πῶς οὐκ ἔστι καὶ τί ἐστιν, εἴρηται.

[x]Δ.

[t]Ὁμοίως δ' ἀνάγκη καὶ [y]περὶ τόπου τὸν φυσικὸν ὥσπερ 1
καὶ περὶ ἀπείρου γνωρίζειν, εἰ ἔστιν ἢ μή, καὶ πῶς ἐστί, καὶ τί ἐστιν. Τά τε γὰρ ὄντα πάντες ὑπολαμβάνουσι εἶναί που (τὸ γὰρ [z]μὴ ὂν [a]οὐδαμοῦ [b]εἶναι· ποῦ γάρ ἐστι τραγέλαφος

[g] καὶ om. E. [h] τὸ om. E. [i] ἀφωρισμένον ἐπελθεῖν. Τὰ E. [k] ἀληθεῖς ἑτέρας F.I. [l] ἐπιλείποι E. [m] γένεσιν θατέρου εἶναι F.I. [n] τοῦ om. F. [o] τινὸς ἅπτεται· ἅπτεται E. [p] κἂν F. [q] δὲ ἐπὶ τῇ E. [r] ἂν ἡμῶν νοήσειε F.I. [s] ἑαυτοῦ om. E. [t] νοητῇ F. [v] ἄπειρον om. E. [w] τοῦ om. E. [x] Codices E.F.G.I. Δ] φυσικῶν δ G.I. [y] περὶ τοῦ τόπου G.I. [z] μὴ] τὸ μὴ E. [a] μηδαμοῦ F. [b] post εἶναι litteras decem deletas E.

ἢ σφίγξ;) Καὶ τῆς κινήσεως ἡ κοινὴ μάλιστα [c]καὶ κυριω-
2 τάτη κατὰ τόπον ἐστίν, ἣν καλοῦμεν φοράν. [1]Ἔχει δὲ πολ-
λὰς ἀπορίας τί ποτ' ἔστιν ὁ τόπος· οὐ γὰρ [d]ταὐτὸν φαί-
νεται θεωροῦσιν ἐξ ἁπάντων τῶν ὑπαρχόντων. [1]Ἔτι δ' οὐδ'
ἔχομεν οὐδὲν παρὰ τῶν ἄλλων οὔτε προηπορημένον οὔτε
[e]προευπορημένον περὶ αὐτοῦ. [1]Ὅτι μὲν οὖν [f]ἔστιν ὁ τόπος,
δοκεῖ δῆλον εἶναι ἐκ τῆς ἀντιμεταστάσεως· ὅπου γάρ ἐστι
νῦν ὕδωρ, ἐνταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου πάλιν [g]ἀὴρ
ἔνεστιν· ὅτε δὲ τὸν αὐτὸν [h]τόπον τοῦτον ἄλλο τι τῶν σω-
μάτων [i]κατέχει, τοῦτο [k]δὴ τῶν ἐγγινομένων καὶ μεταβαλ-
λόντων ἕτερον [l]πάντων εἶναι δοκεῖ· ἐν ᾧ γὰρ ἀήρ ἐστι νῦν,
[m]ὕδωρ ἐν τούτῳ πρότερον ἦν, ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι
καὶ ἡ χώρα ἕτερον ἀμφοῖν, εἰς ἣν καὶ ἐξ ἧς [n]μετέβαλον.
3 [1]Ἔτι [o]δὲ αἱ [p]φοραὶ τῶν φυσικῶν σωμάτων καὶ ἁπλῶν, οἷον
πυρὸς καὶ γῆς καὶ τῶν τοιούτων, οὐ μόνον δηλοῦσιν ὅτι ἔστι
[q]τι ὁ τόπος, ἀλλ' [r]ὅτι καὶ ἔχει τινὰ [s]δύναμιν. Φέρεται
γὰρ ἕκαστον εἰς τὸν [t]αὑτοῦ τόπον μὴ κωλυόμενον, τὸ μὲν
ἄνω τὸ δὲ κάτω· ταῦτα δ' ἐστὶ τόπου μέρη καὶ εἴδη, τό [v]τε
4 ἄνω καὶ τὸ κάτω καὶ αἱ λοιπαὶ τῶν [e]ἓξ διαστάσεων. [1]Ἔστι
δὲ τὰ τοιαῦτα οὐ μόνον πρὸς ἡμᾶς, [w]τὸ ἄνω καὶ κάτω καὶ
δεξιὸν καὶ ἀριστερόν· ἡμῖν [x]μὲν γὰρ οὐκ [y]ἀεὶ τὸ αὐτό, ἀλλὰ
κατὰ [z]τὴν θέσιν, ὅπως ἂν στραφῶμεν, γίνεται, διὸ [a]καὶ
ταὐτὸ πολλάκις δεξιὸν καὶ ἀριστερόν [b]ἐστι καὶ ἄνω καὶ κάτω
καὶ πρόσθεν καὶ ὄπισθεν. [1]Ἐν [c]δὲ τῇ φύσει διώρισται χωρὶς
5 [d]ἕκαστον. Οὐ γὰρ ὅ τι ἔτυχέν ἐστι [e]τὸ ἄνω, ἀλλ' ὅπου
φέρεται τὸ πῦρ καὶ τὸ κοῦφον· ὁμοίως δὲ καὶ τὸ κάτω οὐχ
ὅ τι ἔτυχεν, ἀλλ' ὅπου τὰ ἔχοντα βάρος καὶ τὰ γεηρά, ὡς

[c] καὶ ante κ. om. F. [d] ταυτὸ G, τὰ αὐτὰ I. [e] προηυπορημένον F. [f] ἔστι τι ὁ E. [g] ἀὴρ ἐκεῖ ἔνεστιν E. [h] τοῦτον ante τόπον ponit I, om. F. [i] κατέχει om. E. [k] δὲ F.G.I. [l] πάντως I. [m] ἐν τούτῳ πρότερον ὕδωρ F. [n] μετέβαλλον I. [o] δὲ καὶ αἱ I. [p] διαφοραὶ E. [q] τις G. [r] ὅτι καὶ] ὃ καὶ G, καὶ ὅτι F. [s] δύναμιν ὁ τόπος. Φ. G.I. [t] αὐτὸν F. [v] τε et τὸ om. E. [w] τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν καὶ τὸ ἄνω καὶ τὸ κάτω F.G.I. [x] μὲν om. F. [y] αἰεὶ F.G. [z] τὴν om. F. [a] καὶ post διὸ om. F.G.I. [b] ἐστι om. E. [c] τῇ δὲ E. [d] ἑκάτερον pr. F. [e] τὸ ἄνω ἐστὶν F.I.

οὐ τῇ θέσει διαφέροντα μόνον ἀλλὰ καὶ τῇ δυνάμει. Δηλοῖ δὲ καὶ τὰ [f]μαθηματικά· οὐκ ὄντα γὰρ ἐν τόπῳ ὅμως κατὰ τὴν θέσιν [g]τὴν πρὸς ἡμᾶς ἔχει δεξιὰ καὶ ἀριστερά, ὥστε μόνον [h]αὐτῶν νοεῖσθαι τὴν θέσιν, [i]ἀλλὰ μὴ ἔχειν φύσιν τούτων ἕκαστον. [j]Ἔτι οἱ τὸ κενὸν φάσκοντες εἶναι τόπον λέ- 6
γουσιν· τὸ γὰρ κενὸν τόπος ἂν εἴη ἐστερημένος σώματος. [k]Ὅτι μὲν οὖν ἔστι τι ὁ τόπος [k]παρὰ τὰ σώματα, καὶ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, διὰ τούτων ἄν τις ὑπολάβοι· δόξειε δ' ἂν καὶ [l]Ἡσίοδος ὀρθῶς λέγειν ποιήσας πρῶτον τὸ χάος. Λέγει [l]γοῦν 7

Πάντων μὲν πρώτιστα χάος [m]γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος,

[l]Ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νομίζειν, ὥσπερ οἱ πολλοί, πάντα εἶναί που καὶ ἐν τόπῳ. Εἰ δ' ἐστὶ [n]τοιοῦτο, θαυμαστή τις ἂν εἴη [o]ἡ τοῦ τόπου δύναμις καὶ προτέρα πάντων· οὔ γὰρ ἄνευ [p]τῶν ἄλλων [q]οὐδέν ἐστιν, ἐκεῖνο δ' ἄνευ τῶν ἄλλων, ἀνάγκη πρῶτον εἶναι· οὐ γὰρ ἀπόλ-
λυται ὁ τόπος τῶν ἐν αὐτῷ φθειρομένων. Οὐ μὴν ἀλλ' ἔχει 8
γ' ἀπορίαν, εἰ ἔστι, τί ἐστι, [r]πότερον ὄγκος [s]τις σώματος ἢ τις ἑτέρα φύσις· ζητητέον γὰρ τὸ γένος αὐτοῦ πρῶτον. Διαστήματα μὲν οὖν ἔχει τρία, [t]μῆκος καὶ πλάτος καὶ βάθος, οἷς ὁρίζεται σῶμα [v]πᾶν. [j]Ἀδύνατον δὲ σῶμα [w]εἶναι τὸν τόπον· ἐν ταὐτῷ γὰρ ἂν εἴη δύο σώματα. [j]Ἔτι εἴπερ ἐστὶ 9
σώματος τόπος καὶ χώρα, δῆλον ὅτι καὶ ἐπιφανείας καὶ τῶν λοιπῶν περάτων· ὁ γὰρ αὐτὸς ἁρμόσει λόγος· ὅπου γὰρ ἦν πρότερον τὰ [x]τοῦ ὕδατος ἐπίπεδα, ἔσται πάλιν τὰ τοῦ ἀέρος. [j]Ἀλλὰ μὴν [y]οὐδεμίαν διαφορὰν ἔχομεν στιγμῆς καὶ τόπου στιγμῆς, ὥστ' εἰ μηδὲ ταύτης [z]ἕτερόν ἐστιν ὁ τόπος, οὐδὲ

[f] μαθητικά E. [g] τὴν om. E. [h] νοεῖσθαι αὐτῶν F.G.I. [i] ἀλλὰ—φύσιν] οὐκ ἔχοντα φύσει F.G.I. [k] περὶ F. [l] μὲν οὖν I, γὰρ F. [m] γένοιτ' F. [n] τοιοῦτον I, τοῦτο F. [o] ἡ om. E. [p] τῶν—ἐστιν] ἀδύνατόν τι τῶν ἄλλων εἶναι F. [q] οὐδεν—ἄλλων om. E. [r] πότερον γὰρ ὄγκος E. [s] τινὸς σ. I. [t] μῆκος καὶ βάθος καὶ πλάτος F, μήκους καὶ πλάτους καὶ βάθους E. [v] ἅπαν E. [w] τὸν τόπον εἶναι F. [x] τοῦ ante ὕδατος om. F. [y] διαφορὰν οὐδεμίαν G.I, διαφορὰ οὐδὲ μία (omisso ἔχομεν) F. [z] ἐστιν ὁ τόπος ἕτερον F.G.I.

τῶν ἄλλων οὐδενός, οὐδ' ἔστι τι παρ' ἕκαστον τούτων ὁ τό-
10 πος. Τί γὰρ ἄν [a] ποτε καὶ θείημεν εἶναι τὸν τόπον; Οὔτε γὰρ στοιχεῖον οὔτ' [b] ἐκ στοιχείων οἷόν τ' [c] εἶναι τοιαύτην ἔχοντα φύσιν, οὔτε τῶν σωματικῶν οὔτε τῶν ἀσωμάτων· μέγεθος μὲν γὰρ ἔχει, σῶμα δ' οὐδέν· ἔστι δὲ τὰ μὲν τῶν [d] αἰσθητῶν σωμάτων στοιχεῖα σώματα, ἐκ δὲ τῶν [e] νοητῶν
11 οὐδὲν γίνεται μέγεθος. [f]Ἔτι δὲ καὶ τίνος ἄν τις θείη τοῖς οὖσιν [f] αἴτιον εἶναι τὸν τόπον; Οὐδεμία γὰρ [g] αὐτῷ ὑπάρχει αἰτία τῶν τεττάρων· [h] οὔτε γὰρ ὡς ὕλη τῶν ὄντων ([i] οὐδὲν γὰρ ἐξ αὐτοῦ συνέστηκεν) οὔτε ὡς εἶδος καὶ λόγος τῶν πρα-
12 γμάτων οὔθ' [k] ὡς τέλος, οὔτε κινεῖ [l] τὰ ὄντα. [j]Ἔτι δὲ καὶ αὐτὸς [m] εἰ ἔστι [n] τι τῶν ὄντων, ποῦ ἔσται; [r]Ἡ γὰρ Ζήνωνος ἀπορία ζητεῖ τινὰ λόγον· εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ δῆλον ὅτι καὶ τοῦ τόπου τόπος ἔσται, καὶ τοῦτο εἰς ἄπειρον [o] πρόεισιν. [p]Ἔτι ὥσπερ [q] ἅπαν σῶμα ἐν τόπῳ, οὕτω καὶ ἐν τόπῳ ἅπαντι σῶμα· πῶς οὖν ἐροῦμεν περὶ τῶν αὐξανομένων; [s]Ἀνάγκη γὰρ ἐκ τούτων [r] συναύξεσθαι τὸν τόπον αὐτοῖς, εἰ μήτ' [s] ἐλάττων μήτε μείζων ὁ τόπος ἑκάστου. Διὰ μὲν οὖν τούτων οὐ μόνον τί ἐστιν, ἀλλὰ καὶ εἰ ἔστιν, ἀπορεῖν ἀναγκαῖον.

2 [t]Ἐπεὶ δὲ τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατ' ἄλλο λέγεται, [t] καὶ τόπος ὁ μὲν κοινός, ἐν ᾧ ἅπαντα τὰ σώματά ἐστιν, ὁ δ' ἴδιος, ἐν ᾧ [v] πρώτῳ· λέγω [w] δ' οἷον σὺ νῦν ἐν [x] τῷ οὐρανῷ ὅτι ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ οὐρανῷ, καὶ ἐν τῷ ἀέρι [y] δὲ ὅτι ἐν τῇ γῇ, ὁμοίως δὲ καὶ ἐν ταύτῃ ὅτι ἐν τῷδε τῷ τόπῳ, [z] ὃς περι-
2 έχει οὐδὲν πλέον ἢ σέ. [a]Εἰ δή ἐστιν ὁ τόπος τὸ πρῶτον περιέχον [b] τῶν σωμάτων ἕκαστον, πέρας τι ἂν εἴη, ὥστε δόξειεν ἂν τὸ εἶδος καὶ ἡ μορφὴ ἑκάστου ὁ τόπος εἶναι, ᾧ ὁρί-

[a] ποτε om. E. [b] ἐκ] ἕκαστον E. [c] εἶναι τὸν τόπον τ. E.I. [d] αἰσθητῶν om. G. [e] νοητῶν στοιχείων οὐδὲν F.G.I. [f] τὸν τόπον αἴτιον εἶναι F. [g] αἰτία ὑπάρχει αὐτῷ F.G.I. [h] οὔτε—ὄντων om. E. [i] οὐδὲν] οὐ pr. F. [k] ὡς om. E. [l] τὰ] τινα corr. E. [m] εἰ om. E. [n] τι om. E.I. [o] πρόεισιν om. E. [p] ἔτι εἰ ὥσπερ F.G.I. [q] πᾶν E. [r] συναυξάνεσθαι F.G.I. [s] ἐλάσσων F.G.I. [t] καὶ] καὶ ὁ G. [v] πρώτως F. [w] δ' ὅτι οἷον I. [x] τῷ om. E. [y] δὲ om. F.G.I. [z] ὅσπερ ἔχει G. [a] εἰ δή corr. E. [b] ἕκαστον τῶν σωμάτων F.G.I.

ζεται τὸ μέγεθος καὶ ἡ ὕλη [c] ἡ τοῦ μεγέθους· τοῦτο γὰρ ἑκάστου πέρας. Οὕτω μὲν οὖν σκοποῦσιν ὁ τόπος τὸ ἑκάστου εἶδός ἐστιν· ᾗ δὲ δοκεῖ ὁ τόπος εἶναι [d] τὸ διάστημα τοῦ μεγέθους, ἡ ὕλη· τοῦτο γὰρ ἕτερον τοῦ μεγέθους· τοῦτο δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ τοῦ εἴδους καὶ ὡρισμένον, οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος. [4] Ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀό- 3
ριστον· ὅταν γὰρ ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς [e] σφαίρας, λείπεται οὐδὲν παρὰ τὴν ὕλην. Διὸ [f] καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν [g] ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ· τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν. [4] Ἄλλον δὲ τρόπον [h] ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς [i] λεγομένοις [k] ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο. Λέγουσι μὲν γὰρ [l] πάντες εἶναί τι 4
[m] τὸν τόπον, τί δ' ἐστίν, οὗτος μόνος ἐπεχείρησεν εἰπεῖν. Εἰκότως δ' ἐκ τούτων σκοπουμένοις δόξειεν ἂν εἶναι χαλεπὸν γνωρίσαι τί ἐστιν ὁ τόπος, εἴπερ τούτων ὁποτερονοῦν ἐστίν, εἴτε [n] ἡ ὕλη εἴτε τὸ εἶδος· ἄλλως τε γὰρ τὴν ἀκροτάτην ἔχει θέαν, καὶ χωρὶς ἀλλήλων οὐ [o] ῥᾴδιον γνωρίζειν. [4] Ἀλλὰ [p] μὴν ὅτι γε ἀδύνατον ὁποτερονοῦν τούτων εἶναι τὸν τόπον, οὐ χαλεπὸν ἰδεῖν. Τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕλη [q] οὐ 5
χωρίζεται τοῦ πράγματος, τὸν δὲ τόπον ἐνδέχεται· ἐν ᾧ γὰρ ἀὴρ [r] ἦν, ἐν τούτῳ πάλιν ὕδωρ, ὡς [s] ἔφαμεν, γίνεται, ἀντιμεθισταμένων ἀλλήλοις τοῦ τε [t] ὕδατος καὶ τοῦ ἀέρος, καὶ τῶν ἄλλων σωμάτων ὁμοίως, ὥστε οὔτε μόριον οὔθ' ἕξις ἀλλὰ χωριστὸς ὁ τόπος [v] ἑκάστου ἐστίν. [w] Καὶ γὰρ δοκεῖ [x] τοι- 6
οὐτό τι εἶναι ὁ τόπος οἷον [y] τὸ ἀγγεῖον· ἔστι γὰρ τὸ ἀγγεῖον τόπος μεταφορητός· τὸ δ' ἀγγεῖον οὐδὲν τοῦ πράγματός ἐστιν. [4] Ἡι μὲν οὖν [z] χωριστός ἐστι τοῦ πράγματος,

[c] ἡ post ὕλη om. E. [d] τὸ om. E. [e] σφαίρας corr. E. [f] καὶ ὁ Πλάτων F.G.I. [g] τὸ αὐτό F.G.I. [h] ἐκεῖσε F. [i] λεγομένοις corr. E. [k] ἀγράφοις om. pr. E. [l] ἅπαντες F.G.I. [m] τὸν om. E. [n] ἡ om. F.G. [o] ῥάδιον αὐτὰ γν. G. [p] μὴν καὶ ὅτι E. [q] οὐ om. E. [r] ἦν om. F. [s] φαμεν F.G.I. [t] ἀέρος καὶ τοῦ ὕδατος G.I, ἀέρος καὶ ὕδατος F. [v] ἐστὶν ἑκάστου F.G.I. [w] καὶ γὰρ δοκεῖ] δοκεῖ γὰρ E. [x] τοιοῦτόν F.G.I. [y] τὸ om. F.G. [z] χ. τοῦ πράγματός ἐστι E.

ταύτῃ μὲν οὐκ ἔστι τὸ εἶδος· ᾗ δὲ περιέχει, ταύτῃ [a] δ' ἕτερος τῆς ὕλης. Δοκεῖ δὲ [b] ἀεὶ τὸ ὄν που αὐτό τε εἶναί τι καὶ ἕτε-
7 ρόν τι ἐκτὸς αὐτοῦ. Πλάτωνι μέντοι λεκτέον, εἰ δεῖ παρεκβάντας εἰπεῖν, διὰ τί οὐκ ἐν τόπῳ τὰ εἴδη καὶ οἱ ἀριθμοί, εἴπερ τὸ μεθεκτικὸν ὁ τόπος, εἴτε τοῦ μεγάλου καὶ τοῦ μικροῦ ὄντος τοῦ μεθεκτικοῦ εἴτε τῆς ὕλης, ὥσπερ ἐν τῷ Τιμαίῳ
8 γέγραφεν. Ἔτι πῶς ἂν φέροιτο εἰς τὸν αὐτοῦ τόπον, εἰ ὁ τόπος [c] ἦν ἡ ὕλη ἢ τὸ εἶδος; Ἀδύνατον γὰρ οὗ μὴ κίνησις μηδὲ [d] τὸ ἄνω ἢ κάτω ἐστί, τόπον [e] εἶναι. Ὥστε [f] ζητητέος
9 ἐν τοῖς τοιούτοις ὁ τόπος. Εἰ δ' ἐν αὐτῷ ὁ τόπος (δεῖ γάρ, εἴπερ [g] ἡ μορφὴ ἢ ὕλη), ἔσται ὁ τόπος ἐν τόπῳ· μεταβάλλει γὰρ ἅμα τῷ πράγματι καὶ κινεῖται καὶ τὸ εἶδος καὶ τὸ ἀόριστον, οὐκ ἀεὶ ἐν τῷ αὐτῷ ἀλλ' οὗπερ [h] καὶ τὸ πρᾶγμα· ὥστε
10 τοῦ τόπου [i] ἔσται τόπος. Ἔτι ὅταν ἐξ ἀέρος ὕδωρ γένηται, ἀπόλωλεν ὁ τόπος· οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ τὸ γενόμενον σῶμα· τίς οὖν ἡ φθορά; Ἐξ ὧν μὲν τοίνυν ἀναγκαῖον εἶναί τι τὸν τόπον, καὶ πάλιν ἐξ ὧν ἀπορήσειεν ἄν τις αὐτοῦ περὶ τῆς οὐσίας, εἴρηται.

3 Μετὰ [k] δὲ ταῦτα [l] ληπτέον ποσαχῶς ἄλλο ἐν ἄλλῳ λέγεται. Ἕνα μὲν δὴ τρόπον ὡς ὁ δάκτυλος ἐν τῇ χειρὶ καὶ
2 ὅλως τὸ μέρος ἐν τῷ ὅλῳ. Ἄλλον [m] δὲ ὡς τὸ ὅλον ἐν τοῖς
3 μέρεσιν· οὐ γάρ [n] ἐστι παρὰ τὰ μέρη τὸ ὅλον. Ἄλλον δὲ τρόπον ὡς ὁ ἄνθρωπος ἐν [o] ζῴῳ καὶ ὅλως εἶδος ἐν γένει.
4 Ἄλλον δὲ ὡς τὸ γένος ἐν τῷ εἴδει καὶ ὅλως τὸ μέρος τοῦ
5 εἴδους ἐν τῷ [p] τοῦ εἴδους λόγῳ. Ἔτι ὡς [q] ἡ ὑγίεια ἐν θερμοῖς
6 καὶ ψυχροῖς καὶ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. Ἔτι ὡς ἐν βασι-
7 λεῖ τὰ τῶν [r] Ἑλλήνων καὶ ὅλως ἐν τῷ πρώτῳ κινητικῷ. Ἔτι ὡς ἐν τῷ ἀγαθῷ καὶ [s] ὅλως ἐν τῷ τέλει· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα. Πάντων δὲ κυριώτατον τὸ ὡς ἐν ἀγγείῳ καὶ [s] ὅλως

[a] δ' om. F. [b] τὸ ἀεὶ I. [c] ἦν om. E. [d] τῷ pr. F. [e] εἶναι τοῦτο ὥστε I. [f] ζητητέον εἰ ἐν F. [g] ἡ μορφὴ ἢ ἡ ὕλη G. [h] καὶ post οὗπερ om. E. [i] ἔσται ὁ τόπος G. [k] ταῦτα δὲ F. [l] λεκτέον E. [m] δὲ τρόπον ὡς E. [n] ἐστιν ὅλον παρὰ τὰ μέρη E. [o] ἐν τῷ ζώῳ F. [p] τοῦ εἴδους om. E et pr. G. [q] ἡ om. F.G.I. [r] ὅλως ὡς ἐν E. [s] ὅλως τὸ ἐν I.

ἐν τόπῳ. [a]Απορήσειε δ' ἄν τις, ἆρα καὶ αὐτό τι ἐν ἑαυτῷ 8
ἐνδέχεται εἶναι, ἢ οὐθέν, ἀλλὰ [t]πᾶν [v]ἢ οὐδαμοῦ ἢ ἐν ἄλλῳ.
Διχῶς δὲ τοῦτ' ἐστίν, ἤτοι καθ' [w]αὐτὸ ἢ καθ' ἕτερον. [v]Οταν 9
μὲν γὰρ ᾖ μόρια τοῦ ὅλου [x]τὸ ἐν ᾧ καὶ τὸ ἐν τούτῳ, λεχθή-
σεται τὸ ὅλον ἐν [y]ἑαυτῷ· λέγεται γὰρ καὶ [z]κατὰ μέρη, οἷον
λευκὸς ὅτι ἡ ἐπιφάνεια λευκή, καὶ ἐπιστήμων [a]ὅτι τὸ λογι-
στικόν. [b]Ο μὲν οὖν ἀμφορεὺς οὐκ ἔσται ἐν [b]ἑαυτῷ, οὐδ' ὁ 10
οἶνος· ὁ δὲ τοῦ οἴνου ἀμφορεὺς ἔσται· ὅ τε γὰρ καὶ ἐν ᾧ,
ἀμφότερα τοῦ αὐτοῦ μόρια. Οὕτω μὲν οὖν ἐνδέχεται αὐτό 11
τι ἐν [b]ἑαυτῷ εἶναι, πρώτως δ' οὐκ ἐνδέχεται, [c]οἷον τὸ λευκὸν
ἐν σώματι. [d][b]Η ἐπιφάνεια γὰρ ἐν σώματι, ἡ δ' ἐπιστήμη
ἐν ψυχῇ. Κατὰ ταῦτα δ' αἱ προσηγορίαι μέρη ὄντα, ὥς 12
[e]γε ἐν ἀνθρώπῳ. [b]Ο δ' ἀμφορεὺς καὶ ὁ οἶνος χωρὶς μὲν
ὄντα οὐ μέρη, ἅμα δέ. [f]Διὸ [g]ὅταν ᾖ μέρη, ἔσται [h]αὐτὸ ἐν 13
[i]ἑαυτῷ, οἷον τὸ λευκὸν [k]ἐν ἀνθρώπῳ ὅτι [l]ἐν σώματι, καὶ ἐν
τούτῳ ὅτι ἐν ἐπιφανείᾳ· ἐν δὲ ταύτῃ οὐκέτι κατ' ἄλλο. Καὶ 14
ἕτερά γε τῷ εἴδει ταῦτα, καὶ ἄλλην φύσιν ἔχει [m]ἑκάτερον
καὶ δύναμιν, ἥ τ' ἐπιφάνεια καὶ τὸ λευκόν. Οὔτε δὴ ἐπακτι- 15
κῶς σκοποῦσιν οὐδὲν [n]ὁρῶμεν ἐν ἑαυτῷ κατ' οὐδένα [o]τῶν διο-
ρισμῶν, τῷ τε λόγῳ δῆλον ὅτι ἀδύνατον· δεήσει γὰρ ἀμφό-
τερα ἑκάτερον ὑπάρχειν, οἷον τὸν ἀμφορέα ἀγγεῖόν τε καὶ
οἶνον εἶναι καὶ τὸν οἶνον οἰνόν τε καὶ ἀμφορέα, εἴπερ ἐνδέ-
χεται [p]αὐτό τι ἐν [q]ἑαυτῷ εἶναι. [v]Ωστε εἰ ὅτι μάλιστα ἐν 16
ἀλλήλοις εἶεν, ὁ μὲν ἀμφορεὺς δέξεται τὸν οἶνον οὐχ ᾗ αὐτὸς
οἶνος ἀλλ' ᾗ ἐκεῖνος, [r]ὁ δ' οἶνος [s]ἐνέσται ἐν τῷ ἀμφορεῖ οὐχ
ᾗ [t]αὐτὸς ἀμφορεὺς ἀλλ' ᾗ [v]ἐκεῖνος. Κατὰ μὲν [w]οὖν τὸ εἶναι 17
ὅτι ἕτερον, δῆλον· [x]ἄλλος γὰρ ὁ λόγος τοῦ ἐν ᾧ [y]καὶ τοῦ

[t] *πάντα* F.I, om. G. [v] *ἢ οὐδαμῶς ἢ ἐν ἄλλω* F, *ἢ ἐν ἄλλῳ ἢ οὐδαμοῦ* G. [w] *ἑαυτὸ* I. [x] *τό τ' ἐν ὦ* F.G.I. [y] *αὐτῷ* F.G. [z] *κατὰ τὰ μέρη* I. [a] *ὅτι καὶ τὸ* E. [b] *αὐτῷ* F.G. [c] *οἷον τὸ λ. ἐν σώματι* om. E. [d] *ἡ* om. F, *ἡ ἐπιφ.—σώματι* om. I. [e] *γε*] *τε* F. [f] *διότι* F. [g] *ὅταν μὲν ᾖ* E. [h] *αὐτὸς* E.I. [i] *αὑτῷ* F.G. [k] *ἐν τῷ ἀνθρώπῳ* G.I. [l] *ἐν τῷ σώματι* et *ἐν τῇ ἐπιφανείᾳ* F G.I. [m] *ἑκάτερα* F. [n] *ἐν ἑαυτῷ ὁρῶμεν* F.I, *ἐν αὐτῷ ὁρῶμεν* G. [o] *τον διορισμενον* E. [p] *τι αὐτὸ* G.I. [q] *αὑτῷ* F. [r] *ὁ δ'*] *καὶ ὁ* I. [s] *ἔσται* F.I. [t] *ἀμφορεὺς αὐτὸς* G.I, *ἀμφορεὺς αὐτὸς ἢ* F. [v] *ἐκεῖνος ἀμφορεύς. Κατὰ* F.G.I. [w] *οὖν* om. F. [x] *ἄλλως* E. [y] *καὶ ὁ τοῦ* G.I.

ἐν τούτῳ. [1]Αλλὰ μὴν οὐδὲ κατὰ συμβεβηκὸς ἐνδέχεται· ἅμα γὰρ [z]δύο ἐν ταὐτῷ [a]ἔσται· αὐτός [b]τε γὰρ ἐν [c]αὐτῷ ὁ ἀμφορεὺς ἔσται, εἰ οὗ ἡ φύσις δεκτική, τοῦτ' ἐνδέχεται ἐν [d]ἑαυτῷ εἶναι καὶ ἔτι [e]ἐκεῖνο οὗ δεκτικόν, οἷον, εἰ οἶνου, [f]ὁ οἶνος.
18 [v]Οτι μὲν οὖν ἀδύνατον ἐν [g]ἑαυτῷ [h]τι εἶναι [i]πρώτως, δῆλον. [p]Ο δὲ Ζήνων ἠπόρει, ὅτι εἰ [k]ἔστι τι ὁ τόπος, ἐν τίνι ἔσται, [l]λύειν οὐ χαλεπόν· οὐδὲν γὰρ κωλύει ἐν ἄλλῳ [m]μὲν εἶναι τὸν πρῶτον τόπον, μὴ μέντοι ὡς ἐν τόπῳ ἐκείνῳ, ἀλλ' ὥσπερ ἡ μὲν ὑγίεια ἐν [n]τοῖς θερμοῖς ὡς ἕξις, τὸ δὲ θερμὸν [o]ἐν σώ-
19 ματι ὡς πάθος. [v]Ωστ' οὐκ ἀνάγκη [p]εἰς ἄπειρον ἰέναι. [1]Εκεῖνο δὲ φανερόν, ὅτι ἐπεὶ [q]οὐδὲν τὸ ἀγγεῖον τοῦ ἐν αὐτῷ (ἕτερον γὰρ τὸ πρώτως ὅ τε καὶ ἐν ᾧ), οὐκ ἂν εἴη οὔτε [r]ἡ ὕλη [s]οὔτε τὸ εἶδος ὁ τόπος, ἀλλ' ἕτερον. [1]Εκείνου γάρ τι ταῦτα τοῦ [t]ἐνόντος, καὶ ἡ ὕλη καὶ ἡ μορφή. Ταῦτα μὲν οὖν ἔστω διηπορημένα.

4 Τί [v]δέ ποτ' ἐστὶν ὁ τόπος, ὧδ' ἂν γένοιτο φανερόν. Λάβωμεν δὲ περὶ αὐτοῦ ὅσα δοκεῖ ἀληθῶς καθ' [w]αὐτὸ ὑπάρχειν αὐτῷ. [1]Αξιοῦμεν δὴ τὸν τόπον εἶναι πρῶτον μὲν [x]περιέχον ἐκεῖνο οὗ τόπος ἐστί, καὶ μηδὲν τοῦ πράγματος [y]εἶναι, ἔτι τὸν πρῶτον [z]τόπον μήτ' [a]ἐλάττω μήτε μείζω, [b]ἔτι ἀπολείπεσθαι ἑκάστου καὶ χωριστόν [c]εἶναι, πρὸς δὲ τούτοις πάντα τόπον ἔχειν τὸ ἄνω [d]καὶ κάτω, καὶ φέρεσθαι φύσει καὶ μένειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων,
2 τοῦτο δὲ ποιεῖν ἢ ἄνω ἢ κάτω. [1]Υποκειμένων δὲ [e]τούτων τὰ λοιπὰ θεωρητέον. Δεῖ δὲ πειρᾶσθαι τὴν σκέψιν οὕτω ποιεῖσθαι, ὅπως τὸ τί ἐστιν ἀποδοθήσεται, ὥστε τά τε ἀπορούμενα λύεσθαι, καὶ τὰ δοκοῦντα ὑπάρχειν τῷ τόπῳ ὑπάρχοντα

[z] δύο σώματα ἐν τῶ αὐτῶ G.I. [a] ἐνέσται F. [b] τε om. E. [c] ἑαυτῶ I. [d] αὐτῶ F.G. [e] ἐκείνου δεκτικὸν E. [f] ὁ om. E.F. [g] αὐτω F.G. [h] τι om. E. [i] πρώτως εἶναι F. [k] ὁ τόπος ἐστι τι G.I, ὁ τόπος ἔσται τι F. [l] λύειν οὐ χαλεπόν om. pr. E. [m] μὲν om. E. [n] τοῖς om. E. [o] ἐν om. I. [p] εἰς] ἐπ' G.I. [q] οὐδὲ τὸ ἀγγεῖον ἐν ἑαυτῶ I. [r] ἡ om. G. [s] οὔτε om. G. [t] ἓν ὄντος G. [v] δή G. [w] αὐτὸν G. [x] περιέχειν F.I. [y] εἶναι om. E. [z] τόπον om. F.G. [a] ἐλάττω εἶναι μήτε I. [b] ἔτι μήτ' ἀπολ. F.G.I. [c] εἶναι om. E.G.I. [d] καὶ τὸ κάτω G. [e] τούτων] τῶν τοιούτων G.

ἔσται, καὶ ἔτι τὸ τῆς δυσκολίας αἴτιον καὶ τῶν περὶ αὐτὸν ἀπορημάτων ἔσται φανερόν· οὕτω γὰρ ἂν κάλλιστα δεικνύοιτο ἕκαστον. Πρῶτον μὲν οὖν δεῖ κατανοῆσαι ὅτι οὐκ ἂν 3
ἐζητεῖτο ὁ τόπος, εἰ μὴ κίνησίς [f] τις ἦν ἡ κατὰ τόπον· διὰ γὰρ τοῦτο καὶ τὸν οὐρανὸν μάλιστ' οἰόμεθα [g] ἐν τόπῳ, ὅτι ἀεὶ ἐν κινήσει. Ταύτης δὲ τὸ μὲν φορά, τὸ δ' αὔξησις καὶ φθίσις· καὶ γὰρ ἐν τῇ αὐξήσει καὶ φθίσει μεταβάλλει, καὶ [h] ὃ πρότερον ἦν ἐνταῦθα, πάλιν μεθέστηκεν εἰς ἔλαττον ἢ μεῖζον. [i]Εστι δὲ κινούμενον τὸ μὲν καθ' αὑτὸ ἐνεργείᾳ, τὸ 4
δὲ κατὰ συμβεβηκός· [i] τοῦ δὲ κατὰ συμβεβηκὸς [k] τὸ μὲν ἐνδεχόμενον κινεῖσθαι καθ' αὑτό, οἷον τὰ [l] μόρια τοῦ σώματος καὶ ὁ ἐν τῷ πλοίῳ ἦλος, τὰ δ' οὐκ ἐνδεχόμενα ἀλλ' αἰεὶ κατὰ συμβεβηκός, [m] οἷον ἡ λευκότης καὶ ἡ ἐπιστήμη· ταῦτα γὰρ οὕτω μεταβέβληκε τὸν τόπον, ὅτι ἐν ᾧ ὑπάρχουσι μεταβάλλει. [i]Επεὶ δὲ λέγομεν [n] εἶναι ὡς [o] ἐν τόπῳ τῷ οὐρανῷ, 5
διότι ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ οὐρανῷ· καὶ ἐν τῷ ἀέρι δὲ οὐκ ἐν παντί, ἀλλὰ διὰ τὸ ἔσχατον αὐτοῦ καὶ περιέχον ἐν τῷ ἀέρι φαμὲν εἶναι· εἰ γὰρ [p] πᾶς ὁ ἀὴρ τόπος, οὐκ ἂν ἴσος εἴη ἑκάστου ὁ τόπος καὶ ἕκαστον, δοκεῖ δέ γε [q] ἴσος εἶναι. Τοιοῦτος [r] δ' ὁ πρῶτος ἐν ᾧ ἐστίν. [u]Οταν μὲν οὖν μὴ διῃρημένον 6
ᾖ τὸ περιέχον ἀλλὰ συνεχές, οὐχ ὡς ἐν τόπῳ λέγεται [s] εἶναι ἐν ἐκείνῳ, ἀλλ' ὡς μέρος ἐν ὅλῳ· ὅταν δὲ διῃρημένον ᾖ καὶ ἁπτόμενον, ἐν πρώτῳ [t] ἐστὶ τῷ ἐσχάτῳ τοῦ περιέχοντος, ὃ οὔτ' ἐστὶ μέρος τοῦ ἐν αὐτῷ [v] ὄντος οὔτε μεῖζον τοῦ διαστήματος ἀλλ' ἴσον· ἐν γὰρ τῷ αὐτῷ τὰ ἔσχατα τῶν ἁπτομένων. Καὶ συνεχὲς μὲν δὴ οὐκ ἐν ἐκείνῳ κινεῖται ἀλλὰ μετ' ἐκείνου, 7
διῃρημένον δὲ ἐν ἐκείνῳ. Καὶ ἐάν τε [w] κινῆται τὸ περιέχον ἐάν τε μή, οὐδὲν ἧττον. [u]Ετι ὅταν μὴ [x] διῃρημένου ᾖ, ὡς 8
μέρος ἐν ὅλῳ λέγεται, [y] οἷον ἐν τῷ ὀφθαλμῷ ἡ ὄψις ἢ ἐν τῷ

[f] τις om. F. [g] ἐν τόπω οἰόμεθα F.G.I. [h] ὃ] ὅπερ F. [i] τοῦ δὲ κ. σ.] κ. σ. δὲ E. [k] τὰ μὲν ἐνδεχόμενα F.G. [l] μέρη F. [m] οἷον ἡ] ἥ τε corr. E. [n] εἶναι om. F. [o] ἐν τόπῳ ἐν τῷ E. [p] ἅπας G.I. [q] ἴσος om. G, εἶναι om. G.I. [r] δ' om. G. [s] εἶναι om. F.G.I. [t] ἐστί τινι τῷ G.I. [v] ὄντος om. E. [w] κινεῖται G. [x] ἢ διῃρημένον I. [y] οἷον ὡς ἐν G.I.

σώματι ἡ χείρ, ὅταν δὲ διῃρημένον, οἷον ἐν τῷ [z] κάδῳ τὸ ὕδωρ [a] ἢ ἐν τῷ κεραμίῳ ὁ οἶνος· ἡ μὲν γὰρ χεὶρ κατὰ τοῦ σώματος
9 κινεῖται, τὸ δὲ ὕδωρ ἐν τῷ [z] κάδῳ. [y] Ἤδη τοίνυν φανερὸν ἐκ τούτων τί ἐστιν [b] ὁ τόπος. Σχεδὸν γὰρ τέτταρά ἐστιν ὧν ἀνάγκη τὸν τόπον ἕν τι εἶναι· ἢ γὰρ μορφὴ ἢ ὕλη ἢ διάστημά τι [c] τὸ μεταξὺ τῶν ἐσχάτων, ἢ τὰ ἔσχατα εἰ μή ἐστι μηδὲν διάστημα παρὰ τὸ τοῦ ἐγγινομένου σώματος μέγεθος.
10 Τούτων δ' ὅτι [d] οὐκ ἐνδέχεται τὰ τρία εἶναι, φανερόν· ἀλλὰ διὰ [e] μὲν τὸ περιέχειν δοκεῖ ἡ [f] μορφὴ εἶναι· ἐν [g] ταὐτῷ γὰρ τὰ ἔσχατα τοῦ περιέχοντος καὶ [h] τοῦ περιεχομένου. [y] Ἔστι μὲν οὖν ἄμφω πέρατα, ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τὸ μὲν εἶδος
11 τοῦ πράγματος, ὁ δὲ τόπος τοῦ περιέχοντος σώματος. Διὰ δὲ τὸ [i] μεταβάλλειν πολλάκις μένοντος τοῦ περιέχοντος τὸ περιεχόμενον καὶ διῃρημένον, οἷον ἐξ ἀγγείου ὕδωρ, τὸ μεταξὺ εἶναί τι δοκεῖ διάστημα, ὡς ὄν τι παρὰ τὸ σῶμα [k] τὸ μεθιστάμενον. Τὸ δ' οὐκ ἔστιν, ἀλλὰ τὸ τυχὸν ἐμπίπτει
12 σῶμα τῶν μεθισταμένων καὶ ἅπτεσθαι πεφυκότων. Εἰ δ' ἦν τι τὸ διάστημα τὸ πεφυκὸς καὶ μένον ἐν τῷ αὐτῷ [l] τόπῳ, ἄπειροι ἂν ἦσαν τόποι· μεθισταμένου γὰρ τοῦ ὕδατος καὶ τοῦ ἀέρος [m] ταὐτὸ ποιήσει τὰ μόρια [n] πάντα ἐν τῷ ὅλῳ ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ· ἅμα [o] δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων. [y] Ὥστ' [p] ἔσται τοῦ τόπου [q] τ' ἄλλος τόπος,
13 καὶ πολλοὶ τόποι ἅμα ἔσονται. Οὐκ ἔστι δὲ ἄλλος τόπος [r] ὁ τοῦ μορίου, ἐν ᾧ κινεῖται, ὅταν [s] ὅλον τὸ ἀγγεῖον μεθίστηται, ἀλλ' ὁ αὐτός· ἐν ᾧ γάρ ἐστιν, ἀντιμεθίσταται ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἢ τὰ μόρια τοῦ ὕδατος, ἀλλ' οὐκ ἐν ᾧ γίνονται τόπῳ, ὃς μέρος ἐστὶ τοῦ τόπου ὃς ἐστι τόπος ὅλου τοῦ οὐ-
14 ρανοῦ. Καὶ ἡ ὕλη δὲ δόξειεν ἂν εἶναι τόπος, εἴ [t] γε ἐν ἠρεμοῦντί τις σκοποίη καὶ μὴ [v] κεχωρισμένῳ ἀλλὰ συνεχεῖ.

[z] κάδδω F.I. [a] ἢ ὡς ἐν G. [b] ὁ om. F. [c] τὸ om. E. [d] τὰ τρία οὐκ ἐνδέχεται G.I. [e] τὸ μὲν F. [f] μορφὴ μὴ εἶναι E. [g] τῶ αὐτῶ F.G.I. [h] τοῦ post καὶ om. E.G. [i] βάλλειν E. [k] τὸ post σῶμα om. E. [l] τόπῳ om. F. [m] τὸ αὐτὸ G.I. [n] ἅπαντα F. [o] δ' ἔσται καὶ ὁ τόπος G.I. [p] ἔσται καὶ τοῦ F, ἔσται τέ τις τοῦ G. [q] τ'] γ' E, τις I, om. F.G. [r] ὁ om. F. [s] τὸ ὅλον F. [t] γε om. pr. E. [v] κεχωρισμένον ἀλλὰ συνεχές E.

[w]Ωσπερ γὰρ εἰ ἀλλοιοῦται, [x]ἔστι τι ὃ νῦν μὲν λευκὸν [y]πάλαι δὲ μέλαν, καὶ νῦν μὲν σκληρὸν [y]πάλαι δὲ μαλακόν (διό φαμεν εἶναί [z]τι τὴν ὕλην), οὕτω καὶ ὁ τόπος διὰ τοιαύτης τινὸς εἶναι [a]δοκεῖ φαντασίας, πλὴν ἐκεῖνο μὲν διότι [b]ὃ ἦν ἀήρ, [c]τοῦτο νῦν ὕδωρ, ὁ δὲ τόπος ὅτι [d]οὗ [e]ἦν ἀήρ, ἐνταῦθ' ἐστὶ [f]νῦν ὕδωρ. Ἀλλ' ἡ μὲν ὕλη, ὥσπερ ἐλέχθη ἐν [g]τοῖς πρότερον, οὔτε χωριστὴ τοῦ πράγματος οὔτε [h]περιέχει, ὁ δὲ τόπος ἄμφω. Εἰ τοίνυν μηδὲν [i]τῶν τριῶν ὁ τόπος ἐστί, 15
μήτε [k]τὸ εἶδος μήτε [k]ἡ ὕλη μήτε διάστημά [l]τι ἀεὶ [m]ὑπάρχον ἕτερον παρὰ τὸ τοῦ πράγματος τοῦ μεθισταμένου, ἀνάγκη τὸν τόπον εἶναι τὸ λοιπὸν τῶν [n]τεσσάρων, τὸ πέρας τοῦ περιέχοντος σώματος. Λέγω δὲ τὸ περιεχόμενον σῶμα τὸ κινητὸν κατὰ φοράν. Δοκεῖ δὲ μέγα [o]τι εἶναι καὶ χαλε- 16
πὸν ληφθῆναι ὁ τόπος διά τε τὸ παρεμφαίνεσθαι τὴν ὕλην καὶ τὴν μορφήν, καὶ διὰ τὸ ἐν ἠρεμοῦντι τῷ περιέχοντι γίνεσθαι τὴν μετάστασιν τοῦ φερομένου· ἐνδέχεσθαι γὰρ φαίνεται εἶναι διάστημα μεταξὺ ἄλλο τι τῶν κινουμένων μεγεθῶν. Συμβάλλεται δέ τι καὶ ὁ ἀὴρ δοκῶν ἀσώματος εἶναι· 17
φαίνεται γὰρ οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου εἶναι ὁ τόπος, ἀλλὰ καὶ τὸ μεταξὺ ὡς κενόν. [w]Ἔστι δ' ὥσπερ τὸ ἀγγεῖον 18
τόπος μεταφορητός, οὕτω [p]καὶ ὁ τόπος ἀγγεῖον ἀμετακίνητον. Διὸ ὅταν μὲν ἐν κινουμένῳ [q]τι κινῆται καὶ [r]μεταβάλλῃ τὸ ἐντός, οἷον ἐν ποταμῷ πλοῖον, [s]ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι. Βούλεται δ' [t]ἀκίνητος [v]εἶναι 19
ὁ τόπος· διὸ ὁ πᾶς μᾶλλον ποταμὸς [w]τόπος, ὅτι ἀκίνητος [x]ὁ πᾶς. [w]Ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος. Καὶ διὰ τοῦτο [y]τὸ μέσον τοῦ οὐρανοῦ καὶ τὸ ἔσχατον τὸ πρὸς ἡμᾶς τῆς κύκλῳ φορᾶς δοκεῖ εἶναι

[x] ἔστι τι τοῦτο ὃ G, ἔσται τοῦτο ὃ I. [y] πάλιν G.I. [z] τι om. I. [a] δοκεῖ εἶναι G.I. [b] ὃ om. E. [c] τοῦτο—ἀήρ om. G. [d] οὗ] οὗ νῦν I, ἐν ᾧ G. [e] ἦν ὁ ἀὴρ G.I. [f] νῦν om. G. [g] προτέροις F. [h] περιέχει F. [i] τῶν] τούτων τῶν G.I. [k] τὸ et ἡ om. corr. E. [l] ἀεί τι F. [m] ὑπάρχειν E. [n] τεττάρων G.I. [o] εἶναί τι F. [p] καὶ om. F.G.I. [q] τι om. E.F.G. [r] μεταβάλλει fortasse G. [s] ὡς ἐν ἀγγείῳ I. [t] ἀκίνητον F. [v] ὁ τόπος εἶναι G.I. [w] τόπος ἐστιν ὅτι I. [x] ὁ πᾶς] ἅπας G. [y] τὸ ante μ. om. I.

τὸ μὲν ἄνω τὸ δὲ κάτω μάλιστα πᾶσι κυρίως, ὅτι τὸ μὲν ἀεὶ μένει, τοῦ δὲ [z]κύκλου τὸ ἔσχατον ὡσαύτως ἔχον μένει. Ὥστ' ἐπεὶ τὸ μὲν κοῦφον τὸ ἄνω φερόμενόν [a]ἐστι φύσει, τὸ δὲ βαρὺ τὸ κάτω, τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας κάτω ἐστί, καὶ αὐτὸ τὸ μέσον, τὸ δὲ πρὸς τὸ ἔσχατον [b]ἄνω, καὶ αὐτὸ τὸ ἔσχατον· καὶ διὰ τοῦτο δοκεῖ ἐπίπεδόν [c]τι εἶναι καὶ οἷον ἀγγεῖον ὁ τόπος καὶ [d]περιέχον. Ἔτι ἅμα τῷ [e]πράγματι ὁ τόπος· ἅμα [f]γὰρ τῷ πεπερασμένῳ τὰ πέρατα.

5 Ὧι μὲν οὖν σώματι ἔστι τι ἐκτὸς σῶμα περιέχον αὐτό, τοῦτό [g]ἐστιν ἐν τόπῳ, ᾧ δὲ μή, οὔ. Διὸ κἂν ὕδωρ γένηται [h]τοιοῦτο, τὰ μὲν μόρια κινήσεται αὐτοῦ (περιέχεται γὰρ ὑπ' ἀλλήλων), τὸ δὲ πᾶν ἔστι μὲν ὡς κινήσεται ἔστι δ' ὡς οὔ. [i]Ὡς μὲν γὰρ ὅλον, ἅμα τὸν τόπον οὐ μεταβάλλει, κύκλῳ δὲ κινήσεται· τῶν μορίων γὰρ οὗτος ὁ τόπος· καὶ ἄνω μὲν καὶ κάτω οὔ, κύκλῳ δ' ἔνια. Τὰ δὲ καὶ [k]ἄνω καὶ κάτω,
2 ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν. Ὥσπερ [l]δ' [m]ἐλέχθη, τὰ μέν ἐστιν ἐν τόπῳ κατὰ δύναμιν, τὰ δὲ κατ' ἐνέργειαν. Διὸ ὅταν μὲν συνεχὲς ᾖ τὸ ὁμοιομερές, κατὰ δύναμιν ἐν τόπῳ τὰ μέρη, ὅταν δὲ χωρισθῇ μὲν ἅπτηται δ' ὥσπερ σωρός, κατ' ἐνέρ-
3 γειαν. Καὶ τὰ μὲν καθ' [n]αὑτά, οἷον πᾶν σῶμα ἢ κατὰ φορὰν ἢ [o]κατ' αὔξησιν κινητὸν καθ' αὑτό που, ὁ δ' οὐρανός, ὥσπερ εἴρηται, οὔ που ὅλος οὐδ' ἔν τινι τόπῳ ἐστίν, εἴ γε μηδὲν αὐτὸν περιέχει σῶμα. Ἐφ' [p]ᾧ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις· ἕτερον γὰρ ἑτέρου ἐχόμενον τῶν μορίων
4 ἐστίν. Τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ ψυχὴ καὶ ὁ οὐρανός· τὰ γὰρ μόρια ἐν τόπῳ πως πάντα· ἐπὶ [q]τῷ κύκλῳ γὰρ [r]περιέχει [s]ἄλλο ἄλλο. Διὸ κινεῖται [t]μὲν [v]κύκλῳ τὸ ἄνω, τὸ δὲ πᾶν οὔ που. Τὸ γάρ που αὐτό τ' ἐστί τι, καὶ ἔτι ἄλλο τι δεῖ εἶναι παρὰ τοῦτο ἐν ᾧ [w]ὃ περιέχει· παρὰ δὲ τὸ πᾶν

[z] κύκλω F.G.I. [a] φύσει ἐστὶ G.I. [b] ἄνω—ἔσχατον καὶ om. E. [c] τε G. [d] περιέχων F. [e] πράγματί πως ὁ G.I. [f] γὰρ—πέρατα] γὰρ τὰ πέρατα καὶ ὁ τόπος G.I. [g] ἐν τόπω ἐστίν G.I. [h] τοιοῦτον G.I. [i] ὥστε E. [k] κάτω καὶ ἄνω G.I. [l] δ' om. I. [m] ἐλέγομεν corr. E. [n] αὐτὸ F.G.I. [o] κατ' om. F.G.I. [p] ὃ E. [q] τὸ E.G.I. [r] περιέχει om. E. [s] ἄλλο ἄλλω I. [t] μὲν om. I. [v] κύκλω μόνον τὸ G.I. [w] ὃ περιέχει] περιέχεται E.

καὶ ὅλον οὐδέν ἐστιν [x] ἔξω τοῦ παντός, καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα· ὁ γὰρ οὐρανὸς τὸ πᾶν ἴσως. [y] Ἔστι δ' ὁ τόπος οὐχ ὁ οὐρανός, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος [y] πέρας ἠρεμοῦν· καὶ διὰ τοῦτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τοῦτο δ' ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ αἰθέρι, ὁ δ' αἰθὴρ ἐν τῷ οὐρανῷ, ὁ δ' οὐρανὸς οὐκέτι ἐν ἄλλῳ. Φανερὸν δ' ἐκ τούτων [z] ὅτι καὶ αἱ ἀπορίαι πᾶσαι λύοιντ' ἂν οὕτω λεγομένου τοῦ τόπου. Οὔτε γὰρ συναύξεσθαι ἀνάγκη τὸν τόπον, οὔτε στιγμῆς [a] εἶναι τόπον, [b] οὔτε δύο σώματα [c] ἐν τῷ αὐτῷ [d] τόπῳ, [e] οὔτε διάστημά τι εἶναι σωματικόν. Σῶμα γὰρ τὸ μεταξὺ τοῦ τόπου τὸ τυχόν, ἀλλ' οὐ διάστημα σώματος· καὶ ἔστιν ὁ τόπος καὶ ποῦ, οὐχ ὡς ἐν τόπῳ [f] δέ, ἀλλ' ὡς τὸ πέρας ἐν τῷ πεπερασμένῳ. Οὐ γὰρ πᾶν [g] τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα. Καὶ φέρεται δὴ εἰς τὸν αὑτοῦ τόπον ἕκαστον [h] εὐλόγως· [i] ὃ γὰρ ἐφεξῆς καὶ ἁπτόμενον μὴ βίᾳ, συγγενές· καὶ συμπεφυκότα μὲν ἀπαθῆ, ἁπτόμενα δὲ παθητικὰ καὶ ποιητικὰ ἀλλήλων. Καὶ μένει δὴ φύσει πᾶν ἐν τῷ οἰκείῳ τόπῳ [k] ἕκαστον [l] οὐκ ἀλόγως· καὶ γὰρ τὸ μέρος τόδε ἐν [m] ὅλῳ τῷ τόπῳ ὡς διαιρετὸν μέρος πρὸς ὅλον ἐστίν, οἷον [n] ὅταν ὕδατος [o] κινήσῃ τις μόριον ἢ ἀέρος. Οὕτω δὲ [p] καὶ ἀὴρ ἔχει πρὸς ὕδωρ· οἷον ὕλη [q] γάρ, τὸ δὲ εἶδος, τὸ μὲν ὕδωρ [r] ὕλη ἀέρος, ὁ δ' ἀὴρ [s] οἷον ἐνέργειά τις ἐκείνου· τὸ [t] γὰρ ὕδωρ δυνάμει [v] ἀήρ ἐστιν, ὁ δ' ἀὴρ δυνάμει ὕδωρ ἄλλον τρόπον. Διοριστέον δὲ περὶ τούτων ὕστερον· ἀλλὰ διὰ τὸν καιρὸν ἀνάγκη μὲν εἰπεῖν, ἀσαφῶς δὲ νῦν [w] ῥηθὲν τότ' ἔσται σαφέστερον. Εἰ οὖν τὸ αὐτὸ ἡ ὕλη [x] καὶ ἡ ἐντελέχεια (ὕδωρ γὰρ ἄμφω, ἀλλὰ τὸ

[x] ἔξωθεν F.G.I. [y] πέρας ἠρεμοῦν om. E. [z] ὅτι om. F. [a] εἶναι τὸν τόπον I. [b] οὐδὲ G.I. [c] ἐν] ἐστιν ἐν E. [d] τόπῳ om. F. [e] οὐδὲ G.I. [f] δέ om. F. [g] τὸ ὂν om. E, post ἐν τόπῳ ponit F. [h] εὐλόγως om E. [i] ᾧ E.G. [k] ἕκαστον om. F.G, post πᾶν ponit E. [l] οὐκ ἀλόγως] εὐλόγως I. οὐκ—τόπῳ om. G. [m] ὅλῳ om. E, post τῷ ponit I. [n] ὅταν] εἰ I. [o] κινήσῃ τι F, τις κινήσῃ G, τις κινήσει I. [p] καὶ ὁ ἀὴρ F.G.I. [q] γὰρ—ὕλη om. E. [r] ἀέρος ὕλη F. [s] οἷον om. E. [t] γὰρ] δὲ I. [v] ἐστὶν ἀὴρ G.I. [w] λεχθὲν G.I. [x] καὶ ἐντελέχεια ἔχει ὕδ. E.

μὲν δυνάμει τὸ δ' ἐντελεχείᾳ), ἔχοι ἂν ὡς μόριόν πως πρὸς ὅλον. Διὸ καὶ τούτοις ἁφή ἐστιν· σύμφυσις [y] δέ, ὅταν ἄμφω ἐνεργείᾳ ἓν [z] γένωνται. Καὶ περὶ [a] μὲν τόπου, καὶ ὅτι ἔστι καὶ τί ἐστιν, εἴρηται.

6 Τὸν αὐτὸν δὲ τρόπον ὑπολητέον εἶναι τοῦ φυσικοῦ θεωρῆσαι καὶ περὶ κενοῦ, εἰ ἔστιν [b] ἢ μή, καὶ πῶς ἐστὶν ἢ τί ἐστιν, ὥσπερ καὶ περὶ τόπου· καὶ [c] γὰρ παραπλησίαν ἔχει [d] τήν τε ἀπιστίαν καὶ τὴν πίστιν διὰ τῶν ὑπολαμβανομένων· οἷον γὰρ [e] τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες, δοκεῖ [f] δὲ πλῆρες μὲν εἶναι, ὅταν ἔχῃ τὸν ὄγκον οὗ δεκτικόν ἐστιν, ὅταν δὲ στερηθῇ, κενόν, [g] ὡς τὸ αὐτὸ μὲν ὂν [h] κενὸν καὶ πλῆρες καὶ τόπον, τὸ δ' εἶναι αὐτοῖς οὐ [i] ταὐτὸ
2 ὄν. [j]Ἀρξασθαι δὲ δεῖ [k] τῆς σκέψεως [l] λαβοῦσιν ἃ τε λέγουσιν οἱ φάσκοντες εἶναι καὶ πάλιν ἃ λέγουσιν οἱ μὴ [m] φάσκον-
3 τες, καὶ τρίτον τὰς κοινὰς [n] περὶ αὐτῶν δόξας. Οἱ μὲν οὖν δεικνύναι πειρώμενοι ὅτι οὐκ ἔστιν, οὐχ ὃ βούλονται λέγειν οἱ ἄνθρωποι κενόν, τοῦτ' ἐξελέγχουσιν, ἀλλ' [o] ἁμαρτάνοντες λέγουσιν, ὥσπερ [p]Ἀναξαγόρας καὶ οἱ τοῦτον τὸν τρόπον ἐλέγχοντες. [q]Ἐπιδεικνύουσι γὰρ ὅτι ἔστι τι ὁ ἀήρ, στρεβλοῦντες τοὺς ἀσκοὺς καὶ [r] δεικνύντες ὡς ἰσχυρὸς ὁ ἀήρ, καὶ
4 ἐναπολαμβάνοντες ἐν ταῖς κλεψύδραις. Οἱ δ' ἄνθρωποι [s] βούλονται κενὸν εἶναι διάστημα ἐν ᾧ [t] μηδέν ἐστι σῶμα αἰσθητόν· οἰόμενοι δὲ τὸ [u] ὂν ἅπαν εἶναι σῶμα φασίν, ἐν ᾧ ὅλως μηδέν ἐστι, τοῦτ' εἶναι κενόν, [v] διὸ τὸ πλῆρες ἀέρος κενόν
5 εἶναι. Οὔκουν τοῦτο [w] δεῖ δεικνύναι, ὅτι ἔστι τι ὁ ἀήρ, ἀλλ' ὅτι οὐκ ἔστι διάστημα ἕτερον τῶν σωμάτων, οὔτε χωριστὸν οὔτε ἐνεργείᾳ ὄν, ὃ διαλαμβάνει τὸ πᾶν σῶμα ὥστ' εἶναι μὴ συνεχές, καθάπερ λέγουσι Δημόκριτος καὶ Λεύκιππος καὶ

[y] δέ ἐστιν ὅταν E. [z] γένηται F. [a] μὲν τοῦ τόπου F. [b] ἢ μή, καὶ πῶς ἐστίν om. E. [c] γὰρ om. E. [d] τήν τε ἀπιστίαν καὶ om. F, τε om. E. [e] τινα τόπον F. [f] δ' εἶναι πλῆρες μὲν G.I. [g] ὡς om. E. [h] κενὸν om. F. [i] ταὐτόν. [j]Ἀρξασθαι I. [k] τῆς om. F. [l] λαβούσης G. [m] φάσκοντες εἶναι καὶ F.G.I. [n] δόξας περὶ αὐτῶν F.G.I. [o] ἁμαρτάνουσι λέγοντες F. [p] δεικνύοντες F.I. [q] βούλονται λέγειν κενὸν E. [r] μηδέν τί ἐστι F. [s] ἅπαν ὂν I. [t] διὸ τὸ] διότι E. [v] δεικνύναι δεῖ F.

ἕτεροι πολλοὶ τῶν φυσιολόγων, ἢ καὶ εἴ [w]τι ἔξω τοῦ παντὸς σώματός ἐστιν ὄντος συνεχοῦς. Οὗτοι μὲν οὖν οὐ κατὰ θύρας πρὸς τὸ πρόβλημα ἀπαντῶσιν, ἀλλ' οἱ φάσκοντες εἶναι μᾶλλον. Λέγουσι δ' ἓν μὲν [x] ὅτι κίνησις ἡ κατὰ τόπον οὐκ ἂν 6
εἴη (αὕτη δ' ἐστὶ φορὰ καὶ αὔξησις)· οὐ γὰρ ἂν [y] δοκεῖν εἶναι κίνησιν, εἰ μὴ [z] εἴη κενόν· τὸ γὰρ πλῆρες ἀδύνατον εἶναι δέξασθαί [a] τι. Εἰ δὲ [b] δέξεται καὶ [c] ἔσται δύο ἐν [d] ταὐτῷ, ἐνδέχοιτ' ἂν καὶ ὁποσαοῦν [e] εἶναι ἅμα σώματα· τὴν γὰρ διαφοράν, δι' ἣν οὐκ ἂν εἴη τὸ λεχθέν, οὐκ ἔστιν εἰπεῖν. Εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ τὸ [f] μικρότατον δέξεται τὸ μέγιστον· πολλὰ γὰρ μικρά [g] ἐστι τὸ μέγα· ὥστ' εἰ πολλὰ ἴσα ἐνδέχεται ἐν ταὐτῷ εἶναι, καὶ πολλὰ ἄνισα. Μέλισσος μὲν οὖν 7
καὶ δείκνυσιν ὅτι τὸ πᾶν ἀκίνητον ἐκ τούτων· εἰ γὰρ κινήσεται, ἀνάγκη εἶναι (φησί) κενόν, τὸ δὲ κενὸν οὐ τῶν ὄντων. [v]Ενα μὲν οὖν τρόπον [h] ἐκ τούτων δεικνύουσιν ὅτι ἔστι τι κενόν, ἄλλον δ' ὅτι [i] φαίνεται ἔνια συνιόντα καὶ πιλούμενα, οἷον καὶ τὸν οἶνόν φασι [k] δέχεσθαι μετὰ τῶν ἀσκῶν τοὺς πίθους, ὡς εἰς τὰ ἐνόντα κενὰ συνιόντος τοῦ πυκνουμένου σώματος. [4]Ετι 8
δὲ καὶ ἡ αὔξησις δοκεῖ [l] πᾶσι γίγνεσθαι διὰ κενοῦ· τὴν μὲν γὰρ τροφὴν [m] σῶμα εἶναι, δύο δὲ σώματα ἀδύνατον ἅμα εἶναι. Μαρτύριον δὲ καὶ τὸ περὶ τῆς τέφρας ποιοῦνται, ἢ δέχεται [n] ἴσον ὕδωρ ὅσον τὸ ἀγγεῖον τὸ κενόν. Εἶναι δ' ἔφασαν καὶ 9
οἱ Πυθαγόρειοι κενόν, καὶ ἐπεισιέναι [o] αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος [p] ὡς ἀναπνέοντι καὶ τὸ κενόν, ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινὸς τῶν ἐφεξῆς καὶ τῆς διορίσεως· καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν [q] διορίζειν τὴν φύσιν αὐτῶν. [4]Εξ ὧν [r] μὲν οὖν

[w] τι τῶν ἔξω E. [x] ὅτι] ὅτι ἡ F. [y] δοκοίη εἶναι κίνησις F.G.I. [z] ἢ F. [a] τι om. F.G.I. [b] δέξαιτο F.G.I. [c] ἐστι G.I. [d] τῷ αὐτῷ G.I. [e] ἅμα εἶναι F.G.I. [f] σμικρότατον δέξασθαι F. [g] τὸ μέγα ἐστίν F.G.I. [h] ἐκ τούτων om. F. [i] φαίνονται G.I. [k] μετὰ τῶν ἀσκῶν δέχεσθαι F.G.I. [l] γίγνεσθαι πᾶσι F.G. [m] εἶναι σῶμα F.G.I. [n] ἴσον om. F. [o] αὐτῷ G. [p] ὡς ἂν ἀναπνέοντι F.G.I. [q] διορίζει F. [r] μὲν post ὧν om. F.

οἱ μέν φασιν εἶναι οἱ δ' οὔ [s] φασι, [t] σχεδὸν [v] τοιαῦτα καὶ τοσαυτά [w] ἐστιν.

7 Πρὸς δὲ τὸ ποτέρως ἔχει δεῖ λαβεῖν τί σημαίνει τοὔνομα. Δοκεῖ δὴ τὸ κενὸν τόπος [x] εἶναι ἐν ᾧ μηδέν ἐστιν. Τούτου δ' αἴτιον ὅτι τὸ ὂν σῶμα οἴονται εἶναι, πᾶν δὲ σῶμα ἐν τόπῳ, κενὸν δ' ἐν ᾧ τόπῳ μηδέν [y] ἐστι σῶμα, ὥστ' εἴ που μή ἐστι σῶμα, [z] κενὸν εἶναι ἐνταῦθα. Σῶμα δὲ πάλιν ἅπαν [a] οἴονται εἶναι ἁπτόν· [b] τοιοῦτο δὲ ὃ [c] ἂν ἔχῃ βάρος ἢ κουφότητα. Συμβαίνει οὖν ἐκ συλλογισμοῦ τοῦτο εἶναι κενόν, ἐν ᾧ μηδέν ἐστι [d] βαρὺ ἢ κοῦφον. Ταῦτα μὲν οὖν, ὥσπερ εἴπομεν καὶ πρότερον, ἐκ συλλογισμοῦ συμβαίνει. [u] Ἄτοπον δὲ εἰ ἡ στιγμὴ κενόν· δεῖ γὰρ τόπον εἶναι, ἐν [e] ᾧ σώματός ἐστι διά-
2 στημα ἁπτοῦ. [f] Ἀλλ' οὖν φαίνεται λέγεσθαι τὸ κενὸν ἕνα μὲν τρόπον τὸ μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν· [f] αἰσθητὸν δ' ἐστὶ κατὰ τὴν ἁφὴν τὸ βάρος ἔχον καὶ κουφότητα. Διὸ κἂν ἀπορήσειέ τις, τί ἂν φαῖεν, εἰ ἔχοι τὸ διάστημα χρῶμα ἢ ψόφον, πότερον κενὸν ἢ οὔ; [u] Ἢ δῆλον ὅτι
3 εἰ μὲν δέχοιτο σῶμα ἁπτόν, κενόν [g] εἶναι, εἰ δὲ μή, οὔ. [f] Ἄλλον δὲ τρόπον, ἐν ᾧ [h] μὴ τόδε [i] τι μηδ' οὐσία τις σωματική. Διὸ φασί [k] τινες εἶναι τὸ κενὸν τὴν [l] τοῦ σώματος ὕλην, οἵπερ καὶ τὸν τόπον, τὸ αὐτὸ τοῦτο λέγοντες [m] οὐ καλῶς· ἡ μὲν γὰρ ὕλη οὐ χωριστὴ τῶν [n] πραγμάτων, τὸ δὲ κενὸν ζητοῦσιν
4 [o] ὡς χωριστόν. [f] Ἐπεὶ [p] δὲ περὶ [q] τόπου διώρισται, καὶ τὸ κενὸν [r] ἀνάγκη τόπον εἶναι εἰ ἔστιν ἐστερημένον σώματος, τόπος δὲ καὶ πῶς [s] ἔστι καὶ πῶς οὐκ ἔστιν εἴρηται, φανερὸν ὅτι οὕτω μὲν κενὸν οὐκ ἔστιν, οὔτε [t] ἀχώριστον οὔτε κεχω-

[s] φασι om. I. [t] σχεδὸν—οἴονται εἶναι supra lituram rc. E. [v] τοιαῦτά τε καὶ τοσαῦτα rc. E, τοσαῦτα καὶ τοιαῦτα G.I. [w] ἐστι om. rc. E. [x] εἶναι om. F. [y] ἐστι om. G. [z] κενὸν] οὐδὲν E.G.I. [a] οἷον τε E.G. [b] τοιοῦτον F.G.I. [c] ἐὰν E. [d] βαρύ τι ἢ F.G.I. [e] ᾧ] ὦ τόπω G.I. [f] αἰσθητὸν—ἁφὴν om. E. [g] εἶναι om. E. [h] μὴ] μηδὲν E. [i] τι] ἐστὶ I. [k] εἶναί τινες F. [l] τῶν σωμάτων F. [m] οὐ] ὡς E. [n] σωμάτων F. [o] ὡς χωριστὸν om. E. [p] δὲ καὶ περὶ F. [q] τόπον G, τοῦ τόπου I. [r] τόπον ἀνάγκη εἶναι G.I, τόπον εἶναι ἀνάγκη F. [s] ἔστι καὶ πῶς om. E, πῶς om. F. [t] κεχωρισμένον οὔτε ἀχώριστον F.G.I.

ρισμένον· τὸ γὰρ κενὸν οὐ σῶμα ἀλλὰ σώματος διάστημα [v]βούλεται εἶναι. Διὸ καὶ τὸ κενὸν δοκεῖ τι εἶναι, ὅτι καὶ ὁ τόπος, καὶ διὰ [w]ταὐτά. [x][v]Ηκει γὰρ δὴ ἡ κίνησις ἡ κατὰ τόπον καὶ τοῖς [y]τὸν τόπον φάσκουσιν εἶναί τι παρὰ τὰ σώματα [z]τὰ ἐμπίπτοντα καὶ τοῖς τὸ κενόν. Αἴτιον δὲ κινήσεως οἴονται [a]εἶναι τὸ κενὸν οὕτως ὡς ἐν ᾧ κινεῖται· τοῦτο δ' ἂν εἴη οἷον τὸν τόπον φασί τινες εἶναι. Οὐδεμία δ' ἀνάγκη, [b]εἰ [c]κίνησις ἔστι, [d]εἶναι κενόν. [v]Ολως μὲν οὖν [e]πάσης κινήσεως οὐδαμῶς, διὸ καὶ Μέλισσον ἔλαθεν· ἀλλοιοῦσθαι γὰρ [f]τὸ πλῆρες ἐνδέχεται. [t]Αλλὰ δὴ οὐδὲ τὴν κατὰ τόπον κίνησιν· 6
ἅμα γὰρ [g]ἐνδέχεται ὑπεξιέναι ἀλλήλοις, οὐδενὸς ὄντος διαστήματος [h]χωριστοῦ παρὰ τὰ σώματα [i]τὰ κινούμενα. Καὶ τοῦτο δῆλον καὶ ἐν ταῖς τῶν συνεχῶν δίναις, ὥσπερ καὶ ἐν ταῖς τῶν ὑγρῶν. [t]Ενδέχεται δὲ καὶ πυκνοῦσθαι μὴ εἰς τὸ κενὸν ἀλλὰ διὰ τὸ τὰ ἐνόντα ἐκπυρηνίζειν, οἷον ὕδατος συνθλιβομένου τὸν ἐνόντα ἀέρα, καὶ αὐξάνεσθαι οὐ μόνον εἰσιόντος τινὸς ἀλλὰ καὶ ἀλλοιώσει, οἷον εἰ ἐξ ὕδατος [k]γίνοιτο ἀήρ. [v]Ολως δὲ ὅ τε περὶ τῆς αὐξήσεως λόγος καὶ τοῦ εἰς 7
τὴν τέφραν ἐγχεομένου ὕδατος αὐτὸς [l]αὑτὸν ἐμποδίζει. [m]Η γὰρ οὐκ αὐξάνεται ὁτιοῦν, ἢ οὐ σώματι, [m]ἢ ἐνδέχεται δύο σώματα ἐν [n]ταὐτῷ εἶναι. [t]Απορίαν οὖν [o]κοινὴν ἀξιοῦσι λύειν, ἀλλ' οὐ κενὸν δεικνύουσιν ὡς ἔστιν. [m]Η πᾶν εἶναι [p]ἀναγκαῖον τὸ σῶμα κενόν, εἰ πάντῃ αὐξάνεται καὶ αὐξάνεται διὰ κενοῦ. [t]Ο δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς τέφρας. [q][v]Οτι μὲν οὖν ἐξ ὧν δεικνύουσιν [r]εἶναι τὸ κενὸν λύειν ῥᾴδιον, φανερόν.

[v]Οτι δ' οὐκ ἔστι κενὸν οὕτω κεχωρισμένον, ὡς ἔνιοί φασι, 8
[s]λέγωμεν πάλιν. Εἰ γάρ ἐστιν ἑκάστου φορά τις τῶν

[v] βούλονται G.I. [w] τὰ αὐτὰ F.I. [x] ἥκει et δὴ ἡ corr. E. [y] τὸν om. E. [z] τὰ post σ. om. E. [a] τὸ κενὸν εἶναι F. [b] εἰ] εἶναι εἰ I. [c] ἔσται κίνησις F. [d] εἶναι καὶ κενόν G. [e] κινήσεως οὐδαμῶς ἁπάσης G. et ἁπάσης etiam F.I. [f] ἐνδέχεται τὸ πλῆρες F.G.I. [g] ὑπεξ. ἀλλ. ἐνδέχεται F.G.I. [h] χωρὶς τοῦ E.G.I. [i] τὰ om. E. [k] γένοιτο F. [l] ἑαυτὸν I. [m] ἢ om. F. [n] τῷ αὐτῷ F.G.I. [o] ἀξιοῦσι κοινὴν F.G.I. [p] τὸ σῶμα ἀναγκαῖον F.G.I. [q] ὅτι] οὕτω G. [r] τὸ κενὸν εἶναι F.G.I. [s] λέγομεν G.I.

ἁπλῶν σωμάτων φύσει, οἷον τῷ πυρὶ μὲν ἄνω τῇ δὲ γῇ κάτω καὶ πρὸς τὸ μέσον, δῆλον ὅτι οὐκ ἂν τὸ κενὸν [t]αἴτιον εἴη [v]τῆς φορᾶς. Τίνος οὖν αἴτιον [w]ἔσται τὸ κενόν; Δοκεῖ γὰρ αἴτιον εἶναι κινήσεως τῆς κατὰ τόπον, ταύτης δ' οὐκ [x]ἔστιν. [1]Ἔτι εἰ ἔστι τι οἷον τόπος [y]ἐστερημένος σώματος, ὅταν ᾖ κενόν, ποῦ οἰσθήσεται τὸ [z]εἰστεθὲν εἰς αὐτὸ σῶμα; οὐ γὰρ δὴ εἰς ἄπαν. [2]Ὁ δ' αὐτὸς λόγος καὶ πρὸς τοὺς [a]τὸν τόπον [b]οἰομένους εἶναί τι κεχωρισμένον, εἰς [c]ὃν [d]φέρεται· πῶς [e]γὰρ οἰσθήσεται τὸ [f]ἐντεθὲν ἢ μενεῖ; Καὶ περὶ τοῦ ἄνω καὶ κάτω καὶ περὶ τοῦ κενοῦ ὁ αὐτὸς [g]ἁρμόσει λόγος εἰκότως· τὸ γὰρ κενὸν τόπον ποιοῦσιν οἱ εἶναι φάσκοντες· καὶ πῶς [h]δὴ [i]ἐνέσται ἢ ἐν τῷ τόπῳ ἢ ἐν τῷ κενῷ; Οὐ γὰρ συμβαίνει, [k]ὅταν ὅλον τεθῇ [l]ὡς ἐν κεχωρισμένῳ [m]τόπῳ καὶ ὑπομένοντι σώματι· τὸ γὰρ μέρος [n]ἂν μὴ χωρὶς τιθῆται, οὐκ ἔσται [o]ἐν τόπῳ ἀλλ' ἐν τῷ ὅλῳ. [1]Ἔτι εἰ [p]μὴ τόπος, [q]οὐδὲ κενὸν [3]ἔσται. Συμβαίνει δὲ τοῖς λέγουσιν εἶναι κενὸν ὡς ἀναγκαῖον, εἴπερ ἔσται κίνησις, τοὐναντίον μᾶλλον, [r]ἄν τις ἐπισκοπῇ, μὴ ἐνδέχεσθαι [s]μηδὲ ἓν κινεῖσθαι, ἐὰν ᾖ κενόν· ὥσπερ γὰρ οἱ διὰ τὸ ὅμοιον φάμενοι τὴν γῆν ἠρεμεῖν, οὕτως καὶ ἐν τῷ κενῷ ἀνάγκη ἠρεμεῖν· οὐ γὰρ ἔστιν [t]οὗ μᾶλλον [v]ἢ ἧττον κινηθή-[4]σεται· ᾗ γὰρ κενόν, [w]οὐκ ἔχει διαφοράν. [z]Πρῶτον μὲν οὖν, [a]ὅτι πᾶσα [b]κίνησις ἢ [c]βίᾳ ἢ κατὰ φύσιν. [1]Ἀνάγκη δ' ἄν περ ᾖ βίαιος, εἶναι καὶ [d]τὴν κατὰ φύσιν· [e]ἡ μὲν γὰρ βίαιος παρὰ φύσιν [f]ἐστίν, ἡ δὲ παρὰ φύσιν ὑστέρα τῆς κατὰ φύσιν. [v]Ὥστ' εἰ μὴ κατὰ φύσιν ἐστὶν [g]ἑκάστῳ τῶν φυσικῶν

[t] εἴη αἴτιον F.G.I. [v] τῆς om. E. [w] ἔσται κινήσεως τὸ I. [x] ἔστιν αἴτιον. Ἔτι F. [y] ἐστερημένον G.I. [z] ἐντεθὲν F.I. [a] τὸν τόπον] τόπους G. [b] εἶναί τι οἰομένους F.G.I. [c] ὃ I. [d] φέρεται τὸ φερόμενον. Πῶς F. [e] γὰρ om. E. [f] τεθὲν F.G.I. [g] ἁρμόσει ante ὁ G.I, post λόγος F. [h] δὴ om. E. [i] ἐν ἔσται G. [k] ὅταν ὅλον τεθῇ om. F. [l] ὡς om. E. [m] τόπῳ ὅταν ὅλον τεθῇ καὶ pr. F. [n] ἐὰν F.G.I. [o] ἐν τῷ τόπῳ F.G.I. [p] μηδὲ F.G.I. [q] οὐδὲν G.I. [r] ἐάν I. [s] κινεῖσθαι μηδὲν F.G.I. [t] οὗ om. G. [v] ἢ] καὶ E.G.I. [w] οὐκ om. pr. G. [z] Πρῶτον μὲν οὖν] ἔπειθ' E.I. [a] ὅτι] ὅτε ἡ E. [b] κίνησις πρῶτον μὲν ὅτι πᾶσα κείνησις ἢ E. [c] βία κινηθήσεται ἢ pr. F. [d] τὴν om. F. [e] ἡ μὲν γ. β. π. φ. om. G. [f] ἐστίν om. F.G.I. [g] ἑκάστῳ post σωμάτων F.

σωμάτων κίνησις, οὐδὲ τῶν ἄλλων [h]ἔσται κινήσεων οὐδεμία. [i]Αλλα μὴν φύσει γε πῶς ἔσται μηδεμιᾶς οὔσης διαφορᾶς 5
κατὰ τὸ κενὸν [i]καὶ τὸ ἄπειρον; [j]Ἡι μὲν [k]γὰρ ἄπειρον, οὐδὲν
ἔσται [l]ἄνω οὐδὲ κάτω οὐδὲ μέσον, ᾗ δὲ κενόν, οὐδὲν [m]διαφέ-
ρει [n]τὸ [o]ἄνω τοῦ κάτω· ὥσπερ γὰρ τοῦ μηδενὸς οὐδεμία
[p]ἐστὶ διαφορά, οὕτως καὶ τοῦ [q]μὴ ὄντος. Τὸ [r]δὲ κενὸν μὴ
ὄν τι [s]καὶ στέρησις δοκεῖ εἶναι, ἡ δὲ φύσει φορὰ διάφορος.
[u]Ωστ' ἔσται [t]τὰ φύσει διάφορα. [v]Η οὖν οὐκ [v]ἔστι φύσει
οὐδαμοῦ [x]οὐδενὶ φορά, ἢ εἰ τοῦτ' ἔστιν, οὐκ ἔστι κενόν.
[y]Ετι νῦν μὲν κινεῖται [y]τὰ ῥιπτούμενα τοῦ ὥσαντος [z]οὐχ 6
ἁπτομένου, ἢ δι' ἀντιπερίστασιν, ὥσπερ ἔνιοί φασιν, ἢ διὰ τὸ
ὠθεῖν τὸν ὠσθέντα ἀέρα θάττω κίνησιν τῆς τοῦ ὠσθέντος
φορᾶς, ἣν φέρεται εἰς τὸν οἰκεῖον τόπον. [a]Εν δὲ τῷ κενῷ
οὐδὲν τούτων [a]ἐνδέχεται ὑπάρχειν, οὐδ' [b]ἔσται φέρεσθαι
ἀλλ' ἢ ὡς τὸ ὀχούμενον. [c]Ετι οὐδεὶς ἂν ἔχοι εἰπεῖν διὰ τί 7
κινηθὲν στήσεταί που· τί γὰρ μᾶλλον ἐνταῦθα ἢ ἐνταῦθα;
[d]Ωστ' ἢ ἠρεμήσει ἢ εἰς ἄπειρον ἀνάγκη φέρεσθαι, ἐὰν μή τι
ἐμποδίσῃ κρεῖττον. [e]Ετι νῦν μὲν εἰς τὸ κενὸν διὰ τὸ ὑπεί-
κειν φέρεσθαι δοκεῖ· ἐν δὲ τῷ κενῷ [f]πάντῃ ὁμοίως τὸ τοιοῦ-
τον, ὥστε [g]πάντῃ οἰσθήσεται. [h]Ετι [i]δὲ καὶ ἐκ τῶνδε φανε-
ρὸν τὸ λεγόμενον. [j]Ορῶμεν γὰρ τὸ αὐτὸ [k]βάρος καὶ σῶμα 8
θᾶττον φερόμενον διὰ δύο αἰτίας, ἢ [l]τῷ [m]διαφέρειν τὸ δι'
οὗ, οἷον δι' ὕδατος ἢ γῆς [n]ἢ ἀέρος, ἢ [o]τῷ διαφέρειν τὸ φερό-
μενον, [p]ἐὰν τἆλλα ταὐτὰ ὑπάρχῃ, διὰ τὴν ὑπεροχὴν τοῦ
βάρους [q]ἢ τῆς κουφότητος. Τὸ μὲν [r]οὖν δι' οὗ φέρεται
αἴτιον, ὅτι ἐμποδίζει μάλιστα μὲν ἀντιφερόμενον, [s]ἔπειτα

[h] κινήσεων ἔσται E. [i] τὸ post καὶ om. E. [k] γὰρ hinc antiqua manus codicis H. [l] κάτω οὐδὲ ἄνω F.G.H.I. [m] διάφορον G.H.I, διαφέρον E. [n] τὸ] τὰ E. [o] κάτω τοῦ ἄνω F.G.H.I. [p] ἔσται F.H.I, om. E. [q] μὴ ὄντος] κενοῦ H. [r] δὲ] γὰρ H. [s] καὶ ἡ στέρησις E. [t] τὰ om. E. [v] ἔσται I. [x] φορὰ οὐδενὶ F. [y] τὰ ῥιπτούμενα om. E. [z] μὴ E. [a] ἐνδ. ὑπ.] ὑπάρχει E. [b] ἔστι F.H. [c] ἔτι δέ νῦν F.G.I. [d] παντὶ E. [e] πάντη ὁμοίως οἰσθ. I. [f] δὲ om. E.G. [g] βάρος καὶ om. I. [h] τὸ E.H. [i] διαφέροντι G. [k] ἢ δι' ἀέρος E. [l] τὸ G.H. [m] ἂν F.G.H I. [n] ἢ om. E. [o] οὖν om. F. [p] ἔπειτα δὲ καὶ F.G.H.I.

καὶ μένον· μᾶλλον δὲ τὸ μὴ εὐδιαίρετον· [q] τοιοῦτο [r] δὲ τὸ
9 παχύτερον. Τὸ δὴ ἐφ' οὗ A οἰσθήσεται διὰ τοῦ B τὸν ἐφ'
[s] ᾧ Γ χρόνον, διὰ δὲ τοῦ Δ [t] λεπτομεροῦς ὄντος [v] τὸν ἐφ' ᾧ
E, [w] εἰ ἴσον τὸ μῆκος [x] τὸ τοῦ B [y] τῷ Δ, κατὰ τὴν ἀναλο-
γίαν τοῦ ἐμποδίζοντος σώματος. [z a'] Ἐστω γὰρ τὸ [a] μὲν
[b] B ὕδωρ, τὸ δὲ Δ ἀήρ· ὅσῳ δὴ λεπτότερον ἀὴρ ὕδατος καὶ
ἀσωματώτερον, τοσούτῳ θᾶττον τὸ A διὰ τοῦ Δ οἰσθήσε-
10 ται ἢ διὰ τοῦ B. [1] Ἐχέτω δὴ τὸν αὐτὸν λόγον ὄνπερ [c] δι-
έστηκεν ἀὴρ [d] πρὸς ὕδωρ, τὸ [e] τάχος πρὸς τὸ τάχος. [v] Ὥστ'
εἰ διπλασίως λεπτόν, ἐν διπλασίῳ [f] χρόνῳ τὴν τὸ B δίεισιν ἢ
τὴν τὸ Δ, καὶ ἔσται [g] ὁ ἐφ' [h] ᾧ Γ χρόνος [i] διπλάσιος τοῦ
ἐφ' ᾧ E. Καὶ ἀεὶ [k] δὴ [l] ὅσῳ ἂν [m] ᾖ ἀσωματώτερον καὶ ἧττον
ἐμποδιστικὸν καὶ [n] εὐδιαιρετώτερον δι' οὗ φέρεται, θᾶττον
11 οἰσθήσεται. Τὸ δὲ κενὸν οὐδένα ἔχει λόγον ᾧ ὑπερέχεται
ὑπὸ τοῦ σώματος, ὥσπερ οὐδὲ τὸ μηδὲν [o] πρὸς ἀριθμόν. Εἰ
γὰρ τὰ τέτταρα τῶν τριῶν ὑπερέχει ἑνί, [p] πλείονι [q] δὲ τοῖν
δυοῖν, καὶ ἔτι [r] πλείονι τοῦ ἑνὸς ἢ τοῖν δυοῖν, τοῦ [s] δὲ μηδενὸς
οὐκέτι ἔχει λόγον ᾧ ὑπερέχει· ἀνάγκη γὰρ [t] τὸ ὑπερέχον
διαιρεῖσθαι εἴς τε τὴν ὑπεροχὴν [v] καὶ τὸ [w] ὑπερεχόμενον, ὥστε
ἔσται τὰ [x] τέτταρα ὅσῳ τε ὑπερέχει καὶ οὐδέν. Διὸ οὐδὲ
γραμμὴ στιγμῆς ὑπερέχει, [y] εἰ μὴ σύγκειται ἐκ στιγμῶν.
12 [1] Ὁμοίως δὲ καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδένα οἷόν τε ἔχειν
λόγον, ὥστ' οὐδὲ τὴν κίνησιν, ἀλλ' εἰ διὰ τοῦ λεπτοτάτου ἐν
τοσῳδὶ τὴν τοσήνδε φέρεται διὰ τοῦ κενοῦ, παντὸς ὑπερβάλ-
λει λόγου. [z a'] Ἐστω γὰρ τὸ Z κενόν, ἴσον [a] δὲ [b] τῷ μεγέθει
τοῖς B καὶ Δ. Τὸ δὴ A εἰ δίεισι καὶ κινηθήσεται ἐν τινὶ

[q] τοιοῦτον F.G.H.I. [r] δὴ I. [s] οὗ H.I. [t] λεπτοτέρου E. [v] τὸν —εἰ om. F.G. et corr. E. [w] εἰ] εἰς G.H. et corr. E, om. F. [x] τὸ τοῦ] τῶν E. [y] τῷ τοῦ δ' H. [z] ἔστω μὲν γὰρ F.H.I. [a] μὲν om. F. [b] B τὸ ὕδωρ H. [c] δ. ὁ ἀὴρ F.H. [d] πρὸς τὸ ὕδωρ H. [e] τάχος] τέλος G. [f] χρόνῳ om. H. [g] ὁ om. E. [h] οὗ H. [i] διπλάσιον F, διπλασίων H. [k] δὴ om. F. [l] ὅσον H. [m] ἀσωματώτερον ᾖ E. [n] ἀδιαιρετώτερον I. [o] πρὸς τὸν ἀριθμόν G.H. [p] πλεῖον G. [q] δὲ om. E. [r] τοῦ ἑνὸς πλείονι F G.H.I. [s] δὲ om. I. [t] διαιρεῖσθαι τὸ ὑπερέχον F.G.H.I. [v] καὶ εἰς τὸ F.G.I. [w] περιεχόμενον G. [x] τέσσαρα E. [y] ἐπεὶ I. [z] ἔστω] τὸ E. [a] δὲ καὶ τῷ G. [b] τῷ μεγέθει om. E.

[c] μὲν χρόνῳ, τῷ ἐφ' οὗ H, ἐν ἐλάττονι δὲ ἢ [d] τῷ [e] ἐφ' [f] οὗ [g] E, τοῦτον ἕξει τὸν λόγον [h] τὸ κενὸν πρὸς τὸ πλῆρες. [i] Ἀλλ' ἐν τοσούτῳ χρόνῳ ὅσος [i] ἐφ' οὗ τὸ H, τοῦ Δ τὸ A δίεισι τὴν τὸ Θ. Δίεισι δέ [k] γε, κἂν [l] ᾖ τι λεπτότητι διαφέρον τοῦ 13
ἀέρος ἐφ' ᾧ τὸ Z, [m] ταύτην τὴν ἀναλογίαν ἣν ἔχει ὁ χρόνος ἐφ' [n] ᾧ E πρὸς [o] τὸν ἐφ' [p] ᾧ H. [q] Αν γὰρ ᾖ τοσούτῳ λεπτότερον τὸ ἐφ' ᾧ Z σῶμα [r] τοῦ Δ, ὅσῳ ὑπερέχει τὸ E τοῦ H, ἀντεστραμμένως δίεισι τῷ τάχει ἐν [s] τῷ τοσούτῳ, [t] ὅσον τὸ H, [v] τὴν τὸ Z τὸ ἐφ' οὗ A, ἐὰν φέρηται. [i] Ἐὰν τοίνυν μηδὲν ᾖ σῶμα ἐν τῷ Z, ἔτι θᾶττον. [i] Ἀλλ' [w] ἦν ἐν τῷ H. [v] Ὥστ' ἐν ἴσῳ χρόνῳ δίεισι πλῆρές τε ὂν καὶ κενόν. [i] Ἀλλ' ἀδύνατον. Φανερὸν [x] τοίνυν ὅτι, εἰ [y] ἔστι [z] τις χρόνος ἐν ᾧ 14
τοῦ κενοῦ ὁτιοῦν [a] οἰσθήσεται, συμβήσεται τοῦτο [b] τὸ ἀδύνατον· ἐν ἴσῳ γὰρ ληφθήσεται πλῆρές τε [c] ὂν διεξιέναι τι καὶ κενόν· ἔσται γάρ τι ἀνάλογον σῶμα ἕτερον [d] πρὸς ἕτερον [e] ὡς χρόνος πρὸς χρόνον. [i] Ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, δῆλον τὸ τοῦ συμβαίνοντος [f] αἴτιον, ὅτι κινήσεως μὲν πρὸς κίνησιν πάσης ἐστὶ λόγος (ἐν χρόνῳ γάρ ἐστι, χρόνου δὲ παντός ἐστι πρὸς χρόνον, πεπερασμένων ἀμφοῖν), [g] κενοῦ δὲ πρὸς πλῆρες οὐκ ἔστιν. [i] Ἡι μὲν οὖν διαφέρουσι δι' [h] ὧν [i] φέρον- 15
ται, ταῦτα συμβαίνει, κατὰ δὲ τὴν τῶν φερομένων ὑπεροχὴν [k] τάδε· ὁρῶμεν γὰρ τὰ μείζω ῥοπὴν ἔχοντα ἢ βάρους ἢ κουφότητος, ἐὰν τἆλλα ὁμοίως ἔχῃ τοῖς σχήμασι, θᾶττον φερόμενα τὸ ἴσον χωρίον, καὶ κατὰ λόγον ὃν ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα. [v] Ὥστε καὶ διὰ τοῦ κενοῦ. [i] Ἀλλ' ἀδύνατον· διὰ τίνα γὰρ αἰτίαν οἰσθήσεται θᾶττον; [i] Ἐν μὲν γὰρ τοῖς πλήρεσιν [l] ἐξ ἀνάγκης· θᾶττον γὰρ διαιρεῖ τῇ ἰσχύϊ τὸ μεῖ-

[c] μὲν ante ἐν F, post χρόνῳ I. [d] τοῦ E.F.G.H. [e] ἀφ' I. [f] ὧ G. [g] E καὶ τοῦτον I. [h] πλῆρες πρὸς τὸ κενόν E. [i] ἀφ' I. [k] γε om. H. [l] ᾖ] εἴ G. [m] ταύτην τὴν] τὴν αὐτὴν H. [n] ὧ τὸ E F.G.H.I. [o] τὴν G.I. [p] ὧ τὸ H F.G.H.I. [q] ἐὰν F.G.H.I. [r] τοῦ] τοῦ ἐφ' οὗ E. [s] τῷ om. F. [t] ὅσος E. [v] τὴν Z F.G.H.I. [w] ἦν] ἡ E. [x] τοίνυν οὖν H. [y] ἔσται F.G.H.I. [z] τις om. E. [a] οἰσθῆναι E. [b] τὸ] δὲ E, om. I. [c] ὂν et γάρ om. E. [d] πρὸς ἕτερον om. E. [e] ὡς ὁ χρόνος F.G.H. [f] αἴτιόν ἐστιν ὅτι F. [g] κενὸν corr. E. [h] οὗ F.G.H.I. [i] φέρεται F. [k] τάδε] ταῦτα I. [l] θᾶττον ἐξ ἀνάγκης E.

ζον· ἢ γὰρ σχήματι διαιρεῖ, ἢ ῥοπῇ ἣν ἔχει τὸ φερόμενον ἢ τὸ ἀφεθέν. Ἰσοταχῆ ἄρα [m] πάντ' ἔσται. Ἀλλ' ἀδύνατον.
16 [v]Οτι μὲν οὖν εἰ [n] ἔστι κενόν, συμβαίνει τοὐναντίον ἢ δι' [o] ὃ κατασκευάζουσιν οἱ φάσκοντες εἶναι κενόν, φανερὸν ἐκ τῶν εἰρημένων. Οἱ μὲν οὖν οἰόνται τὸ κενὸν εἶναι, εἴπερ [p] ἔσται ἡ κατὰ τόπον κίνησις, ἀποκρινόμενον καθ' αὑτό· τοῦτο δὲ ταὐτόν ἐστι τῷ τὸν τόπον φάναι εἶναί τι κεχωρισμένον· τοῦτο
17 δ' ὅτι [q] ἀδύνατον, εἴρηται πρότερον. [r] Καὶ καθ' [s] αὑτὸ δὲ σκοποῦσι φανείη ἂν τὸ λεγόμενον [t] κενὸν ὡς ἀληθῶς κενόν. [v]Ωσπερ [v] γὰρ ἐὰν ἐν ὕδατι τιθῇ τις κύβον, ἐκστήσεται τοσοῦτον ὕδωρ [w] ὅσος ὁ κύβος, οὕτω καὶ ἐν ἀέρι· ἀλλὰ τῇ αἰσθήσει ἄδηλον. Καὶ ἀεὶ δὴ ἐν παντὶ σώματι ἔχοντι μετάστασιν, ἐφ' [x] ὃ πέφυκε μεθίστασθαι, ἀνάγκη, ἂν μὴ συμπιλῆται, μεθίστασθαι ἢ κάτω ἀεί, εἰ κάτω ἡ φορὰ ὥσπερ γῆς, [y] ἢ ἄνω, εἰ πῦρ, ἢ ἐπ' ἄμφω, ἢ ὁποῖον ἄν τι [z] ᾖ τὸ ἐντιθέμενον.
18 Ἐν δὲ δὴ τῷ κενῷ τοῦτο μὲν ἀδύνατον· [a] οὐδὲ γὰρ σῶμα· διὰ δὲ τοῦ [b] κύβου τὸ ἴσον διάστημα διεληλυθέναι [c] δόξειεν, ὅπερ ἦν καὶ πρότερον ἐν τῷ κενῷ, ὥσπερ [d] ἂν εἰ τὸ ὕδωρ μὴ μεθίστατο τῷ ξυλίνῳ κύβῳ μηδ' ὁ ἀήρ, ἀλλὰ [e] πάντα διήεσαν δι'
19 αὐτοῦ. Ἀλλὰ μὴν καὶ ὁ [f] κύβος ἔχει [g] τοσοῦτον μέγεθος, ὅσον κατέχει [h] τὸ κενόν· ὃ εἰ [i] καὶ θερμὸν [k] ἢ ψυχρόν ἐστιν ἢ βαρὺ ἢ κοῦφον, οὐδὲν ἧττον [l] ἕτερον [m] τῷ εἶναι πάντων τῶν παθημάτων ἐστί, καὶ εἰ μὴ χωριστόν· λέγω δὲ τὸν ὄγκον τοῦ ξυλίνου κύβου. [v]Ωστ' εἰ καὶ χωρισθείη [n] τῶν ἄλλων πάντων καὶ μήτε βαρὺ μήτε κοῦφον εἴη, καθέξει τὸ ἴσον κενὸν καὶ ἐν τῷ αὐτῷ ἔσται τῷ τοῦ τόπου καὶ [o] τῷ τοῦ κενοῦ [p] μέρει ἴσῳ
20 [q] αὐτῷ. Τί οὖν διοίσει τὸ τοῦ κύβου σῶμα τοῦ ἴσου κενοῦ

[m] ἔσται πάντα H. [n] ἔσται I. [o] ἃ I. [p] ἔστιν H. [q] ἀδ. εἶναι εἴρ. G. [r] καὶ om. E. [s] ἑαυτὸ E. [t] κενὸν om. F. [v] γὰρ ἐν ὕδατι ἂν θῇ F.G.H.I. [w] ὅσον F. [x] ᾧ F. [y] ἢ] εἰ I. [z] εἴη F.H. [a] οὐδὲν E.G.H.I. [b] κύβου] κενοῦ F. [c] δόξειεν om. E. [d] ἂν om. E. [e] πάντη E.H.I. [f] κύβος γε ἔχει E. [g] τοσοῦτο G. [h] τὸ om. E. [i] καὶ om. G.H. [k] ἐστιν ἢ ψυχρὸν F.G.H.I. [l] ἕτερον ἀλλὰ καὶ μᾶλλον τῷ I. [m] τὸ F. [n] πάντων τῶν ἄλλων F.G.H.I. [o] τῷ τοῦ om E, τοῦ om. I. [p] μέρει τῷ ἴσῳ H. [q] ἑαυτῷ G.H.

καὶ τόπου; Καὶ εἰ δύο τοιαῦτα, διὰ τί οὐ καὶ ὁποσαοῦν [k] ἐν τῷ αὐτῷ ἔσται; [u]Εν μὲν δὴ τοῦτο ἄτοπον καὶ ἀδύνατον. [v]Ετι δὲ φανερὸν ὅτι τοῦτο ὁ κύβος ἕξει καὶ μεθιστάμενος, ὃ καὶ τὰ ἄλλα σώματα πάντ' ἔχει. [w]Ωστ' εἰ τοῦτό που μηδὲν διαφέρει, τί δεῖ ποιεῖν τόπον τοῖς σώμασι παρὰ τὸν ἑκάστου ὄγκον, εἰ [l] ἀπαθὲς ὁ ὄγκος; Οὐδὲν γὰρ συμβάλλεται, εἰ ἕτερον περὶ αὐτὸν ἴσον διάστημα τοιοῦτον εἴη. [[m][v]Ετι δεῖ δῆλον 21
εἶναι οἷον κενὸν ἐν τοῖς κινουμένοις. Νῦν δ' οὐδαμοῦ ἐντὸς τοῦ κόσμου· ὁ γὰρ ἀὴρ ἔστι τι, οὐ δοκεῖ δέ γε. Οὐδὲ τὸ ὕδωρ, εἰ ἦσαν οἱ ἰχθύες σιδηροῖ· τῇ [n] ἀφῇ γὰρ ἡ κρίσις τοῦ ἁπτοῦ.]] [x]Οτι μὲν τοίνυν οὐκ ἔστι κεχωρισμένον κενόν, ἐκ τούτων [o] ἐστὶ δῆλον.

Εἰσὶ δέ τινες οἳ διὰ τοῦ μανοῦ καὶ πυκνοῦ οἴονται φανε- 9
ρὸν [p] εἶναι ὅτι [q] ἔστι κενόν. Εἰ μὲν γὰρ μή ἐστι μανὸν καὶ πυκνόν, [r] οὐδὲ συνιέναι καὶ [s] πιλεῖσθαι [t] οἷόν τε. Εἰ δὲ τοῦτο μὴ [v] εἴη, ἢ ὅλως κίνησις οὐκ ἔσται, ἢ κυμανεῖ τὸ ὅλον, ὥσπερ ἔφη Ξοῦθος, ἢ [w] εἰς ἴσον ἀεὶ μεταβάλλειν ἀέρα καὶ ὕδωρ. Λέγω δ' οἷον [x] εἰ ἐξ ὕδατος κυάθου γέγονεν ἀήρ, ἅμα ἐξ ἴσου ἀέρος [y] ὕδωρ τοσοῦτον [z] γεγενῆσθαι, ἢ κενὸν εἶναι ἐξ ἀνάγκης· [a] συμπιλεῖσθαι γὰρ καὶ [b] συνεπεκτείνεσθαι οὐκ [c] ἐνδέχεται [d] ἄλλως. Εἰ μὲν οὖν τὸ μανὸν λέγουσι τὸ πολλὰ κενὰ κεχω- 2
ρισμένα ἔχον, φανερὸν ὡς εἰ [e] μηδὲ κενὸν ἐνδέχεται εἶναι χωριστὸν ὥσπερ [f] μηδὲ τόπον ἔχοντα διάστημα αὑτοῦ, οὐδὲ μανὸν οὕτως· εἰ δὲ μὴ χωριστόν, ἀλλ' ὅμως ἐνεῖναί τε κενόν, ἧττον μὲν ἀδύνατον, συμβαίνει δὲ πρῶτον μὲν οὐ πάσης κινήσεως [g] αἴτιον τὸ κενόν, ἀλλὰ τῆς ἄνω (τὸ γὰρ μανὸν κοῦφον, διὸ καὶ τὸ πῦρ μανὸν [h] εἶναί φασιν), ἔπειτα κινήσεως αἴτιον οὐχ οὕτω τὸ κενὸν ὡς ἐν ᾧ, ἀλλ' ὥσπερ οἱ ἀσκοὶ τῷ φέρεσθαι

[k] ἐν om. F. [l] ἀπαθὴς H. [m] ἔτι] ἄλλως ἔτι G.H. [n] γὰρ ἁφῇ I. [o] ἔσται I. [p] εἶναι om. E. [q] ἐστί τι κενόν H, κενόν ἐστι F. [r] οὐδὲν E. [s] πιλοῦσθαι E.I. [t] οἷόν τε ante καὶ F. [v] εἴη ἢ] εἴη ὅλως ἢ G, εἴη I, ἢ ἡ F, ἢ E. [w] εἰς om. E. [x] εἰ om. E. [y] τοσοῦτον ὕδωρ F. [z] γίγνεσθαι E. [a] συμπιλοῦσθαι E.I. [b] ἐπεκτείνεσθαι E. [c] ἐνδέχεσθαι G.H. [d] ἄλλως ante οὐκ F. [e] μὴ G.H. [f] οὐδὲ F. [g] αἴτιον] εἶναι F. [h] εἶναι om. F.

[i] αὐτοὶ [k] ἄνω φέρουσι τὸ συνεχές, οὕτω τὸ κενὸν ἀνωφερές. 3 Καίτοι πῶς οἷόν τε φορὰν εἶναι κενοῦ ἢ τόπον κενοῦ; Κενοῦ γὰρ γίγνεται κενόν, εἰς ὃ φέρεται. 4 Ἔτι δὲ πῶς ἐπὶ τοῦ [l] βαρέος ἀποδώσουσι τὸ φέρεσθαι κάτω; Καὶ δῆλον ὅτι [m] εἰ ὅσῳ ἂν μανότερον [n] καὶ κενώτερον ᾖ ἄνω οἰσθήσεται, εἰ ὅλως εἴη κενόν, τάχιστ' ἂν φέροιτο. 4 Ἴσως δὲ καὶ τοῦτ' ἀδύνατον κινηθῆναι· λόγος δ' ὁ αὐτός, [o] ὥσπερ ὅτι [p] ἐν τῷ κενῷ ἀκίνητα πάντα, οὕτω καὶ τὸ κενὸν ὅτι ἀκίνητον· ἀσύμβλητα γὰρ τὰ τάχη. 4 Ἐπεὶ δὲ κενὸν μὲν [q] οὔ φαμεν εἶναι, τἆλλα δ' ἠπόρηται ἀληθῶς, [r] ὅτι ἢ κίνησις οὐκ ἔσται, εἰ μὴ ἔσται πύκνωσις καὶ μάνωσις, ἢ κυμανεῖ ὁ οὐρανός, ἢ ἀεὶ [s] ἴσον ὕδωρ ἐξ ἀέρος ἔσται καὶ ἀὴρ ἐξ ὕδατος· δῆλον γὰρ ὅτι πλείων ἀὴρ 4 ἐξ ὕδατος γίνεται. 4 Ἀνάγκη τοίνυν, εἰ μή ἐστι πίλησις, ἢ ἐξωθούμενον τὸ ἐχόμενον τὸ ἔσχατον κυμαίνειν ποιεῖν, ἢ ἄλλοθί [t] που ἴσου μεταβάλλειν ἐξ [v] ἀέρος ὕδωρ, ἵν' ὁ πᾶς ὄγκος τοῦ ὅλου ἴσος ᾖ, ἢ μηδὲν κινεῖσθαι. 4 Ἀεὶ γὰρ μεθισταμένου τοῦτο συμβήσεται, [x] ἂν μὴ κύκλῳ [y] περιίστηται· οὐκ ἀεὶ δ' 5 εἰς τὸ κύκλῳ ἡ φορά, ἀλλὰ καὶ εἰς εὐθύ. Οἱ [z] μὲν δὴ διὰ ταῦτα [a] κενόν τι φαῖεν ἂν εἶναι· ἡμεῖς [b] δὲ [c] λέγομεν ἐκ τῶν ὑποκειμένων ὅτι ἐστὶν ὕλη μία τῶν ἐναντίων, θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων τῶν φυσικῶν ἐναντιώσεων, καὶ ἐκ δυνάμει ὄντος [d] ἐνεργείᾳ ὂν γίνεται, καὶ οὐ χωριστὴ μὲν ἡ ὕλη, [e] τῷ δ' εἶναι ἕτερον, καὶ μία τῷ ἀριθμῷ, εἰ ἔτυχε, χροιᾶς καὶ θερ- 6 μοῦ καὶ ψυχροῦ. 4 Ἔστι [f] δὲ καὶ σώματος ὕλη καὶ μεγάλου καὶ μικροῦ ἡ αὐτή. Δῆλον δέ· ὅταν γὰρ [g] ἐξ ὕδατος ἀὴρ [h] γένηται, ἡ αὐτὴ ὕλη οὐ προσλαβοῦσά [i] τι ἄλλο ἐγένετο, ἀλλ' ὃ ἦν δυνάμει, ἐνεργείᾳ ἐγένετο. Καὶ πάλιν ὕδωρ ἐξ ἀέρος ὡσαύτως, ὁτὲ μὲν εἰς μέγεθος ἐκ [k] μικρότητος, ὁτὲ δ'

[i] αὐτὰ E. [k] ἄνω φέρει E.F.G.H. [l] βαρέως F. [m] εἰ om. E.G, ante ὅτι ponit I. [n] καὶ κενώτερον om. G. [o] ὅτι ὥσπερ ὅτι F. [p] ἐν] καὶ ἐν I. [q] οὔ φαμεν om. pr. G. [r] ὅτι om. F.G.I. [s] ὕδωρ ἐξ ἀέρος ἴσον H. [t] που τὸ ἴσον I. [v] ἀέρος εἰς ὕδωρ G.H.I. [x] ἐὰν F.G.H. ἂν—περιίστηται om. I. [y] περιίσταται H. [z] μὲν διὰ τοιαῦτα F. [a] καινόν I. [b] δὲ om. F. [c] λέγωμεν E.I. [d] ἐνεργείᾳ om. E. [e] τὸ E.F.G. [f] δὲ] δεῖ E. [g] ἀὴρ ἐξ ὕδατος I. [h] γίνηται E. [i] ἄλλο τι F.G.H.I. [k] σμικρότητος ὅτι G.

εἰς μικρότητα ἐκ μεγέθους. [t]Ὁμοίως [l]τοίνυν [m]κἂν [n]ἀὴρ πολὺς ὢν ἐν ἐλάττονι [o]γίγνηται ὄγκῳ καὶ ἐξ ἐλάττονος μείζων, ἡ δυνάμει οὖσα [p]γίνεται ὕλη ἄμφω. [v]Ὥσπερ [q]γὰρ καὶ 7
[r]ἐκ ψυχροῦ θερμὸν καὶ ἐκ θερμοῦ ψυχρὸν ἡ αὐτή, ὅτι ἦν δυνάμει, οὕτω καὶ ἐκ θερμοῦ μᾶλλον θερμόν, [s]οὐδενὸς γενομένου ἐν τῇ ὕλῃ θερμοῦ, ὃ οὐκ ἦν θερμόν, ὅτε ἧττον ἦν θερμόν. [v]Ὥσπερ [t]γε οὐδ' ἡ τοῦ μείζονος κύκλου περιφέρεια καὶ κυρτότης ἐὰν [v]γίνηται ἐλάττονος κύκλου, [w]ἡ αὐτὴ οὖσα ἢ ἄλλη, ἐν οὐθενὶ [x]γέγονε τὸ κυρτὸν ὃ ἦν οὐ κυρτὸν ἀλλ' εὐθύ· οὐ γὰρ τῷ διαλείπειν τὸ ἧττον ἢ τὸ μᾶλλόν ἐστιν· [y]οὐδ' ἔστι τῆς φλογὸς λαβεῖν [z]τι μέγεθος ἐν ᾧ [a]οὐ καὶ [b]θερμότης καὶ λευκότης ἔνεστιν. Οὕτω τοίνυν καὶ ἡ πρότερον θερμότης [c]τῇ ὕστερον. [v]Ὥστε [d]καὶ τὸ μέγεθος καὶ ἡ 8
μικρότης τοῦ αἰσθητοῦ ὄγκου οὐ προσλαβούσης τι τῆς ὕλης ἐπεκτείνεται, ἀλλ' ὅτι δυνάμει ἐστὶν [e]ἡ ὕλη ἀμφοῖν· ὥστ' ἐστὶ τὸ αὐτὸ πυκνὸν καὶ μανόν, καὶ μία ὕλη αὐτῶν. [f]Ἔστι δὲ τὸ μὲν πυκνὸν βαρύ, τὸ δὲ μανὸν κοῦφον. [[f]Ἔτι ὥσπερ 9
ἡ τοῦ κύκλου περιφέρεια συναγομένη εἰς ἔλαττον οὐκ ἄλλο τι λαμβάνει τὸ κοῖλον, ἀλλ' ὃ [g]ἦν συνήχθη, [h]καὶ τοῦ πυρὸς ὅ τι ἄν τις λάβῃ πᾶν [i]ἔσται θερμόν, οὕτω καὶ τὸ πᾶν συναγωγῇ καὶ διαστολῇ τῆς αὐτῆς ὕλης.] Δύο γάρ ἐστιν [k]ἐφ' 10
ἑκατέρου, τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ· τό τε [l]γὰρ βαρὺ καὶ τὸ σκληρὸν πυκνὰ δοκεῖ εἶναι, καὶ τἀναντία μανὰ τό τε κοῦφον καὶ τὸ μαλακόν· διαφωνεῖ δὲ τὸ βαρὺ καὶ [m]τὸ σκληρὸν ἐπὶ [n]μολίβδου καὶ σιδήρου. [q]Ἐκ δὴ τῶν εἰρημένων φανερὸν 11
[o]ὡς οὔτ' ἀποκεκριμένον κενόν ἐστιν οὔθ' ἁπλῶς [p]οὔτ' ἐν τῷ μανῷ οὔτε δυνάμει, εἰ μή τις βούλεται πάντως [q]καλεῖν κενὸν

[l] τοίνυν] δὲ H. [m] καὶ ἂν I, καὶ ἐὰν G.H. [n] ὁ ἀὴρ F. [o] γένηται F. [p] ὕλη γίγνεται E. [q] γὰρ] γε E. [r] ἐκ θερμοῦ ψυχρὸν καὶ ἐκ ψυχροῦ θερμόν H. [s] μηδενὸς γινομένου F. [t] γε] γὰρ G.H. [v] γένηται G.H.I. [w] ἡ] ἢ I. [x] ἐγγέγονε E.I. [y] οὐδ'] οὐ γὰρ F. [z] μέγεθός τι F. [a] οὐ om. pr. G. [b] λευκότης καὶ θερμότης ἐστὶν G. [c] τῆς F. [d] καὶ post ὥστε om. H. [e] ἡ om. E. [f] ἔτι—ὕλης] ἀθετοῦνται margo G. [g] ἦν om. E. [h] καὶ] οὕτω καὶ om. F.G.I. [i] ἐστι G.H.I. et post θερμόν F. [k] ἀφ' E.I. [l] γὰρ om. pr. H. [m] τὸ post καὶ om. E. [n] μολύβδου G. [o] ὅτι] ὡς F.G.H.I. [p] οὔτ' ἐν] οὐθὲν E. [q] καλεῖν τι κενὸν παντὸς E.

τὸ αἴτιον τοῦ φέρεσθαι. Οὕτω [r]δ' ἡ τοῦ βαρέος καὶ κούφου ὕλη, [s]ἥ τοιαύτη, [t]εἴη ἂν τὸ κενόν· τὸ γὰρ πυκνὸν καὶ [v]τὸ μανὸν κατὰ ταύτην τὴν ἐναντίωσιν φορᾶς ποιητικά, κατὰ δὲ τὸ σκληρὸν καὶ μαλακὸν πάθους καὶ ἀπαθείας, καὶ οὐ φορᾶς ἀλλ' ἑτεροιώσεως μᾶλλον. Καὶ περὶ μὲν κενοῦ, πῶς ἔστι καὶ πῶς οὐκ ἔστι, [w]διωρίσθω [x]τὸν τρόπον τοῦτον.

10 [y]Ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶν ἐπελθεῖν [y]περὶ χρόνου· πρῶτον δὲ καλῶς ἔχει διαπορῆσαι περὶ αὐτοῦ καὶ διὰ τῶν ἐξωτερικῶν λόγων, πότερον τῶν ὄντων ἐστὶν ἢ τῶν μὴ ὄντων, εἶτα τίς ἡ φύσις [z]αὐτοῦ. [v]Ὅτι μὲν οὖν [a]ἢ ὅλως οὐκ ἔστιν ἢ [b]μόλις καὶ ἀμυδρῶς, ἐκ τῶνδέ τις [c]ἂν ὑποπτεύσειεν. Τὸ μὲν γὰρ αὐτοῦ γέγονε καὶ οὐκ ἔστι, τὸ δὲ μέλλει καὶ οὔπω ἐστίν. [d]Ἐκ δὲ τούτων καὶ ὁ ἄπειρος καὶ ὁ ἀεὶ λαμβανόμενος χρόνος σύγκειται. Τὸ δ' ἐκ μὴ ὄντων συγκείμενον ἀδύνατον
2 [d]ἂν εἶναι δόξειε [e]μετέχειν οὐσίας. Πρὸς δὲ τούτοις παντὸς μεριστοῦ, ἐάν περ ᾖ, ἀνάγκη, ὅτε ἔστιν, [f]ἤτοι πάντα τὰ μέρη εἶναι ἢ ἔνια· τοῦ δὲ χρόνου τὰ μὲν γέγονε τὰ δὲ μέλλει, ἔστι δ' οὐδέν, ὄντος μεριστοῦ. Τὸ δὲ νῦν οὐ μέρος· μετρεῖ [g]τε γὰρ τὸ [h]μέρος, καὶ συγκεῖσθαι [i]δεῖ τὸ ὅλον ἐκ τῶν μερῶν·
3 ὁ δὲ χρόνος [k]οὐ δοκεῖ συγκεῖσθαι ἐκ τῶν νῦν. [l]Ἔτι δὲ τὸ νῦν, ὃ φαίνεται [l]διορίζειν τὸ παρελθὸν καὶ τὸ μέλλον, πότερον ἓν καὶ [m]ταὐτὸν ἀεὶ διαμένει ἢ ἄλλο καὶ ἄλλο, [n]οὐ ῥᾴδιον [o]ἰδεῖν. Εἰ μὲν γὰρ ἀεὶ ἕτερον καὶ ἕτερον, μηδὲν δ' ἐστὶ τῶν ἐν τῷ χρόνῳ ἄλλο καὶ ἄλλο μέρος [p]ἅμα, ὃ μὴ περιέχει, τὸ δὲ περιέχεται, ὥσπερ ὁ ἐλάττων χρόνος ὑπὸ τοῦ [q]πλείονος, [r]τὸ δὲ νῦν μὴ ὂν πρότερον δὲ ὂν ἀνάγκη ἐφθάρθαι ποτέ,

[r] δ' ἡ] δὴ G. [s] ᾗ] ἡ G. [t] ἂν εἴη F. [v] τὸ post καὶ om. E. [w] διώρισται E. [x] τοῦτον τὸν τρόπον F. [y] περὶ τοῦ χρόνου H. [z] αὐτῶν F. [a] ἢ post οὖν om. F.G.H.I. [b] μόγις F.G.H.I. [c] ἂν] ἂν καὶ E, om. F. [d] ἂν om. I, post δόξειεν ponit (omisso εἶναι) F. [e] μετέχειν] μετέχειν ποτὲ F.G, ποτὲ μετέχειν I. [f] ἤτοι ἔνια ἢ πάντα τὰ μέρη εἶναι F.G.H.I. [g] τε] ται pr. H, om. G. [h] μέρος] μέρος, τὸ δὲ νῦν οὐ μετρεῖ F. [i] δεῖ] δὴ I, δοκεῖ H. [k] οὐ om. F. [l] ὁρίζειν E. [m] τὸ αὐτὸ F.G.H.I. [n] οὐ] ὁ E. [o] συνιδεῖν H. [p] ἅμα post περιέχει H. [q] πλέονος H.I. [r] τὸ δὲ] τό τε H.

[s] καὶ τὰ νῦν ἅμα μὲν [t] ἀλλήλοις οὐκ ἔσται, ἐφθάρθαι [v] δὲ ἀνάγκη ἀεὶ τὸ πρότερον. [4] Ἐν ἑαυτῷ μὲν [w] οὖν ἐφθάρθαι [x] οὐχ οἷόν [y] τε διὰ τὸ εἶναι [z] τότε, ἐν ἄλλῳ δὲ νῦν ἐφθάρθαι τὸ πρότερον νῦν οὐκ ἐνδέχεται. [a] Ἔστω γὰρ ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων τὰ νῦν ὥσπερ [b] στιγμὴ στιγμῆς. Εἴπερ οὖν ἐν τῷ ἐφεξῆς οὐκ ἔφθαρται ἀλλ' ἐν ἄλλῳ, ἐν τοῖς μεταξὺ τοῖς νῦν ἀπείροις οὖσιν ἅμα ἂν εἴη· τοῦτο δ' ἀδύνατον. [5] Ἀλλὰ μὴν οὐδ' ἀεὶ τὸ αὐτὸ διαμένειν δυνατόν· οὐδενὸς γὰρ διαιρετοῦ πεπερασμένου ἓν πέρας ἐστίν, οὔτ' [c] ἂν ἐφ' ἓν ἧ συνεχὲς οὔτ' [d] ἂν ἐπὶ πλείω· τὸ δὲ νῦν πέρας ἐστί, καὶ χρόνον ἔστι λαβεῖν πεπερασμένον. [6] Ἔτι εἰ τὸ ἅμα εἶναι κατὰ χρόνον καὶ μήτε πρότερον μήτε ὕστερον τὸ ἐν τῷ αὐτῷ εἶναι καὶ ἐν τῷ νῦν ἐστίν, εἰ τά [e] τε [f] πρότερον καὶ τὰ ὕστερον ἐν τῷ νῦν τῳδί ἐστιν, ἅμα ἂν εἴη τὰ [g] εἰς ἔτος [h] γενόμενα μυριοστὸν τοῖς [i] γενομένοις τήμερον, καὶ οὔτε πρότερον οὔθ' ὕστερον [k] οὐδὲν ἄλλο ἄλλου. [7] Περὶ μὲν οὖν τῶν ὑπαρχόντων αὐτῷ τοσαῦτ' [l] ἔστω διηπορημένα· [m] τί δ' ἐστὶν ὁ χρόνος καὶ τίς [n] αὐτοῦ ἡ φύσις, ὁμοίως ἔκ τε τῶν παραδεδομένων ἄδηλόν ἐστι, καὶ περὶ ὧν τυγχάνομεν διεληλυθότες πρότερον. Οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν, οἱ δὲ τὴν σφαῖραν αὐτήν. Καίτοι τῆς περιφορᾶς καὶ τὸ μέρος χρόνος τίς ἐστι, περιφορὰ δέ γε οὔ· [o] μέρος γὰρ περιφορᾶς τὸ [p] ληφθέν, ἀλλ' οὐ περιφορά. [8] Ἔτι [q] δ' εἰ πλείους ἦσαν οἱ οὐρανοί, ὁμοίως ἂν ἦν ὁ χρόνος ἡ [r] ὁτιοῦν αὐτῶν κίνησις, ὥστε πολλοὶ χρόνοι ἅμα. [9] Ἡ δὲ τοῦ ὅλου σφαῖρα ἔδοξε μὲν τοῖς [s] εἰποῦσιν εἶναι ὁ χρόνος, ὅτι ἕν [t] τε τῷ [v] χρόνῳ πάντα ἐστὶ καὶ ἐν τῇ τοῦ ὅλου σφαίρᾳ· ἔστι δ' εὐηθικώτερον τὸ εἰρημέ-

[s] καὶ τὰ νῦν ἅμα om. E. in litura. [t] οὐκ ἔσται ἀλλήλοις διέφθαρθαι H. [v] δὲ et ἀεὶ τὸ πρότερον om. E. [w] οὖν om. I. [x] οὐχ] τὸ νῦν οὐχ H. [y] τε] τ' ἀεὶ H. [z] τότε om. E. [a] ἐστιν E. [b] στιγμὴ] στιγμὴν E. [c] ἐὰν E. [d] ἂν om. F. [e] γε H. [f] πρότερα καὶ τὰ ὕστερα F. [g] εἰς om. E. [h] μυριοστὸν γενόμενα F. [i] γινομένοις F. [k] ἄλλο ἄλλου οὐδὲν H. [l] ἔσται διηπορημένα F, εἰρήσθω H. [m] τις F. [n] αὐτῷ ἡ φύσις F, ἡ φύσις αὐτοῦ H. [o] μέρος—περιφορά om. I. [p] λεχθὲν E. [q] δ' om. F. [r] ὁτιοῦν H. [s] ἐπιοῦσιν E. [t] τε om. F. [v] χρόνῳ τὰ πάντα I.

9 μένον [w]ἢ ὥστε περὶ αὐτοῦ τὰ ἀδύνατα ἐπισκοπεῖν. [1]Ἐπεὶ δὲ δοκεῖ μάλιστα [x]κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος, [y]τοῦτ' ἂν εἴη σκεπτέον. [1]Ἡ μὲν οὖν ἑκάστου μεταβολὴ καὶ κίνησις ἐν [z]αὐτῷ τῷ μεταβάλλοντι [a]μόνον ἐστίν, ἢ οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινούμενον καὶ μεταβάλλον· ὁ δὲ χρόνος
10 ὁμοίως [b]καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν. [v]Ἔτι [c]δὲ μεταβολὴ μέν ἐστι [d]πᾶσα θάττων καὶ βραδυτέρα, χρόνος δ' οὐκ ἔστιν· τὸ γὰρ βραδὺ [e]καὶ ταχὺ χρόνῳ ὥρισται, ταχὺ μὲν τὸ ἐν ὀλίγῳ πολὺ κινούμενον, βραδὺ δὲ τὸ ἐν πολλῷ ὀλίγον· ὁ δὲ χρόνος οὐχ ὥρισται χρόνῳ, οὔτε τῷ ποσός τις εἶναι οὔτε τῷ ποιός. [v]Ὅτι μὲν τοίνυν οὐκ ἔστι κίνησις, φανερόν· μηδὲν [f]δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ μεταβολήν.

11 [g]Ἀλλὰ μὴν οὐδ' ἄνευ γε μεταβολῆς· ὅταν γὰρ [h]μηδὲν αὐτοὶ [i]μεταβάλλωμεν τὴν διάνοιαν ἢ λάθωμεν μεταβάλλοντες, οὐ δοκεῖ ἡμῖν γεγονέναι [k]χρόνος, καθάπερ οὐδὲ τοῖς [l]ἐν Σαρδοῖ μυθολογουμένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν, ὅταν ἐγερθῶσιν· συνάπτουσι γὰρ [m]τὸ πρότερον νῦν τῷ ὕστερον νῦν καὶ ἓν ποιοῦσιν, ἐξαιροῦντες διὰ τὴν ἀναισθησίαν τὸ [n]μεταξύ. [v]Ὥσπερ οὖν εἰ μὴ ἦν ἕτερον τὸ νῦν [o]ἀλλὰ [p]ταὐτὸ καὶ ἕν, οὐκ ἂν [q]ἦν χρόνος, οὕτως καὶ ἐπεὶ [r]λανθάνει ἕτερον ὄν, οὐ δοκεῖ
2 εἶναι τὸ μεταξὺ χρόνος. Εἰ [s]δὴ τὸ μὴ οἴεσθαι [t]εἶναι χρόνον τότε συμβαίνει ἡμῖν, ὅταν μὴ [v]ὁρίζωμεν μηδεμίαν μεταβολήν, ἀλλ' [w]ἐν ἐνὶ καὶ ἀδιαιρέτῳ [x]φαίνηται ἡ ψυχὴ μένειν, ὅταν δ' [y]αἰσθώμεθα καὶ ὁρίσωμεν, τότε φαμὲν γεγονέναι χρόνον, φανερὸν ὅτι οὐκ ἔστιν [z]ἄνευ κινήσεως [a]καὶ μετα-
3 βολῆς [b]χρόνος. [v]Ὅτι μὲν οὖν οὔτε κίνησις οὔτ' ἄνευ κινήσεως ὁ χρόνος ἐστί, φανερόν. Ληπτέον δέ, [c]ἐπεὶ ζητοῦμεν τί

[w] ἢ om. H. [x] κίνησίς τις εἶναι F. [y] τοῦ τε ἂν σκεπτέον G. [z] ἑαυτῷ H. [a] ἔστι μόνον F.G.I. [b] καὶ ante πανταχοῦ om. H. [c] δὲ] δὲ καὶ E. [d] πᾶσα om. E. [e] καὶ τὸ ταχὺ I. [f] δὲ om. E. [g] ἀλλ' οὐ μὴν οὐδ' G. [h] αὐτοὶ μηδὲν H, αὐτοὶ μηθὲν F. [i] μεταβάλωμεν H. [k] ὁ χρόνος F.G.H.I. [l] ἐν] ἐν τῇ G.H.I, om. E. [m] τὸ E. [n] μεταξύ] μέσον I. [o] ἀλλὰ] ἀλλὰ καὶ E. [p] ἓν καὶ ταυτὸν H. [q] ἦν ὁ χρόνος F.H. [r] λανθάνοι G. [s] δὲ E. [t] εἶναι om. G. [v] ὁρίσωμεν F.G.H.I. [w] ἐν om. H. [x] φαίνεται G.H. [y] αἰσθῶμεν I. [z] μεταβολῆς καὶ κινήσεως ἄνευ H. [a] καὶ μεταβολῆς om. I. [b] ὁ χρόνος F.I. [c] ἐπειδὴ F.G.I.

ἐστιν [d] ὁ χρόνος, ἐντεῦθεν [e] ἀρχομένοις, τί τῆς κινήσεώς [f] ἐστιν. [v] Ἅμα γὰρ κινήσεως αἰσθανόμεθα καὶ χρόνου· καὶ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, εὐθὺς ἅμα [g] δοκεῖ τις γεγονέναι καὶ χρόνος. [1] Ἀλλὰ μὴν καὶ ὅταν [h] γε χρόνος [i] δοκῇ γεγονέναι τις, ἅμα καὶ κίνησίς [k] τις [l] φαίνεται γεγονέναι. [v] Ὥστε ἤτοι κίνησις ἢ τῆς κινήσεώς τι [m] ἐστὶν ὁ χρόνος. [n] [1] Ἐπεὶ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς [o] τι εἶναι αὐτόν. [1] Ἐπεὶ δὲ 4
τὸ κινούμενον κινεῖται ἔκ τινος εἴς τι καὶ πᾶν μέγεθος συνεχές, ἀκολουθεῖ τῷ μεγέθει ἡ κίνησις· διὰ γὰρ [p] τὸ τὸ μέγεθος εἶναι συνεχὲς καὶ ἡ κίνησίς ἐστι συνεχής, [q] διὰ δὲ τὴν κίνησιν ὁ χρόνος· ὅση γὰρ ἡ κίνησις, τοσοῦτος [r] καὶ ὁ χρόνος ἀεὶ δοκεῖ γεγονέναι. Τὸ [s] δὲ δὴ πρότερον καὶ ὕστερον ἐν τόπῳ πρῶτόν ἐστιν. [1] Ἐνταῦθα μὲν δὴ τῇ θέσει· ἐπεὶ δ' ἐν τῷ μεγέθει [t] ἐστὶ τὸ πρότερον [v] καὶ ὕστερον, ἀνάγκη καὶ ἐν κινήσει εἶναι τὸ πρότερον [v] καὶ ὕστερον, ἀνάλογον τοῖς ἐκεῖ. [1] Ἀλλὰ μὴν καὶ [w] ἐν χρόνῳ [x] ἐστὶ τὸ πρότερον [y] καὶ ὕστερον 5
διὰ τὸ ἀκολουθεῖν ἀεὶ θατέρῳ θάτερον αὐτῶν. [1] Ἔστι δὲ τὸ πρότερον [z] καὶ ὕστερον [a] αὐτῶν ἐν τῇ κινήσει, ὃ μέν [b] ποτε ὂν κίνησίς ἐστιν· τὸ μέντοι εἶναι αὐτῷ ἕτερον καὶ οὐ κίνησις. [1] Ἀλλὰ μὴν καὶ τὸν χρόνον [c] γε γνωρίζομεν, ὅταν ὁρίσωμεν τὴν κίνησιν, [d] τὸ πρότερον καὶ ὕστερον ὁρίζοντες· καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν. [b] Ὁρίζομεν δὲ τῷ [e] ἄλλο καὶ 6
ἄλλο ὑπολαβεῖν αὐτά, καὶ μεταξύ τι αὐτῶν ἕτερον· ὅταν γὰρ ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν πρότερον τὸ δ' ὕστερον, τότε καὶ τοῦτό φαμεν

[d] ὁ om. F. [e] ἀρχόμενοι E. [f] ἐστιν] ἔσται E, ὁ χρόνος ἐστίν H. [g] δοκεῖ τι F, τις δοκεῖ H. [h] γε om. F.H. [i] γενέσθαι δοκῇ F, δοκῇ γενέσθαι I. [k] τις om. H. [l] φαίνεται] δοκεῖ E. [m] ἐστιν—τι om. G. [n] ἐπειδὴ F.G.I. [o] εἶναί τι H. [p] alterum τὸ om. F.G. [q] διὰ—χρόνος om. E.F.G.I. [r] καὶ om. E. [s] δὲ om. E.H. [t] ἐστὶ om. E. [v] καὶ τὸ ὕστερον H. [w] ἐν τῷ χρόνῳ I. [x] ἐστι om. H. [y] καὶ τὸ ὕστερον H.I. [z] καὶ τὸ ὕστερον G.H.I. [a] αὐτῶν om. H. [b] ποτε ὄν] πρότερον E. [c] γε om. I. [d] τῷ E.F.G. [e] ἄλλο καὶ ἄλλο καὶ ἄλλο G.

εἶναι χρόνον· τὸ γὰρ ὁριζόμενον τῷ νῦν χρόνος [f] εἶναι δοκεῖ
7 καὶ ὑποκείσθω. [v]Οταν μὲν [g] οὖν ὡς ἓν [h] τὸ νῦν αἰσθανώμεθα, καὶ μὴ [i] ἤτοι [k] ὡς πρότερον [l] καὶ ὕστερον ἐν τῇ κινήσει ἢ ὡς τὸ αὐτὸ [m] μὲν προτέρου [n] δὲ καὶ ὑστέρου τινός, οὐ δοκεῖ [o] χρόνος γεγονέναι οὐθείς, ὅτι οὐδὲ κίνησις. [v]Οταν δὲ [p] τὸ πρότερον [q] καὶ ὕστερον, τότε λέγομεν χρόνον· τοῦτο γάρ ἐστιν ὁ χρόνος, ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. Οὐκ ἄρα κίνησις ὁ χρόνος ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις. Σημεῖον δέ· τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κρίνομεν ἀριθμῷ, κίνησιν δὲ πλείω καὶ ἐλάττω χρόνῳ· ἀριθμὸς ἄρα τις
8 ὁ χρόνος. [t]Επεὶ [r] δ' ἀριθμός [s] ἐστι διχῶς (καὶ γὰρ τὸ [t] ἀριθμούμενον καὶ τὸ [v] ἀριθμητὸν ἀριθμὸν λέγομεν, καὶ ᾧ ἀριθμοῦμεν), ὁ [w] δὲ χρόνος ἐστὶ τὸ ἀριθμούμενον καὶ οὐχ ᾧ ἀριθμοῦμεν. [u]Εστι δ' ἕτερον ᾧ ἀριθμοῦμεν καὶ τὸ ἀριθμούμενον. Καὶ ὥσπερ ἡ κίνησις ἀεὶ ἄλλη [x] καὶ ἄλλη, καὶ ὁ χρόνος. [t]Ο δ' ἅμα πᾶς χρόνος ὁ αὐτός· τὸ γὰρ νῦν τὸ αὐτὸ ὅ ποτ' ἦν·
9 τὸ δ' εἶναι αὐτῷ ἕτερον. Τὸ δὲ νῦν τὸν χρόνον μετρεῖ, ᾗ πρότερον καὶ [y] ὕστερον. Τὸ δὲ νῦν ἔστι μὲν ὡς τὸ αὐτό, [z] ἔστι δ' ὡς οὐ τὸ αὐτό· ᾗ μὲν [a] γὰρ ἐν ἄλλῳ [b] καὶ ἄλλῳ, ἕτερον (τοῦτο δ' ἦν αὐτῷ τὸ νῦν), [c] ᾗ δὲ [d] ὅ ποτε ὂν ἐστι τὸ νῦν, τὸ αὐτό· ἀκολουθεῖ γάρ, ὡς ἐλέχθη, τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δ' ὁ χρόνος, [e] ὡς φαμέν. Καὶ ὁμοίως δὴ [f] τῇ στιγμῇ τὸ φερόμενον, ᾧ τὴν κίνησιν γνωρίζομεν καὶ τὸ πρότερον ἐν [g] αὐτῇ καὶ [h] τὸ ὕστερον. Τοῦτο [i] δὲ [d] ὅ μέν ποτε [j] ὂν τὸ [k] αὐτό (ἡ στιγμὴ γὰρ ἡ λίθος ἤ τι ἄλλο τοιοῦτόν ἐστι), τῷ λόγῳ δὲ ἄλλο, ὥσπερ οἱ σοφισταὶ λαμβάνουσιν ἕτερον [l] τὸ [m] Κορίσκον ἐν Λυκείῳ εἶναι καὶ τὸ Κορίσκον ἐν

[f] εἶναι post χρόνος om. E. [g] οὖν om. E. [h] αἰσθανώμεθα τὸ νῦν F. [i] τοι E. [k] ὡς τὸ πρ. G.H.I. [l] καὶ τὸ ὕστερον H. [m] μὲν] μὴ H, μὲν οὐ F. [n] δὲ καὶ ὑστέρου om. E. [o] γεγονέναι χρόνος F. [p] τὸ om. G. [q] καὶ τὸ ὕστερον E. [r] δ'] δ' ὁ G. [s] ἐστι om. E. [t] ἀριθμητὸν καὶ τὸ ἀριθμούμενον H. [v] ἀριθμητὸν] ἀριθμοῦν E. [w] δὴ F.G. [x] καὶ ἄλλη om. G.I. [y] ὕστερον ὁρίζει. Τὸ E. [z] ἔστι δ'—αὐτό om. G. [a] γὰρ om. H. [b] καὶ ἄλλῳ om. G. [c] ᾗ] ὃ G.H.I. [d] ὅ πότε G.I, ποτε H. [e] ὥσπερ F.G.H.I. [f] τῇ om. E. [g] ταύτῃ H. [h] τὸ om. G. [i] δὴ F.G.H.I. [j] ὃν ἐστὶ τὸ H. [k] τοιοῦτό E. [l] τὸ om. E. [m] Κορισκὸν G.

ἀγορᾷ. Καὶ τοῦτο δὴ τῷ ἄλλοθι καὶ ἄλλοθι εἶναι ἕτερον. 10
Τῷ δὲ φερομένῳ ἀκολουθεῖ τὸ νῦν, ὥσπερ ὁ χρόνος τῇ κινήσει· τῷ γὰρ φερομένῳ γνωρίζομεν τὸ πρότερον καὶ ὕστερον [n] ἐν [o] κινήσει· ᾗ δ' ἀριθμητὸν τὸ πρότερον [p] καὶ ὕστερον, τὸ νῦν ἐστίν· [q] ὥστε καὶ ἐν τούτοις, ὃ μέν ποτε ὂν νῦν, [r] ἔστι τὸ αὐτό· [s] πρότερον γὰρ [t] καὶ ὕστερόν ἐστι [v] τὸ [w] ἐν κινήσει· [x] τὸ δ' εἶναι ἕτερον· ᾗ ἀριθμητὸν γὰρ τὸ πρότερον καὶ ὕστερον, [y] τὸ νῦν ἐστίν. Καὶ γνώριμον δὲ [z] μάλιστα τοῦτ' ἐστίν· 11
καὶ γὰρ ἡ κίνησις διὰ τὸ κινούμενον καὶ ἡ φορὰ διὰ τὸ φερόμενον· τόδε γάρ τι τὸ φερόμενον, ἡ [a] δὲ κίνησις οὔ. [1]Εστι μὲν οὖν ὡς τὸ αὐτὸ [b] τὸ νῦν [c] λεγόμενον ἀεί, ἔστι δ' ὡς οὐ τὸ αὐτό· καὶ γὰρ [d] τὸ φερόμενον. Φανερὸν δὲ καὶ ὅτι εἴτε 12
χρόνος μὴ εἴη, τὸ νῦν οὐκ ἂν εἴη, εἴτε τὸ νῦν [e] μὴ εἴη, [f] χρόνος οὐκ ἂν εἴη· ἅμα γὰρ ὥσπερ τὸ φερόμενον καὶ ἡ φορά, οὕτως [g] καὶ ὁ ἀριθμὸς ὁ τοῦ φερομένου καὶ ὁ τῆς φορᾶς. Χρόνος μὲν γὰρ ὁ τῆς φορᾶς ἀριθμός, τὸ [h] νῦν δὲ ὡς τὸ φερόμενον οἷον μονὰς ἀριθμοῦ. Καὶ συνεχής τε δὴ ὁ χρόνος 13
τῷ νῦν, καὶ διῄρηται κατὰ τὸ νῦν· ἀκολουθεῖ γὰρ [i] καὶ τοῦτο τῇ φορᾷ καὶ τῷ φερομένῳ· [j] καὶ [k] γὰρ ἡ κίνησις καὶ ἡ φορὰ μία τῷ φερομένῳ, ὅτι ἕν, [l] καὶ οὐχ ὅ ποτε ὄν (καὶ γὰρ ἂν [m] διαλίποι) ἀλλὰ [n] τῷ λόγῳ. Καὶ [o] γὰρ ὁρίζει [p] τὴν πρότερον καὶ ὕστερον κίνησιν τοῦτο. [1]Ακολουθεῖ δὲ καὶ τοῦτό πως τῇ στιγμῇ· [q] καὶ γὰρ ἡ στιγμὴ καὶ συνέχει τὸ μῆκος καὶ ὁρίζει· ἔστι γὰρ τοῦ μὲν ἀρχὴ τοῦ δὲ τελευτή. [1]Αλλ' ὅταν μὲν οὕτω λαμβάνῃ τις [r] ὡς δυσὶ χρώμενος τῇ μιᾷ, ἀνάγκη ἵστασθαι, εἰ ἔσται [s] ἀρχὴ καὶ τελευτὴ ἡ αὐτὴ στιγμή.

[n] ἐν—ὕστερον om. G. [o] ἐν τῇ κ. H. [p] καὶ τὸ ὕστ. E.H. [q] ὥστε καὶ ἐν τούτοις om. F. [r] τὸ αὐτό ἐστι F. [s] τὸ πρότερον E.H.I. [t] καὶ] ἢ F.G.I. [v] τὸ om. E. [w] ἐν] ἐν τῇ H. [x] τῷ H, om. E. [y] ἐστὶ τὸ νῦν F, νῦν ἐστι H. [z] μάλιστα τὸ νῦν τοῦτ' H. [a] τε E. [b] τὸ om. I. [c] λεγόμενον om. E, ante τὸ νῦν ponit H. [d] τὸ φ.] καὶ τὸ φ. I. [e] μὴ εἴη] μὴ ἔσται E. [f] ὁ χρόνος F.G.H.I. [g] ὁ post καὶ om. F. [h] δὲ νῦν H. [i] καὶ post γὰρ om. G. [j] καὶ γὰρ—φερομένῳ om. G. [k] γὰρ] γὰρ καὶ E. [l] καὶ post ἕν om. H. [m] διαλείποι G.I. [n] τῷ] καὶ τῷ F. [o] γὰρ ὁρίζει] ὁρίζει δὴ H.I. [p] τὴν προτέραν καὶ ὑστέραν κίνησιν F, τῇ πρότερον καὶ ὕστερον κινήσει pr. H. [q] καὶ γὰρ ἡ στιγμὴ om. E. [r] ὡς om. E. [s] ἡ ἀρχὴ καὶ ἡ τ. E.

14 Τὸ δὲ νῦν διὰ τὸ κινεῖσθαι τὸ φερόμενον ἀεὶ ἕτερον· ὥσθ' ὁ χρόνος ἀριθμὸς οὐχ ὡς τῆς αὐτῆς στιγμῆς, ὅτι ἀρχὴ καὶ τελευτή, ἀλλ' ὡς τὰ ἔσχατα τῆς [t] αὐτῆς μᾶλλον, καὶ οὐχ ὡς ὡς τὰ μέρη, διά [v] τε τὸ εἰρημένον (τῇ γὰρ μέσῃ στιγμῇ [w] ὡς δυσὶ χρήσεται, ὥστε ἠρεμεῖν συμβήσεται), καὶ ἔτι φανερὸν ὅτι [x] οὐδὲ μόριον τὸ [y] νῦν τοῦ χρόνου, οὐδ' ἡ διαίρεσις [z] τῆς κινήσεως, ὥσπερ οὐδ' [a] αἱ στιγμαὶ [b] τῆς γραμμῆς· αἱ δὲ 15 γραμμαὶ [c] αἱ δύο τῆς μιᾶς μόρια. [†]Ηι μὲν οὖν πέρας τὸ νῦν, οὐ χρόνος, ἀλλὰ συμβέβηκεν· ᾗ δ' ἀριθμεῖ, ἀριθμός· τὰ μὲν γὰρ πέρατα ἐκείνου [d] μόνον [e] ἐστὶν οὗ ἐστὶ πέρατα, ὁ δ' [f] ἀριθμὸς ὁ τῶνδε τῶν ἵππων, ἡ δεκάς, καὶ ἄλλοθι. [v]Οτι μὲν τοίνυν ὁ χρόνος ἀριθμός ἐστι κινήσεως κατὰ τὸ πρότερον [g] καὶ ὕστερον, καὶ συνεχής (συνεχοῦς [h] γάρ), φανερόν.

12 [†]Ελάχιστος δὲ ἀριθμὸς ὁ μὲν ἁπλῶς ἐστίν, ἡ [i] δυάς. Τὶς [k] δ' ἀριθμὸς [l] ἔστι μὲν ὡς ἔστιν, ἔστι δ' ὡς οὐκ ἔστιν, οἷον γραμμῆς [m] ἐλάχιστος πλήθει μέν ἐστιν αἱ δύο ἢ [n] ἡ μία, μεγέθει δ' οὐκ ἔστιν ἐλάχιστος· ἀεὶ γὰρ διαιρεῖται πᾶσα γραμμή. [w]Ωσθ' ὁμοίως καὶ [o] ὁ χρόνος· ἐλάχιστος [p] γὰρ κατὰ μὲν ἀριθμόν ἐστιν [q] ὁ εἷς ἢ [r] οἱ δύο, κατὰ μέγεθος δ' 2 οὐκ ἔστιν. Φανερὸν [s] δὲ καὶ [t] ὅτι [v] ταχὺς μὲν καὶ βραδὺς οὐ λέγεται, πολὺς δὲ καὶ ὀλίγος καὶ μακρὸς καὶ βραχύς. [w]†Ηι μὲν [x] γὰρ συνεχής, μακρὸς καὶ βραχύς, [y] ᾗ δ' ἀριθμός, πολὺς καὶ ὀλίγος. Ταχὺς [z] δὲ καὶ βραδὺς οὐκ ἔστιν· οὐδὲ [a] γὰρ 3 ἀριθμὸς ᾧ ἀριθμοῦμεν ταχὺς καὶ βραδύς [b] οὐδείς. Καὶ ὁ αὐτὸς [c] δὲ πανταχοῦ ἅμα· [d] πρότερον δὲ καὶ ὕστερον οὐχ ὁ αὐτός, ὅτι καὶ ἡ μεταβολὴ ἡ μὲν παροῦσα μία, ἡ δὲ γεγενη-

[t] αὐτῆς om. I. [v] τε om. E. [w] ὡς om. E.G. [x] οὐδὲν E.G. [y] νῦν τοῦ om. pr. F. [z] τῆς κινήσεως post χρόνου pr. F. [a] ἡ στιγμὴ H. [b] τῆς om. F. [c] αἱ om. F. [d] μόνου G. [e] ἐστὶν] ἐστὶ πέρατα H.I. [f] ἀρ. τῶνδε E, ἀρ. τῶν τῶνδε F. [g] καὶ τὸ ὕστερον I. [h] γὰρ] μὲν γὰρ F. [i] δυάς—δ' ὡς rc. supra lituram E. [k] δ'] δὲ ὁ G. [l] ἔστι μὲν ὡς ἔστιν] ἐστιν, ἔστι μὲν ὡς F, ἔστι μὲν ὡς G.H. [m] ἐλάχιστος ἀριθμὸς πλ. H. [n] ἡ om. F. [o] ὁ om. E.G.I. [p] γὰρ κατὰ μὲν] μὲν κατὰ I. [q] ὁ εἷς] οἷον E. [r] οἱ om. E.F. [s] δὲ] δὲ δὴ I. [t] διότι F.G.H. [v] βραδὺς μὲν καὶ ταχὺς H. [w] ᾗ μὲν—βραχύς om. G. [x] γὰρ om. I. [y] ᾗ] ὁ G. [z] δὲ om. G. [a] γὰρ] γὰρ ὁ E. [b] οὐδὲ εἷς H. [c] δὲ] δὴ E. [d] πρότερος δὲ καὶ ὕστερος G.

μένη καὶ ἡ μέλλουσα ἑτέρα. [t]Ὁ δὲ χρόνος ἀριθμός ἐστιν
οὐχ ᾧ ἀριθμοῦμεν ἀλλ' ὁ ἀριθμούμενος, οὗτος δὲ συμβαίνει
[e]πρότερον καὶ [f]ὕστερον ἀεὶ ἕτερος· [g]τὰ γὰρ νῦν ἕτερα.
[u]Εστι δὲ ὁ ἀριθμὸς εἷς [h]μὲν καὶ ὁ αὐτὸς ὁ τῶν ἑκατὸν ἵπ- 4
πων [i]καὶ ὁ τῶν ἑκατὸν ἀνθρώπων, ὧν [k]δ' ἀριθμός, ἕτερα, [l]οἱ
ἵπποι τῶν ἀνθρώπων. [v]Ετι ὡς ἐνδέχεται κίνησιν εἶναι τὴν
αὐτὴν καὶ μίαν πάλιν καὶ πάλιν, οὕτω καὶ [m]χρόνον, οἷον
ἐνιαυτὸν ἢ ἔαρ ἢ μετόπωρον. Οὐ μόνον δὲ τὴν κίνησιν τῷ 5
χρόνῳ μετροῦμεν, ἀλλὰ καὶ τῇ κινήσει τὸν χρόνον διὰ τὸ
ὁρίζεσθαι ὑπ' ἀλλήλων· ὁ μὲν γὰρ χρόνος ὁρίζει τὴν κίνησιν
ἀριθμὸς ὢν αὐτῆς, ἡ δὲ κίνησις τὸν χρόνον. Καὶ λέγομεν
πολὺν [n]ἢ ὀλίγον [o]χρόνον τῇ κινήσει μετροῦντες, καθάπερ
[p]καὶ τῷ ἀριθμητῷ τὸν ἀριθμόν, [q]οἷον τῷ ἑνὶ ἵππῳ τὸν τῶν
ἵππων ἀριθμόν. [r]Τῷ μὲν γὰρ ἀριθμῷ τὸ τῶν ἵππων πλῆθος
γνωρίζομεν, πάλιν δὲ τῷ [s]ἑνὶ ἵππῳ τὸν [t]τῶν ἵππων ἀριθμὸν
αὐτόν. [w]Ομοίως [v]δὲ καὶ ἐπὶ [w]τοῦ χρόνου [x]καὶ τῆς κινήσεως· 6
τῷ μὲν γὰρ χρόνῳ τὴν κίνησιν, τῇ δὲ κινήσει τὸν χρόνον
μετροῦμεν. Καὶ τοῦτ' εὐλόγως συμβέβηκεν· ἀκολουθεῖ γὰρ
τῷ [y]μὲν μεγέθει ἡ κίνησις, τῇ δὲ κινήσει ὁ χρόνος, τῷ καὶ
ποσὰ καὶ συνεχῆ καὶ διαιρετὰ εἶναι· διὰ μὲν γὰρ τὸ [z]τὸ μέ-
γεθος [a]εἶναι [b]τοιοῦτον ἡ κίνησις ταῦτα πέπονθεν, διὰ δὲ τὴν
κίνησιν ὁ χρόνος. Καὶ μετροῦμεν καὶ τὸ μέγεθος τῇ κινήσει 7
καὶ τὴν κίνησιν τῷ μεγέθει· πολλὴν γὰρ [c]εἶναί φαμεν τὴν
ὁδόν, ἂν [d]ᾖ [e]ἡ πορεία πολλή, [f]καὶ [g]ταύτην πολλήν, ἂν ἡ
ὁδὸς ᾖ πολλή. Καὶ τὸν χρόνον, ἂν ἡ κίνησις, καὶ τὴν κίνησιν,
ἂν ὁ χρόνος. [t]Επεὶ δ' [h]ἐστὶν ὁ χρόνος μέτρον κινήσεως καὶ 8

[e] *πρότερον*] *κατὰ τὸ πρότερον* I. [f] *ὕστερον καὶ πρότερον* H. [g] *τὰ* corr. E. [h] *μὲν* om. E. [i] *καὶ τῶν* I, *τῶν τε* H. [k] *δ'*] *δ' ὁ* H. [l] *οἱ ἵπποι τῶν*] *οἷον ἵππων καὶ* E. [m] *χρόνον ἐνδέχεται οἷον* F.G.H.I. [n] *ἢ*] *καὶ* E. [o] *χρόνον* om. H. [p] *καὶ* om. F. [q] *οἷον—ἀριθμόν* om. I. [r] *τῷ μὲν—αὐτόν* om. H. [s] *ἑνὶ*] *ἐν* E. [t] *τῶν ἵππων ἀρ. αὐτόν*] *αὐτῶν ἀρ.* E. [v] *δὲ* om. H. [w] *τοῦ*] *τῆς* F. [x] *καὶ τῆς* om. E.F. [y] *μὲν* om. F.I. [z] alterum *τὸ* om. E.F.I. [a] *εἶναι* om. G.H. [b] *τοσοῦτον καὶ ἡ* H. [c] *φαμεν εἶναι* G.H.I. [d] *ᾖ* om. E.F.G.H. [e] *ἡ* om. I. [f] *καὶ—πολλή* om. G. [g] *ταύτην φαμὲν εἶναι πολλὴν* H. [h] *ἐστιν* post *κινήσεως* I.

τοῦ κινεῖσθαι, μετρεῖ δ' [i]οὗτος τὴν κίνησιν τῷ [k]ὁρίσαι τινὰ κίνησιν ἢ [l]καταμετρήσει [m]τὴν ὅλην, ὥσπερ καὶ [n]τὸ μῆκος ὁ πῆχυς τῷ [o]ὡρίσθαι τι μέγεθος ὃ ἀναμετρήσει τὸ ὅλον, καὶ ἔστι τῇ κινήσει [p]τὸ ἐν χρόνῳ εἶναι τὸ μετρεῖσθαι [q]τῷ χρόνῳ καὶ [r]αὐτὴν καὶ τὸ εἶναι αὐτῆς· ἅμα γὰρ τὴν κίνησιν καὶ τὸ εἶναι τῇ κινήσει [s]μετρεῖ, καὶ τοῦτ' ἔστιν [t]αὐτῇ τὸ ἐν χρόνῳ
9 εἶναι, τὸ μετρεῖσθαι αὐτῆς τὸ εἶναι. [v]Δῆλον δ' ὅτι καὶ τοῖς ἄλλοις τοῦτ' ἔστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι [w]αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. Τὸ γὰρ ἐν χρόνῳ εἶναι [x]δυοῖν ἐστὶ θάτερον, ἓν μὲν τὸ εἶναι τότε ὅτε [y]ὁ χρόνος ἐστίν, ἓν δὲ [z]τὸ ὥσπερ ἔνια λέγομεν ὅτι ἐν ἀριθμῷ ἐστίν. Τοῦτο δὲ σημαίνει [a]ἤτοι ὡς μέρος ἀριθμοῦ καὶ πάθος, καὶ ὅλως [b]ὅτι
10 τοῦ ἀριθμοῦ τι, ἢ ὅτι ἔστιν αὐτοῦ ἀριθμός. [c]Ἐπεὶ δ' ἀριθμὸς ὁ χρόνος, τὸ μὲν νῦν καὶ τὸ πρότερον, καὶ [d]ὅσα τοιαῦτα οὕτως ἐν χρόνῳ ὡς ἐν ἀριθμῷ [e]μονὰς καὶ τὸ περιττὸν [f]καὶ ἄρτιον (τὰ μὲν γὰρ τοῦ ἀριθμοῦ [g]τι, τὰ δὲ τοῦ χρόνου τί ἐστι), τὰ δὲ πράγματα ὡς ἐν ἀριθμῷ τῷ χρόνῳ [h]ἐστίν. Εἰ δὲ τοῦτο, περιέχεται [i]ὑπ' ἀριθμοῦ ὥσπερ καὶ τὰ ἐν τόπῳ
11 [k]ὑπὸ τόπου. Φανερὸν δὲ [l]καὶ ὅτι οὐκ ἔστι τὸ ἐν χρόνῳ εἶναι τὸ εἶναι ὅτε [m]ὁ χρόνος ἐστίν, ὥσπερ οὐδὲ τὸ ἐν κινήσει εἶναι οὐδὲ τὸ ἐν τόπῳ [n]ὅτε ἡ κίνησις καὶ ὁ τόπος ἐστίν. Εἰ γὰρ ἔσται τὸ ἕν τινι οὕτως, πάντα τὰ πράγματα ἐν ὁτῳοῦν ἔσται, καὶ ὁ οὐρανὸς ἐν τῇ κέγχρῳ· ὅτε γὰρ ἡ κέγχρος ἐστίν, [o]ἔστι καὶ ὁ οὐρανός. [1]Ἀλλὰ τοῦτο μὲν συμβέβηκεν, ἐκεῖνο δ' ἀνάγκη παρακολουθεῖν καὶ τῷ ὄντι ἐν [p]χρόνῳ εἶναί τινα χρόνον, ὅτε κἀκεῖνό ἐστι, καὶ τῷ ἐν κινήσει ὄντι εἶναι τότε

[i] οὕτως F.G.I. [k] ὡρίσθαι G. [l] καταμετρῆσαι I. [m] τὴν ὅλην—ἀναμετρήσει om. F. [n] τὸ μῆκος καὶ πῆχυς G, ὁ πῆχυς τὸ μῆκος H.I. [o] ὁρίσαι E.G. [p] τῷ G. [q] τῷ χρόνῳ—μετρεῖσθαι om. F. [r] αὐτήν E. [s] μετρεῖ om. E. [t] αὐτῇ om. H. [v] δὲ δῆλον H. [w] αὐτοῖς I. [x] δυεῖν E, δυοῖν γάρ G. [y] ὁ om. F.I. [z] τὸ om. E. [a] ἤτοι] τὸ ἢ E. [b] ὅτε G. [c] δ'] δ' ἐστὶν E. [d] ὅσα ἄλλα τ. H. [e] μονάς τε καὶ H. [f] καὶ τὸ ἄρτιον F.H. [g] τι] ὅτι E. [h] ἐστιν] τι ἐστιν I. [i] ὑπ'] ὑπὸ τοῦ H. [k] ὑπὸ τοῦ τόπου F.G.H.I. [l] ὅτι καὶ G. [m] ὁ om. E. [n] ὅτε] εἶναι ὅτε H. [o] ἔστι post οὐρανός ponunt H.I, om. F. [p] χρόνῳ τὸ εἶναι H.

κίνησιν. [q]Επεὶ δ' ἐστὶν ὡς ἐν ἀριθμῷ τὸ ἐν χρόνῳ, ληφθή- 12
σεταί τις πλείων χρόνος παντὸς τοῦ ἐν χρόνῳ ὄντος· διὸ
ἀνάγκη πάντα [r]τὰ ἐν χρόνῳ ὄντα περιέχεσθαι [s]ὑπὸ χρόνου,
ὥσπερ καὶ τἆλλα ὅσα ἔν τινί [t]ἐστιν, οἷον τὰ ἐν τόπῳ ὑπὸ
τοῦ τόπου. [u]Καὶ [v]πάσχειν δή τι ὑπὸ τοῦ χρόνου, [w]καθά-
περ καὶ λέγειν εἰώθαμεν ὅτι κατατήκει ὁ χρόνος, καὶ γηρά-
σκει [x]πάνθ' ὑπὸ τοῦ χρόνου, [y]καὶ ἐπιλανθάνεται διὰ τὸν
χρόνον, ἀλλ' οὐ μεμάθηκεν, οὐδὲ νέον γέγονεν οὐδὲ καλόν·
φθορᾶς γὰρ [z]αἴτιος καθ' αὑτὸν μᾶλλον ὁ χρόνος· ἀριθμὸς
γὰρ κινήσεως, ἡ δὲ κίνησις ἐξίστησι τὸ ὑπάρχον. [w]Ὥστε 13
φανερὸν ὅτι [a]τὰ ἀεὶ ὄντα, ᾗ ἀεὶ ὄντα, οὐκ ἔστιν ἐν χρόνῳ·
οὐ γὰρ περιέχεται [b]ὑπὸ χρόνου, [c]οὐδὲ μετρεῖται τὸ εἶναι
αὐτῶν ὑπὸ τοῦ χρόνου· σημεῖον δὲ τούτου ὅτι οὐδὲ πάσχει
οὐδὲν ὑπὸ τοῦ χρόνου ὡς οὐκ ὄντα [d]ἐν χρόνῳ. [q]Επεὶ δ' ἐστὶν 14
ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον [e]κατὰ
συμβεβηκός· πᾶσα γὰρ ἠρεμία ἐν χρόνῳ. Οὐ γὰρ ὥσπερ
τὸ ἐν κινήσει ὂν ἀνάγκη κινεῖσθαι, οὕτω [f]καὶ τὸ ἐν χρόνῳ·
οὐ γὰρ κίνησις ὁ χρόνος, ἀλλ' ἀριθμὸς κινήσεως· ἐν ἀριθμῷ
δὲ κινήσεως ἐνδέχεται εἶναι καὶ τὸ [g]ἠρεμοῦν. Οὐ γὰρ πᾶν
τὸ ἀκίνητον ἠρεμεῖ, ἀλλὰ τὸ ἐστερημένον κινήσεως πεφυκὸς
δὲ κινεῖσθαι, καθάπερ εἴρηται ἐν τοῖς πρότερον. Τὸ δ' εἶναι 15
ἐν ἀριθμῷ ἐστὶ τὸ εἶναί τινα ἀριθμὸν τοῦ πράγματος, καὶ
μετρεῖσθαι τὸ εἶναι [h]αὐτοῦ τῷ ἀριθμῷ ἐν ᾧ ἐστίν, [i]ὥστ' εἰ
ἐν χρόνῳ, ὑπὸ χρόνου. Μετρήσει δ' ὁ χρόνος τὸ κινούμενον
καὶ τὸ ἠρεμοῦν, ᾗ τὸ μὲν κινούμενον τὸ δὲ ἠρεμοῦν· τὴν γὰρ
κίνησιν αὐτῶν μετρήσει καὶ τὴν ἠρεμίαν, πόση τις. [w]Ὥστε
τὸ κινούμενον οὐχ ἁπλῶς ἔσται μετρητὸν ὑπὸ [k]χρόνου, [l]ᾗ

[q] τὰ om. E. [r] ὑπὸ τοῦ χρόνου F.H.I. [s] ἔστω E. [t] καὶ om. F. [v] πάσχει E.H. [w] καθάπερ καὶ λ. εἰώθαμεν om. F. [x] πᾶν E. [y] καὶ ἐπιλ. διὰ τὸν χρόνον] οὐδὲ μετρεῖται τὸ εἶναι αὐτοῦ ὑπὸ τοῦ χρόνου F. [z] αἴτιον καθ' ἑαυτὸν E. [a] τὰ om. E. [b] ὑπὸ τοῦ χρόνου F. [c] οὐδὲ— χρόνου om. G. [d] ἐν τῷ χρόνῳ I. [e] κατὰ συμβεβηκός om. E. [f] καὶ ἐν τῷ χρόνῳ. Οὐ γὰρ ἡ κίνησις I. [g] ἠρεμοῦν] ἠρεμεῖν F. [h] αὐτῷ E. [i] ὥστε καὶ ἐν χρόνῳ τὸ ὑπὸ χρόνου καὶ μέρος χρόνου μετρήσει E. [k] χρόνῳ pr. F, τοῦ χρόνου E.H. [l] ᾗ ποσόν τι ἐστὶν om. pr. E.

ποσόν τί ἐστιν, ἀλλ' [m] ᾗ ἡ κίνησις αὐτοῦ [n] ποσή. [v] Ὥσθ' ὅσα [o] μήτε κινεῖται μήτ' ἠρεμεῖ, [p] οὐκ ἔστιν ἐν χρόνῳ· τὸ [q] μὲν γὰρ ἐν χρόνῳ [r] εἶναι τὸ μετρεῖσθαί [s] ἐστι χρόνῳ, ὁ δὲ χρόνος
16 κινήσεως [t] καὶ ἠρεμίας μέτρον. Φανερὸν οὖν ὅτι οὐδὲ τὸ μὴ ὂν ἔσται πᾶν ἐν χρόνῳ, οἷον ὅσα [v] μὴ ἐνδέχεται ἄλλως, ὥσπερ τὸ τὴν διάμετρον εἶναι τῇ πλευρᾷ σύμμετρον. [w] [v] Ὅλως γάρ, εἰ μέτρον [x] μέν ἐστι [y] κινήσεως ὁ χρόνος καθ' αὑτό, τῶν δ' ἄλλων κατὰ συμβεβηκός, δῆλον ὅτι ὧν τὸ εἶναι μετρεῖ, τού-
17 τοις ἅπασιν [z] ἔσται τὸ εἶναι ἐν τῷ ἠρεμεῖν ἢ κινεῖσθαι. [v] Ὅσα μὲν οὖν φθαρτὰ καὶ [a] γενητὰ καὶ ὅλως ὁτὲ μὲν ὄντα ὁτὲ δὲ [b] μή, ἀνάγκη ἐν χρόνῳ εἶναι· ἔστι γὰρ χρόνος τις πλείων, [c] ὃς [d] ὑπερέξει τοῦ [e] τε εἶναι αὐτῶν καὶ τοῦ μετροῦντος τὴν [f] οὐσίαν· τῶν δὲ μὴ ὄντων ὅσα μὲν περιέχει ὁ χρόνος, τὰ μὲν ἦν, οἷον [v] Ὁμηρός ποτε ἦν, τὰ δὲ ἔσται, [g] οἷον τῶν μελλόντων τι, ἐφ' [h] ὁπότερα περιέχει· [i] καὶ εἰ ἐπ' [k] ἄμφω, ἀμφότερα καὶ ἦν καὶ ἔσται· [l] ὅσα δὲ μὴ [m] περιέχει [n] μηδαμῇ, οὔτ' ἦν
18 [o] οὔτ' ἔστιν οὔτ' ἔσται. [v] Ἔστι δὲ τὰ τοιαῦτα τῶν μὴ ὄντων, ὅσων τἀντικείμενα ἀεί ἐστιν, οἷον τὸ ἀσύμμετρον εἶναι τὴν διάμετρον ἀεί [p] ἐστι, καὶ οὐκ ἔσται τοῦτ' ἐν χρόνῳ. Οὐ τοίνυν οὐδὲ τὸ [q] σύμμετρον· διὸ ἀεὶ οὐκ ἔστιν, ὅτι ἐναντίον τῷ ἀεὶ ὄντι. [v] Ὅσων δὲ τὸ ἐναντίον μὴ ἀεί, ταῦτα [r] δὲ δύνα-ται [s] καὶ εἶναι καὶ μή, καὶ ἔστι γένεσις καὶ φθορὰ αὐτῶν.

13 Τὸ δὲ νῦν ἐστὶ συνέχεια χρόνου, ὥσπερ ἐλέχθη· συνέχει γὰρ [t] τὸν χρόνον τὸν [v] παρελθόντα καὶ [w] ἐσόμενον, καὶ [x] ὅλως πέρας χρόνου ἐστίν· ἔστι γὰρ τοῦ μὲν ἀρχή, τοῦ δὲ τελευτή.

[m] ᾗ om. E.I. [n] ποσή τις. Ὥσθ' H. [o] μήτε] μὴ F.H. [p] οὐδὲ E. [q] μὲν om. F. [r] εἶναι—χρόνῳ om. pr. E. [s] ἐστι τὸ μετρεῖσθαι F.G.I. [t] καὶ] ἐστι καὶ H. [v] μὴ om. E. [w] ὅλως μὲν γὰρ H. [x] μέν om. G. [y] κινήσεως ante ἐστι ponit H, post χρόνος F.G.I. [z] ἐστὶ F. [a] γεν-νητὰ F.I. [b] μή] μὴ ὄντα H. [c] ὃς] ὅσων G. [d] ὑπάρξει I. [e] τε om. F.G.H.I. [f] οὐσίαν αὐτῶν τῶν E. [g] οἷον om. E. [h] ὁ πότερα I. [i] καὶ εἰ—ἔσται om. E. [k] ἄμφω om. H. [l] ὅσα] ὧν H.I. [m] περιέχει om. E. [n] μηδὲν H, om. E. [o] οὔτ' ἔστιν om. I. [p] ἔσται H. [q] σύμμετρον εἶναι διὸ H. [r] δὲ om. F. [s] καὶ ante εἶναι om. E. [t] τὸν χρόνον om. F. [v] παρεληλυθότα G. [w] ἐρχόμενον χρόνον καὶ F. [x] ὅλως om. E.

[a]Αλλὰ τοῦτ' οὐχ ὥσπερ ἐπὶ τῆς στιγμῆς μενούσης φανερόν. Διαιρεῖ δὲ δυνάμει. Καὶ ἡ μὲν [y]τοιοῦτο, ἀεὶ ἕτερον τὸ νῦν, ἡ δὲ συνδεῖ, ἀεὶ τὸ αὐτό, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν γραμμῶν. Οὐ γὰρ ἡ αὐτὴ ἀεὶ [z]μία στιγμὴ τῇ [a]νοήσει· διαιρούντων [b]γὰρ [c]ἄλλη· ἡ δὲ μία, ἡ αὐτὴ [d]πάντῃ. [e]Οὕτω 2
καὶ τὸ νῦν τὸ μὲν τοῦ χρόνου διαίρεσις κατὰ δύναμιν, τὸ δὲ πέρας ἀμφοῖν καὶ ἑνότης· ἔστι δὲ ταὐτὸ καὶ [f]κατὰ ταὐτὸ ἡ διαίρεσις καὶ ἡ ἕνωσις, τὸ δ' εἶναι οὐ [g]ταὐτό. Τὸ [h]μὲν οὕτω λέγεται [i]τῶν νῦν, [k]ἄλλο δ' ὅταν ὁ χρόνος ὁ τούτου ἐγγὺς [l]ᾖ. [m]Ἥξει νῦν, ὅτι τήμερον ἥξει· [m]ἥκει νῦν, ὅτι ἦλθε τήμερον. Τὰ δ' ἐν [n]Ἰλίῳ γέγονεν οὐ νῦν, [n]οὐδ' ὁ κατακλυσμὸς [o]γέγονε νῦν· καίτοι [p]συνεχὴς χρόνος [q]εἰς αὐτά, ἀλλ' ὅτι οὐκ ἐγγύς. Τὸ δὲ ποτέ χρόνος ὡρισμένος πρὸς τὸ πρό- 3
τερον νῦν, οἷον ποτὲ ἐλήφθη [r]Τροία, καὶ ποτὲ ἔσται κατακλυσμός· δεῖ γὰρ πεπεράνθαι πρὸς τὸ νῦν. [s]Ἔσται ἄρα ποσός τις ἀπὸ τοῦδε [s]χρόνος [t]καὶ [v]εἰς ἐκεῖνο, καὶ ἦν εἰς τὸ παρελθόν· εἰ δὲ [w]μηδεὶς χρόνος ὃς οὔ ποτε, πᾶς ἂν εἴη χρόνος πεπερασμένος. [x]Ἆρ' οὖν ὑπολείψει; [y]Ἢ οὔ, εἴπερ [z]ἀεί ἐστι κίνησις. [a]Ἄλλος οὖν ἢ [y]ὁ αὐτὸς πολλάκις; Δῆλον [z]ὅτι ὡς [a]ἂν ἡ κίνησις, οὕτω [b]καὶ ὁ χρόνος· εἰ μὲν γὰρ ἡ αὐτὴ καὶ μία γίνεταί ποτε, ἔσται καὶ χρόνος εἷς καὶ ὁ αὐτός, εἰ δὲ μή, οὐκ ἔσται. [c]Ἐπεὶ δὲ τὸ νῦν τελευτὴ καὶ [d]ἀρχὴ χρόνου, 4
ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τοῦ μὲν παρήκοντος τελευτή, ἀρχὴ δὲ τοῦ μέλλοντος, ἔχοι ἂν ὥσπερ ὁ κύκλος ἐν τῷ αὐτῷ πως [e]τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὕτω καὶ ὁ χρόνος ἀεὶ ἐν ἀρχῇ καὶ τελευτῇ, καὶ διὰ τοῦτο δοκεῖ ἀεὶ ἕτερος. Οὐ γὰρ τοῦ

[y] τοιοῦτον F.G.H.I. [z] μία ante ἀεὶ F, om. E.H. [a] νοήσει καὶ ἀεὶ διαιρ. E. [b] γὰρ om. E. [c] ἄλλη καὶ ἄλλη ἡ F. [d] πάντῃ om. G. [e] οὕτω δὲ καὶ H. [f] κατ' αὐτὸ E.H. [g] ταυτόν H. [h] μὲν οὖν οὕτω G.H.I. [i] τῶν] τὸ corr. E. [k] ἄλλο δ' ὅταν] τὸ δ' ἄλλως corr. E. [l] ᾖ] ᾖ ἐστιν corr. E. [m] ἥξει γὰρ νῦν ὅτι τήμερον ἥξει, καὶ ἥκει νῦν ὅτι ἦκε H. [n] οὐδ' —νῦν om. E. [o] γέγονε] ἔσται H. [p] συνεχὴς ὁ χρ. E, συνεχής ἐστι χρ. H. [q] εἰς αὐτά] εἷς ὁ αὐτός H. [r] ἡ Τροία F. [s] ὁ χρόνος F. [t] καὶ ante εἰς om. G.H. [v] εἰς post καὶ om. G. [w] μὴ εἷς F, μηδὲ εἷς G.I. [x] αἰεί E.G. [y] ὁ om. H. [z] ὅτι] δ' ὅτι H. [a] ἂν εἴη ἡ F. [b] καὶ ante χρ. om. F.G.H.I. [c] ἐπειδὴ τὸ E. [d] ἀρχὴ τοῦ χρόνου F. [e] τὸ om. H.

αὐτοῦ ἀρχὴ καὶ τελευτὴ τὸ νῦν· ἅμα γὰρ ἂν καὶ κατὰ τὸ αὐτὸ [f]τὰ ἀντικείμενα εἴη καὶ οὐχ ὑπολείψει δή· ἀεὶ γὰρ ἐν
5 ἀρχῇ. Τὸ δ' ἤδη τὸ ἐγγύς ἐστι τοῦ παρόντος νῦν ἀτόμου μέρος τοῦ μέλλοντος χρόνου. Πότε [g]βαδίζεις; [q]Ηδη, ὅτι ἐγγὺς ὁ χρόνος ἐν ᾧ μέλλει. Καὶ τοῦ [h]παρεληλυθότος χρόνου τὸ μὴ πόρρω τοῦ νῦν. Πότε [i]βαδίζεις; [q]Ηδη βεβάδικα. Τὸ [k]δὲ [q]Ιλιον φάναι ἤδη ἑαλωκέναι οὐ λέγομεν,
6 ὅτι [l]πόρρω λίαν τοῦ νῦν. Καὶ τὸ ἄρτι τὸ ἐγγὺς τοῦ παρόντος νῦν, τὸ μόριον τοῦ παρελθόντος. Πότε [m]ἦλθες; [q]Αρτι, ἐὰν ᾖ [n]ὁ χρόνος ἐγγὺς τοῦ ἐνεστῶτος νῦν. Πάλαι
7 δὲ τὸ πόρρω. Τὸ δ' ἐξαίφνης τὸ ἐν [o]ἀναισθήτῳ χρόνῳ [p]διὰ μικρότητα ἐκστάν· μεταβολὴ δὲ πᾶσα φύσει [q]ἐκστατικόν. [r]Εν δὲ τῷ χρόνῳ πάντα γίνεται καὶ φθείρεται· διὸ καὶ οἱ μὲν σοφώτατον ἔλεγον, ὁ δὲ Πυθαγόρειος Πάρων ἀμαθέστατον, ὅτι καὶ ἐπιλανθάνονται ἐν τούτῳ, λέγων ὀρθότερον. Δῆλον οὖν ὅτι φθορᾶς μᾶλλον ἔσται καθ' αὑτὸν
8 αἴτιος ἢ γενέσεως, καθάπερ ἐλέχθη καὶ πρότερον (ἐκστατικὸν γὰρ ἡ μεταβολὴ καθ' αὑτήν), γενέσεως δὲ καὶ τοῦ εἶναι κατὰ συμβεβηκός. Σημεῖον δὲ ἱκανὸν [r]ὅτι γίνεται μὲν [s]οὐδὲν ἄνευ τοῦ κινεῖσθαί πως αὐτὸ καὶ πράττειν, φθείρεται [t]δὲ καὶ μηδὲν κινούμενον. Καὶ ταύτην μάλιστα λέγειν [u]εἰώθαμεν ὑπὸ τοῦ χρόνου φθοράν. [v]Οὐ μὴν ἀλλ' οὐδὲ ταύτην ὁ χρόνος ποιεῖ, ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίνεσθαι καὶ ταύτην τὴν
9 μεταβολήν. [q]Οτι μὲν οὖν ἔστιν ὁ χρόνος [w]καὶ τί, καὶ ποσαχῶς [x]λέγομεν τὸ νῦν, καὶ [y]τί τὸ ποτὲ καὶ [z]τὸ ἄρτι [a]καὶ τὸ ἤδη [b]καὶ τὸ πάλαι καὶ τὸ ἐξαίφνης, εἴρηται.

14 Τούτων δ' ἡμῖν [c]οὕτω διηριθμημένων φανερὸν ὅτι [d]πᾶσα

[f] τὰ ἀντ.] τἀναντία ἂν E. [g] βαδίσεις G.H, δὴ βαδίζεις F. [h] παρέλθοντος F.G.H.I. [i] βαδίσεις F.H. [k] δὲ] δὲ τὸ E.H. [l] λίαν πόρρω E.H. [m] ἦλθεν G. [n] ὁ χρόνος ὁ ἐγγὺς E. [o] ἀνεπαισθήτω H. [p] διὰ μικρ. ἐκστάν om. E, ἐκστάν om. G.H. [q] ἐκστατική F. [r] ὅτι γίν. μὲν] γίν. μὲν γὰρ H. [s] μηδὲν G. [t] δὲ] γὰρ G. [u] εἴωθα E. [v] οὐ μὴν om. E. [w] καὶ τίς E, om. H. [x] λέγεται H. [y] τί τε E. [z] τὸ post καὶ om. E. [a] καὶ τί τὸ ἤδη G.H.I. [b] τὸ ante π. om. E.G. [c] οὕτω διηρημένων I, ὧδε διωρισμένων H. [d] ἅπασα ἡ μεταβολὴ H, ἅπασαν μεταβολὴν F.G.I.

μεταβολὴ καὶ ἅπαν τὸ κινούμενον [e]ἐν χρόνῳ· τὸ γὰρ θᾶττον καὶ βραδύτερον [f]κατὰ πᾶσάν ἐστι μεταβολήν· ἐν [g]πᾶσι γὰρ οὕτω φαίνεται. Λέγω δὲ θᾶττον κινεῖσθαι τὸ πρότερον μεταβάλλον εἰς τὸ ὑποκείμενον κατὰ τὸ αὐτὸ διάστημα καὶ ὁμαλὴν κίνησιν κινούμενον, [h]οἷον ἐπὶ τῆς φορᾶς, εἰ ἄμφω κατὰ τὴν [i]περιφερῆ κινεῖται ἢ ἄμφω κατὰ τὴν εὐθεῖαν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. [1]Ἀλλὰ μὴν τό [k]γε πρότερον ἐν 2
χρόνῳ ἐστίν· πρότερον γὰρ καὶ ὕστερον λέγομεν κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν, τὸ δὲ νῦν ὅρος τοῦ παρήκοντος καὶ τοῦ μέλλοντος· ὥστ' ἐπεὶ τὰ νῦν ἐν [l]χρόνῳ, καὶ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ ἔσται· ἐν ᾧ γὰρ τὸ [m]νῦν, καὶ ἡ τοῦ νῦν ἀπόστασις. [1]Ἐναντίως δὲ λέγεται τὸ πρότερον κατά 3
τε τὸν παρεληλυθότα [n]χρόνον καὶ τὸν μέλλοντα· ἐν μὲν γὰρ τῷ παρεληλυθότι πρότερον λέγομεν τὸ πορρώτερον τοῦ νῦν, ὕστερον δὲ τὸ ἐγγύτερον, ἐν δὲ τῷ μέλλοντι πρότερον μὲν τὸ ἐγγύτερον, ὕστερον δὲ τὸ πορρώτερον. [v]Ὥστ' ἐπεὶ [o]τὸ μὲν πρότερον ἐν χρόνῳ, πάσῃ δ' ἀκολουθεῖ κινήσει τὸ πρότερον, φανερὸν ὅτι πᾶσα μεταβολὴ καὶ [p]πᾶσα κίνησις ἐν χρόνῳ ἐστίν.

[1]Ἄξιον δ' ἐπισκέψεως καὶ πῶς ποτὲ ἔχει ὁ χρόνος πρὸς 4
τὴν ψυχήν, καὶ διὰ τί [q]ἐν παντὶ δοκεῖ εἶναι [r]ὁ [s]χρόνος, καὶ ἐν γῇ καὶ [t]ἐν θαλάττῃ καὶ ἐν οὐρανῷ. [v][u]Ἢ [w]ὅτι κινήσεώς τι πάθος ἢ ἕξις, ἀριθμός γε ὤν, ταῦτα δὲ κινητὰ πάντα. [1]Ἐν τόπῳ γὰρ πάντα· ὁ δὲ [x]χρόνος καὶ ἡ κίνησις ἅμα κατά τε δύναμιν καὶ κατ' ἐνέργειαν. Πότερον δὲ μὴ [y]οὔσης ψυχῆς 5
εἴη ἂν ὁ χρόνος ἢ οὔ, ἀπορήσειεν ἄν τις· ἀδυνάτου γὰρ ὄντος [z]εἶναι τοῦ ἀριθμήσοντος ἀδύνατον καὶ ἀριθμητόν τι εἶναι, ὥστε δῆλον ὅτι [a]οὐδ' ἀριθμός· ἀριθμὸς γὰρ ἢ [b]τὸ ἠριθμη-

[e] *ἐν*] *ἀνάγκη κινεῖσθαι ἐν* F.G.H.I. [f] *κατὰ*] *καὶ* G. [g] *πᾶσι*] *ἁπάσαις* H. [h] *οἷον* om. E. [i] *περιφέρειαν* H. [k] *γε* om. F. [l] *χρόνῳ δηλονότι καὶ τὰ πρότερον καὶ τὰ ὕστερον ἐν* H. [m] *νῦν ἐστι καὶ* H. [n] *καὶ τὸν μέλλοντα χρόνον* E. [o] *τὸ* om. E. [p] *πᾶσα* om. H. [q] *δοκεῖ ἐν ἅπαντι* H. [r] *ὁ* om. F. [s] *χρόνος οἷον καὶ* H. [t] *ἐν* ante *θ.* om. F, ante *οὐρ.* om. F.G. [v] *ἢ* om. E.I. [w] *διότι* I. [x] *χρόνος*] *τόπος* I. [y] *οὔσης τῆς ψυχῆς* F.G.H.I. [z] *εἶναι* om. F. [a] *οὐδ' ὁ ἀριθμός* G. [b] *ἀριθμούμενον* F.

μένον ἢ τὸ ἀριθμητόν. Εἰ δὲ μηδὲν ἄλλο πέφυκεν [c]ἀριθμεῖν ἢ ψυχὴ καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον ψυχῆς μὴ οὔσης, ἀλλ' [d]ἢ τοῦτο ὅ ποτε ὄν ἐστιν ὁ χρόνος, οἷον εἰ ἐνδέχεται κίνησιν [e]εἶναι ἄνευ ψυχῆς. Τὸ [f]δὲ πρότερον καὶ ὕστερον ἐν κινήσει [g]ἐστίν· χρόνος δὲ ταῦτ' ἐστὶν ᾗ ἀριθμητά
6 ἐστιν. [i]Ἀπορήσειε δ' ἄν τις καὶ ποίας κινήσεως ὁ χρόνος [h]ἀριθμός. [ii]Ἢ ὁποιασοῦν; Καὶ γὰρ γίνεται [i]ἐν χρόνῳ [k]καὶ φθείρεται καὶ [l]αὐξάνεται, καὶ ἀλλοιοῦται ἐν χρόνῳ καὶ [m]φέρεται· [n]ᾗ οὖν κίνησίς ἐστι, ταύτῃ ἐστὶν ἑκάστης κινήσεως ἀριθμός. Διὸ κινήσεώς [o]ἐστιν ἁπλῶς ἀριθμὸς συνεχοῦς, ἀλλ' οὐ τινός. [i]Ἀλλ' ἔστι νῦν [p]κεκινῆσθαι καὶ [q]ἄλλα, ὧν ἑκατέρας τῆς κινήσεως εἴη ἂν ἀριθμός. [iii]Ἕτερος οὖν χρόνος ἔστι, καὶ ἅμα δύο [r]ἴσοι χρόνοι ἂν εἶεν, [s]ἢ οὔ; [i]Ὁ [t]αὐτὸς γὰρ χρόνος εἷς [v]ὁμοίως καὶ ἅμα· εἴδει δὲ [w]καὶ οἱ μὴ ἅμα· εἰ γὰρ [x]εἶεν κύνες, οἱ δ' ἵπποι, ἑκάτεροι δ' ἑπτά, ὁ αὐτὸς ἀρι-
7 θμός. [y]Οὕτω καὶ τῶν κινήσεων τῶν ἅμα περαινομένων ὁ αὐτὸς χρόνος, ἀλλ' ἡ μὲν ταχεῖα ἴσως ἡ δ' οὔ, καὶ ἡ μὲν φορὰ ἡ δ' ἀλλοίωσις. [i]Ὁ μέντοι χρόνος ὁ αὐτός, εἴπερ καὶ ὁ ἀριθμὸς ἴσος, καὶ ἅμα, τῆς τε [z]ἀλλοιώσεως καὶ τῆς φορᾶς· καὶ διὰ τοῦτο αἱ μὲν κινήσεις ἕτεραι καὶ χωρίς, ὁ δὲ χρόνος [a]πανταχοῦ ὁ αὐτός, ὅτι καὶ ὁ ἀριθμὸς εἷς καὶ ὁ αὐτὸς [b]πανταχοῦ
8 ὁ τῶν ἴσων καὶ ἅμα. [i]Ἐπεὶ δ' ἐστὶ φορὰ καὶ ταύτης ἡ κύκλῳ, ἀριθμεῖται δ' ἕκαστον [c]ἑνί [d]τινι συγγενεῖ, μονάδες μονάδι, ἵπποι [e]δ' ἵππῳ, οὕτω καὶ [f]ὁ χρόνος [g]χρόνῳ τινὶ ὡρισμένῳ. Μετρεῖται δ' ὥσπερ εἴπομεν, ὅ τε χρόνος κινήσει καὶ ἡ κίνησις χρόνῳ. Τοῦτο δ' ἐστίν, ὅτι ὑπὸ τῆς ὡρισμένης κινήσεως

[c] ἢ ψυχὴ ἀριθμεῖν F.G.I. [d] ἢ] ἀεὶ E. [e] εἶναι om. F. [f] δὲ] τε H. [g] ἐστιν. Ὁ χρόνος E. [h] ἀριθμὸς ὁ χρόνος H. [i] ἐν χρόνῳ om. I. [k] καὶ φθείρεται om. E.F.G, ante καὶ ἀλλοιοῦται ponit H. [l] αὔξεται G H. [m] φθείρεται pr. E. [n] ᾗ] εἰ E. [o] ἁπλῶς ἀριθμός ἐστι F.G.H.I. [p] καὶ κινεῖσθαι H, κινεῖσθαι G. [q] ἄλλο G. [r] χρόνοι ἴσοι H. [s] ἢ οὔ om. E. [t] αὐτὸς] ἅπας G.I. [v] ὁμοίως καὶ] καὶ ἴσος καὶ πᾶς H. [w] καὶ post δὲ om. E. [x] εἶεν] οἱ μὲν εἶεν E, εἶεν οἱ μὲν H. [y] οὕτω δὲ καὶ F.G.I. [z] φορᾶς καὶ τῆς ἀλλοιώσεως H. [a] πανταχῆ H. [b] πανταχῆ E. [c] ἑνί] ἕν I. [d] τινι om. E. [e] δ' om. H. [f] ὁ om. E. [g] ὡρισμένῳ τινὶ χρόνῳ H.

χρόνῳ μετρεῖται τῆς [h]τε κινήσεως τὸ ποσὸν καὶ τοῦ χρόνου. Εἰ οὖν τὸ πρῶτον μέτρον [i]πάντων τῶν συγγενῶν, ἡ κυκλοφορία ἡ [k]ὁμαλὴς μέτρον μάλιστα, ὅτι [l]ὁ ἀριθμὸς ὁ ταύτης γνωριμώτατος. [4]Ἀλλοίωσις μὲν οὖν οὐδ' αὔξησις οὐδὲ γένεσις 9
οὐκ εἰσὶν ὁμαλεῖς, φορὰ δ' ἐστίν. Διὸ καὶ δοκεῖ [m]ὁ χρόνος εἶναι [n]ἡ τῆς σφαίρας κίνησις, ὅτι ταύτῃ μετροῦνται αἱ ἄλλαι κινήσεις καὶ ὁ χρόνος ταύτῃ τῇ κινήσει. Διὰ δὲ τοῦτο καὶ τὸ εἰωθὸς λέγεσθαι συμβαίνει· φασὶ γὰρ κύκλον εἶναι τὰ ἀνθρώπινα πράγματα, καὶ τῶν ἄλλων τῶν κίνησιν ἐχόντων φυσικὴν καὶ γένεσιν καὶ φθοράν. Τοῦτο δ', ὅτι [o]ταῦτα 10
πάντα τῷ χρόνῳ κρίνεται, καὶ λαμβάνει τελευτὴν καὶ ἀρχὴν ὥσπερ ἂν εἰ κατά τινα περίοδον· καὶ γὰρ ὁ χρόνος [p]αὐτὸς [q]εἶναι δοκεῖ κύκλος τις. Τοῦτο δὲ πάλιν δοκεῖ, διότι τοιαύτης [r]ἐστὶ φορᾶς μέτρον καὶ μετρεῖται [s]αὐτὸς ὑπὸ [t]τοιαύτης. [u]Ὥστε τὸ λέγειν εἶναι τὰ γινόμενα τῶν πραγμάτων κύκλον [v]τὸ λέγειν [w]ἐστὶ τοῦ χρόνου [x]εἶναί τινα κύκλον· τοῦτο δ', ὅτι μετρεῖται τῇ κυκλοφορίᾳ· παρὰ γὰρ τὸ [y]μέτρον οὐδὲν ἄλλο παρεμφαίνεται τὸ μετρούμενον, ἀλλ' ἢ πλείω μέτρα τὸ ὅλον. Λέγεται δ' ὀρθῶς καὶ [z]ὅτι ἀριθμὸς μὲν ὁ αὐτὸς 11
[a]ὁ τῶν προβάτων [b]καὶ τῶν κυνῶν, εἰ ἴσος ἑκάτερος, δεκὰς δὲ οὐχ ἡ αὐτὴ [c]οὐδὲ δέκα [d]ταὐτά, ὥσπερ οὐδὲ τρίγωνα τὰ αὐτὰ τὸ ἰσόπλευρον, καὶ [e]τὸ [f]σκαληνές. Καίτοι σχῆμά γε ταὐτό, ὅτι τρίγωνα ἄμφω· [g]ταὐτὸ γὰρ λέγεται οὗ μὴ διαφέρει [h]διαφορᾷ, ἀλλ' οὐχὶ οὗ διαφέρει, οἷον [i]τρίγωνον τριγώνου διαφορᾷ διαφέρει· τοιγαροῦν ἕτερα τρίγωνα· [k]σχήματος [l]δὲ οὔ, ἀλλ' ἐν τῇ αὐτῇ διαιρέσει καὶ μιᾷ. [m]Σχῆμα γὰρ τὸ μὲν τοιόνδε κύκλος, τὸ δὲ τοιόνδε τρίγωνον, τούτου δὲ τὸ μὲν

[h] τε] δὲ E, om. F. [i] ἁπάντων H. [k] ὁμαλὴ I. [l] ὁ om. E. [m] ὁ om. F. [n] σφαίρας ἡ κ. F. [o] ταῦτα om. E. [p] αὐτὸς om. H. [q] εἶναι post τις F. [r] φορᾶς ἐστὶ F.G.I. [s] αὐτὸς] ὁ αὐτὸς G. [t] τοιαύτης φορᾶς. Ὡς τὸ E. [v] τὸ—κύκλον om. H. [w] ἐστὶ τὸ τοῦ F. [x] τινα εἶναι I. [y] μέτρον] μετροῦν F. [z] ὅτι ὁ ἀρ. F.H.I. [a] ὁ post αὐτὸς om. E. [b] καὶ ὁ τῶν H. [c] οὐδὲ δ. ταυτά om. F. [d] τὰ αὐτά E.I. [e] τὸ ante σκ. om. E. [f] σκαληνόν F.H, σκαληνες αλλα E. [g] ταυτὸν H. [h] διαφορὰ F. [i] τρίγωνον om. E. [k] σχήματα F, σχῆμα I. [l] δὲ] δὲ σχήματος I, δέ γε G.H, et corr. E. [m] γάρ ἐστι τὸ H.

12 τοιόνδε ἰσόπλευρον, τὸ δὲ τοιόνδε [n] σκαληνές. Σχῆμα [o] μὲν οὖν τὸ αὐτὸ καὶ [p] τοῦτο (τρίγωνον γάρ), τρίγωνον δ' οὐ τὸ αὐτό. Καὶ [q] ὁ ἀριθμὸς [r] δὴ ὁ αὐτός· οὐ γὰρ διαφέρει ἀριθμοῦ διαφορᾷ ὁ ἀριθμὸς αὐτῶν· δεκὰς δ' οὐχ ἡ αὐτή· ἐφ' ὧν γὰρ λέγεται, διαφέρει· τὰ μὲν γὰρ κύνες, τὰ δ' ἵπποι. Καὶ περὶ μὲν χρόνου καὶ αὐτοῦ καὶ τῶν περὶ αὐτὸν οἰκείων τῇ σκέψει εἴρηται.

[s] E.

Μεταβάλλει δὲ τὸ μεταβάλλον πᾶν τὸ μὲν κατὰ συμβεβηκός, [t] οἷον ὅταν [u] λέγωμεν [v] τὸ μουσικὸν βαδίζειν, ὅτι ᾧ συμβέβηκε μουσικῷ [w] εἶναι, τοῦτο βαδίζει· τὸ δὲ τῷ τούτου τι μεταβάλλειν ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα λέγεται κατὰ μέρη· ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλ-
2 μὸς ἢ ὁ θώραξ, ταῦτα δὲ μέρη τοῦ ὅλου σώματος. [1] Ἔστι [x] δὲ δή τι ὃ οὔτε κατὰ συμβεβηκὸς κινεῖται οὔτε τῷ ἄλλο τι τῶν αὐτοῦ, ἀλλὰ τῷ αὐτὸ κινεῖσθαι πρῶτον. Καὶ τοῦτ' ἐστὶ τὸ καθ' [y] αὐτὸ κινητόν, κατ' ἄλλην δὲ κίνησιν ἕτερον, οἷον ἀλλοιωτόν, καὶ ἀλλοιώσεως ὑγιαντὸν ἢ θερμαντὸν ἕτερον. [1] Ἔστι δὲ καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως· τὸ μὲν γὰρ [z] κατὰ συμβεβηκὸς [a] κινεῖ, τὸ δὲ κατὰ μέρος τῷ [b] τῶν τούτου τι, τὸ δὲ καθ' [c] αὐτὸ πρῶτον, οἷον ὁ μὲν ἰατρὸς ἰᾶται, ἡ δὲ
3 χεὶρ [d] πλήττει. [1] Ἐπεὶ δ' ἔστι μέν [e] τι τὸ κινοῦν πρῶτον, ἔστι δέ τι τὸ κινούμενον, ἔτι ἐν ᾧ, ὁ χρόνος, καὶ παρὰ ταῦτα ἐξ οὗ καὶ εἰς ὅ· πᾶσα γὰρ κίνησις ἔκ τινος καὶ εἴς τι· ἕτερον γὰρ τὸ [f] πρῶτον κινούμενον καὶ εἰς ὃ κινεῖται καὶ ἐξ οὗ, οἷον τὸ ξύλον καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν. Τούτων δὲ τὸ μὲν
4 ὅ, τὸ δ' εἰς ὅ, τὸ δ' ἐξ οὗ. [1] Ἡ [g] δὴ κίνησις δῆλον ὅτι ἐν τῷ ξύλῳ, οὐκ ἐν τῷ εἴδει· οὔτε γὰρ κινεῖ οὔτε κινεῖται τὸ εἶδος ἢ

[n] σκαληνόν F.H. [o] μὲν om. H. [p] τοῦτο τρίγωνον γὰρ] τὸ τρίγωνον E. [q] ὁ ante ἀρ. om. F. [r] δὲ H. [s] Codices E.F.H.I. E.] φυσικῶν πέμπτον I. [t] οἷον ὅταν corr. E. [u] ante τὸ litteras quattuor deletas E. [v] τὸν H.I. [w] εἶναι om. pr. E. [x] δὲ om. F. [y] ἑαυτὸ I. [z] κατὰ om. E. [a] κινοῦν H. [b] τῶν om. F. [c] ἑαυτὸ F.I. [d] πλήσσει F.I. [e] τι om. F. [f] πρώτως H. [g] δὲ E.F.

ὁ τόπος ἢ [h]τὸ τοσόνδε, ἀλλ' ἔστι κινοῦν [i]καὶ κινούμενον [k]καὶ εἰς ὃ κινεῖται. Μᾶλλον γὰρ εἰς ὃ ἢ ἐξ οὗ κινεῖται, ὀνομάζεται ἡ μεταβολή. Διὸ [l]καὶ ἡ φθορὰ εἰς τὸ μὴ ὂν μεταβολή ἐστιν· καίτοι [m]καὶ ἐξ ὄντος μεταβάλλει τὸ φθειρόμενον· καὶ ἡ γένεσις εἰς [n]ὄν, καίτοι [o]καὶ ἐκ μὴ ὄντος. Τί μὲν οὖν ἐστὶν [p]ἡ κίνησις, εἴρηται πρότερον· τὰ δ' εἴδη καὶ [q]τὰ πάθη καὶ ὁ τόπος, εἰς ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον ἡ ἐπιστήμη καὶ ἡ θερμότης. Καίτοι ἀπορήσειεν 5
ἄν τις, εἰ τὰ πάθη κινήσεις, ἡ δὲ λευκότης πάθος· [r]ἔσται γὰρ εἰς [s]κίνησιν μεταβολή. [t]Ἀλλ' ἴσως οὐχ ἡ λευκότης κίνησις, [t]ἀλλ' ἡ λεύκανσις. [v]Ἔστι δὲ καὶ ἐν ἐκείνοις καὶ τὸ κατὰ συμβεβηκὸς καὶ τὸ κατὰ μέρος [w]καὶ τὸ κατ' ἄλλο καὶ τὸ πρώτως καὶ [x]τὸ μὴ κατ' [y]ἄλλο, οἷον τὸ λευκαινόμενον εἰς μὲν τὸ νοούμενον μεταβάλλει κατὰ συμβεβηκός (τῷ γὰρ χρώματι συμβέβηκε νοεῖσθαι), εἰς δὲ χρῶμα, ὅτι μέρος τὸ λευκὸν τοῦ χρώματος, καὶ εἰς τὴν Εὐρώπην, ὅτι μέρος αἱ [t]Ἀθῆναι τῆς Εὐρώπης, εἰς δὲ τὸ λευκὸν χρῶμα καθ' αὑτό. Πῶς μὲν οὖν καθ' αὑτὸ κινεῖται, καὶ πῶς κατὰ συμβεβηκός, 6
[z]καὶ πῶς κατ' ἄλλο τι, καὶ πῶς τὸ αὐτὸ πρῶτον, καὶ ἐπὶ κινοῦντος καὶ [a]ἐπὶ κινουμένου, δῆλον, καὶ ὅτι ἡ κίνησις οὐκ ἐν τῷ εἴδει ἀλλ' ἐν τῷ κινουμένῳ καὶ κινητῷ κατ' ἐνέργειαν. [t]Ἡ 7
μὲν οὖν κατὰ συμβεβηκὸς μεταβολὴ ἀφείσθω· ἐν ἅπασί [b]τε γάρ ἐστι καὶ ἀεὶ καὶ πάντων· ἡ δὲ μὴ κατὰ συμβεβηκὸς οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ [c]ἐν τοῖς μεταξὺ καὶ ἐν ἀντιφάσει. Τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. [t]Ἐκ δὲ τοῦ μεταξὺ [d]μεταβάλλει· χρῆται γὰρ αὐτῷ ὡς ἐναντίῳ ὄντι πρὸς ἑκάτερον· ἔστι γάρ πως τὸ μεταξὺ τὰ ἄκρα. Διὸ καὶ τοῦτο πρὸς ἐκεῖνα [e]κἀκεῖνα πρὸς τοῦτο λέγεται· [f]πως ἐναν-

[h] τὸ om. E. [i] καὶ om. E.F. [k] καὶ om. E. [l] καὶ om. E.H. [m] καὶ om. F. [n] ὂν] ὃ I. [o] καὶ om. F.I. [p] ἡ om. F. [q] τὰ post καὶ om. E. [r] γὰρ] δὲ F. [s] κίνησιν ἡ μετ. H. [t] ἀλλ' ἡ λεύκανσις om. E. [v] ἔσται I. [w] καὶ τὸ κατ' ἄλλο om. H, ἄλλο καὶ τὸ om. E. [x] τὸ ante μὴ om. F. [y] ἄλλον E. [z] καὶ πῶς κατ' ἄλλο τι om. E. [a] ἐπὶ om. E. [b] γάρ τε E.H. [c] ἐν ante τοῖς μ. om. F. [d] μεταβάλλει ὡς ἐξ ἐναντίου· χρῆται H. [e] καὶ ἐκεῖνα H.I. [f] πως] ὡς E. fortasse corr.

τία, οἷον ἡ [y] μέση βαρεῖα πρὸς τὴν νητὴν καὶ ὀξεῖα πρὸς [z] τὴν ὑπάτην, καὶ τὸ φαιὸν λευκὸν πρὸς τὸ μέλαν καὶ μέλαν πρὸς
8 τὸ λευκόν. [1] Ἐπεὶ δὲ [a] πᾶσα μεταβολή [b] ἐστιν ἔκ τινος εἴς τι (δηλοῖ [c] δὲ καὶ τοὔνομα· μετ' ἄλλο γάρ τι καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον), μεταβάλλοι [d] ἂν τὸ μεταβάλλον τετραχῶς· ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, [e] ἢ ἐξ ὑποκειμένου εἰς [f] μὴ ὑποκείμενον, ἢ [g] οὐκ ἐξ ὑποκειμένου [h] εἰς ὑποκείμενον, ἢ [i] οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον· λέγω [k] δὲ
9 ὑποκείμενον τὸ καταφάσει δηλούμενον. [v] Ὥστε ἀνάγκη ἐκ τῶν εἰρημένων τρεῖς εἶναι μεταβολάς, τήν τε ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, καὶ τὴν ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον. [1] Ἡ γὰρ [l] οὐκ ἐξ ὑποκειμένου εἰς [m] μὴ ὑποκείμενον οὐκ ἔστι μεταβολὴ διὰ τὸ μὴ εἶναι κατ' ἀντίθεσιν· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν.
10 [1] Ἡ μὲν οὖν [n] οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ' ἀντίφασιν γένεσίς [o] ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δέ τις τινός, οἷον ἡ μὲν ἐκ [p] μὴ λευκοῦ εἰς λευκὸν γένεσις τούτου, ἡ δ' ἐκ τοῦ μὴ ὄντος ἁπλῶς εἰς οὐσίαν γένεσις ἁπλῶς, καθ' ἣν ἁπλῶς γίνεσθαι καὶ οὐ τὶ γίνεσθαι λέγομεν· ἡ δ' ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον φθορά, ἁπλῶς μὲν [q] ἡ ἐκ τῆς οὐσίας εἰς τὸ μὴ εἶναι, τὶς δὲ [r] ἡ εἰς τὴν ἀντικειμένην ἀπόφασιν,
11 καθάπερ ἐλέχθη καὶ ἐπὶ τῆς γενέσεως. Εἰ δὴ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι μήτε τὸ κατὰ δύναμιν, τὸ τῷ ἁπλῶς κατ' ἐνέργειαν ὄντι ἀντικείμενον· τὸ μὲν [s] γὰρ μὴ λευκὸν ἢ μὴ [t] ἀγαθὸν ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός (εἴη γὰρ [v] ἂν ἄνθρωπος τὸ μὴ λευκόν), τὸ δ' ἁπλῶς μὴ τόδε οὐδαμῶς· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι, εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν

[y] μέση — καὶ τὸ in litura rc. E. [z] τὴν ante ὑπ. om. F. [a] πᾶσα om. pr. F. [b] ἐστιν om. F. [c] δὲ] γὰρ E. [d] ἂν] δ' ἂν E. [e] ἢ οὐκ ἐξ H.I. [f] μὴ] οὐχ F.H.I. [g] οὐκ] μὴ F.H. [h] εἰς] εἰς οὐχ F. [i] οὐκ ἐξ] ἐξ οὐχ F, ἐξ H.I. [k] δὲ τὸ ὑπ. F.H.I. [l] οὐκ] μὴ F.H.I. [m] μὴ] οὐχ F.H.I. [n] οὐκ ἐξ] ἐξ I, ἐκ μὴ H. [o] ἐστιν om. I. [p] μὴ post ἐκ om. I. [q] ἡ om. E H. [r] ἡ om. F. [s] γὰρ om. H. [t] ἀγαθὸν ὂν ὅμως H. [v] ἂν om. cod.

[w] κίνησιν εἶναι· γίνεται γὰρ τὸ μὴ ὄν. Εἰ γὰρ καὶ ὅτι μά- 12
λιστα κατὰ συμβεβηκὸς γίνεται, ἀλλ' ὅμως ἀληθὲς εἰπεῖν ὅτι
ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γινομένου ἁπλῶς· ὁμοίως δὲ καὶ
τὸ ἠρεμεῖν. Ταῦτά [x] τε [y] δὴ συμβαίνει δυσχερῆ [z] τῷ κινεῖ-
σθαι τὸ μὴ ὄν, καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ δὲ μὴ
ὂν οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν που. Οὐδὲ δὴ ἡ φθορὰ
κίνησις· ἐναντίον μὲν γὰρ κινήσει [a] ἢ κίνησις ἢ ἠρεμία, ἡ δὲ
φθορὰ γενέσει ἐναντίον. [1]Ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή 13
τις, μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι, τούτων δὲ αἱ κατὰ
γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ' [b] εἰσὶν [c] αἱ κατ' ἀντί-
φασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν
κίνησιν εἶναι [d] μόνην. Τὰ δ' ὑποκείμενα ἢ ἐναντία ἢ μεταξύ·
καὶ γὰρ ἡ στέρησις κείσθω ἐναντίον, καὶ δηλοῦται [e] κατα-
φάσει, [f] τὸ γυμνὸν καὶ λευκὸν καὶ μέλαν. Εἰ οὖν αἱ κατη-
γορίαι διῄρηνται οὐσίᾳ καὶ ποιότητι καὶ [g] τῷ ποῦ καὶ [h] τῷ
ποτὲ καὶ τῷ πρός τι καὶ [i] τῷ ποσῷ καὶ τῷ ποιεῖν ἢ πάσχειν,
ἀνάγκη τρεῖς εἶναι κινήσεις, τήν τε τοῦ [k] ποιοῦ καὶ [l] τὴν τοῦ
[m] ποσοῦ καὶ τὴν κατὰ τόπον.

Κατ' οὐσίαν δ' οὐκ ἔστι κίνησις διὰ τὸ μηδὲν εἶναι οὐσίᾳ 2
τῶν ὄντων ἐναντίον. Οὐδὲ δὴ [n] τῷ πρός τι· ἐνδέχεται γὰρ
θατέρου μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηδὲν μετα-
βάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. Οὐδὲ δὴ
ποιοῦντος καὶ πάσχοντος, [o] οὐδὲ παντὸς κινουμένου καὶ κι-
νοῦντος, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις,
οὐδ' ὅλως μεταβολὴ μεταβολῆς. Πρῶτον μὲν γὰρ διχῶς 2
ἐνδέχεται κινήσεως εἶναι κίνησιν, ἢ ὡς ὑποκειμένου, οἷον [p] ὁ
ἄνθρωπος κινεῖται, ὅτι ἐκ λευκοῦ εἰς μέλαν μεταβάλλει.
[q]Ἆρά γε οὕτω καὶ ἡ κίνησις ἢ θερμαίνεται ἢ ψύχεται ἢ τό-

[w] εἶναι κίνησιν F. [x] τε] δὲ E, om. I. [y] δὴ πάντα συμβαίνει F.I.
[z] τῷ κινεῖσθαι τὸ μὴ ὂν om. E.H. [a] ἢ κ.] ἡ κ. E.H, κ. F. [b] εἰσὶν
om. I. [c] αἱ] καὶ E.H.I. [d] μόνον F.I. [e] καταφυσιν E. [f] τὸ λευκὸν
καὶ τὸ γυμνὸν καὶ τὸ μέλαν H. [g] τῷ ποῦ] τόπω E. [h] τῷ om. I, τῷ
ποτε om. E.H. [i] τῷ ante ποσῷ om. E.H. [k] ποσοῦ F.I. [l] τὴν om. I.
[m] ποιοῦ F.I. [n] τῷ om. E. [o] οὐδὲ—κινοῦντος] ἢ κινουμένου κινοῦντος E.
[p] ὁ om. F.I. [q] ἆρά γε om. E.H.

πον [r] μεταλλάττει ἢ αὐξάνεται ἢ φθίνει; Τοῦτο δὲ ἀδύνα-
3 τον· οὐ γὰρ τῶν ὑποκειμένων τι ἡ μεταβολή. [s]Η τῷ ἕτερόν τι ὑποκείμενον [s] ἐκ μεταβολῆς μεταβάλλειν εἰς ἕτερον εἶδος, οἷον ἄνθρωπος ἐκ νόσου εἰς ὑγίειαν. [t]Αλλ' οὐδὲ τοῦτο δυνατὸν πλὴν κατὰ συμβεβηκός· αὕτη γὰρ ἡ κίνησις ἐξ ἄλλου [t] εἴδους εἰς ἄλλο ἐστὶ μεταβολή. [v]Καὶ ἡ γένεσις δὲ καὶ ἡ φθορὰ ὡσαύτως, πλὴν αἱ μὲν εἰς ἀντικείμενα [w] ὡδί, ἡ [x] δὲ
4 κίνησις [y] οὐχ ὁμοίως. [v]Αμα οὖν μεταβάλλει ἐξ ὑγιείας εἰς νόσον καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην. Δῆλον [z] δ' ὅτι ὅταν νοσήσῃ, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν· ἐνδέχεται γὰρ ἠρεμεῖν. Καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν [a] ἀεί, [b] κἀκείνη ἕκ τινος εἴς τι [c] ἕτερον. [u]Ωστε καὶ ἡ ἀντικειμένη ἔσται [d] ἡ ὑγίανσις· ἀλλὰ τῷ συμβεβηκέναι, οἷον [e] εἰ ἐξ ἀναμνήσεως εἰς λήθην μεταβάλλει, [f] ὅτι ᾧ ὑπάρχει, ἐκεῖνο μετα-
5 βάλλει ὁτὲ μὲν εἰς ἐπιστήμην ὁτὲ δ' εἰς ὑγίειαν. [t]Ετι [g] εἰς ἄπειρον βαδιεῖται, εἰ ἔσται μεταβολῆς μεταβολὴ καὶ γενέσεως γένεσις. [t]Ανάγκη δὴ καὶ τὴν προτέραν, [h] εἰ ἡ ὑστέρα ἔσται, οἷον εἰ ἡ ἁπλῆ γένεσις ἐγίνετό ποτε, καὶ τὸ γινόμενον ἐγίνετο, ὥστε οὔπω [i] ἦν γιγνόμενον ἁπλῶς, ἀλλά [k] τι γιγνόμενον [l] καὶ γιγνόμενον ἤδη, καὶ πάλιν τοῦτ' ἐγίνετό ποτε,
6 ὥστ' οὐκ ἦν πω τότε γινόμενον. [t]Επεὶ [m] δὲ τῶν ἀπείρων [n] οὐκ ἔστι τι πρῶτον, οὐκ ἔσται τὸ πρῶτον, ὥστ' οὐδὲ τὸ ἐχόμενον. Οὔτε γίνεσθαι οὖν οὔτε κινεῖσθαι οἷόν τε οὔτε μεταβάλλειν οὐδέν. [t]Ετι τοῦ αὐτοῦ κίνησις ἡ ἐναντία καὶ ἔτι ἠρέμησις καὶ γένεσις καὶ φθορά, ὥστε τὸ γινόμενον ὅταν [o] γίγνηται γινόμενον, τότε φθείρεται· οὔτε γὰρ εὐθὺς γινόμενον οὔθ' ὕστερον· εἶναι γὰρ δεῖ τὸ φθειρόμενον. [t]Ετι [p] ὕλην δεῖ ὑπεῖναι καὶ τῷ γινομένῳ καὶ [q] τῷ μεταβάλλοντι.

[r] ἀλλάττει E. [s] ἐκ] εἶναι ἐκ I. [t] εἴδους om. E.H. [v] καὶ γὰρ ἡ E. [w] ὡδὶ ἢ ὡδὶ ἡ in litura rc. E. [x] δὲ om. E. [y] οὐχ ὁμοίως om. E.H. [z] δὴ E.H.I. [a] ἀεὶ] δεῖ γὰρ H, om. I. [b] κἀκείνην H. [c] ἕτερον ἔσται ὥστε E. [d] ἡ om. F. [e] εἰ om. E.H. [f] ὅτι—μεταβάλλει om. F. [g] εἰς] δ' εἰς F.I. [h] εἰ ὑστεραία I, εἰ ὑστέρα F. [i] ἦν τὸ γινόμενον F. [k] τι om. E. [l] καὶ γιγνόμενον] τὸ E, om. H. [m] δὴ E. [n] οὐκ ἔστι τι πρῶτον om. F, τι om. E. [o] γένηται E.F. [p] δεῖ ὕλην F.H.I. [q] τῷ om. E.

Τίς οὖν ἔσται; [v]Ωσπερ τὸ ἀλλοιωτὸν [r]ἢ σῶμα ἢ ψυχή, 7
οὕτω [s]δὴ τὸ γινόμενον κίνησις ἢ γένεσις. Καὶ πάλιν τι εἰς
ὃ κινοῦνται· δεῖ γὰρ εἶναί τι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνη-
σιν [t]καὶ μὴ κίνησιν ἢ γένεσιν. [v]Αμα δὲ [v]πῶς καὶ ἔσται;
Οὐ γὰρ ἔσται μάθησις ἡ τῆς μαθήσεως γένεσις, ὥστ' οὐδὲ
[w]γενέσεως γένεσις, οὐδέ τις [x]τινός. [y]Ετι εἰ τρία εἴδη κινή- 8
σεώς ἐστι, τούτων τινὰ ἀνάγκη εἶναι [y]τὴν ὑποκειμένην φύσιν
καὶ εἰς ἃ [z]κινοῦνται, [a]οἷον τὴν φορὰν ἀλλοιοῦσθαι ἢ φέρε-
σθαι. [v]Ολως δ' ἐπεὶ κινεῖται [b]τὸ κινούμενον πᾶν τριχῶς, ἢ
[c]τῷ κατὰ συμβεβηκὸς ἢ τῷ μέρος τι ἢ τῷ καθ' αὑτό, κατὰ
συμβεβηκὸς [d]μόνον ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβο-
λήν, οἷον εἰ [e]ὁ ὑγιαζόμενος [f]τρέχοι ἢ μανθάνοι· τὴν δὲ κατὰ
συμβεβηκὸς ἀφεῖμεν πάλαι. [t]Επεὶ δὲ οὔτε οὐσίας οὔτε τοῦ 9
πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται [g]κατὰ [h]τὸ
ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποῦ κίνησιν εἶναι μόνον· ἐν ἑκάστῳ
γάρ ἐστι τούτων ἐναντίωσις. [t]Η μὲν οὖν κατὰ τὸ ποιὸν 10
κίνησις ἀλλοίωσις ἔστω· τοῦτο γὰρ ἐπέζευκται κοινὸν ὄνομα.
Λέγω δὲ τὸ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ (καὶ γὰρ ἡ διαφορὰ
[i]ποιότης) ἀλλὰ τὸ παθητικόν, καθ' ὃ λέγεται πάσχειν ἢ
ἀπαθὲς εἶναι. [t]Η δὲ κατὰ τὸ ποσόν, τὸ μὲν κοινὸν [k]ἀνώ- 11
νυμον, καθ' [l]ἑκάτερον δ' αὔξησις καὶ φθίσις, ἡ μὲν εἰς τὸ
τέλειον μέγεθος αὔξησις, ἡ δ' ἐκ τούτου φθίσις. [t]Η δὲ κατὰ 12
τόπον καὶ τὸ [m]κοινὸν καὶ τὸ ἴδιον [n]ἀνώνυμος, ἔστω δὲ φορὰ
καλουμένη τὸ κοινόν· καίτοι λέγεταί [o]γε ταῦτα φέρεσθαι
[p]μόνα κυρίως, ὅταν μὴ [q]ἐπ' αὐτοῖς ᾖ τὸ στῆναι τοῖς μετα-
βάλλουσι τὸν τόπον, καὶ ὅσα [r]μὴ αὐτὰ ἑαυτὰ κινεῖ κατὰ τό-

[r] ἢ om. E.H. [s] δὴ] τί F, om. E.H. [t] καὶ om. F, καὶ μὴ κίνησιν om. H.I, in ἢ γένεσιν (hæc enim deerant) mutavit E. [v] καὶ πῶς F.H.I. [w] γένεσις γενέσεως H. [x] τινός om. F. [y] τὴν] καὶ τὴν E.H. [z] κινεῖται I. [a] οἷον] οἷον ἀνάγκη F, om. E. et pr. H. [b] τὸ κινούμενον om. E. [c] τῷ om. E.H. [d] μόνως F.I, μὲν E. [e] ὁ ὑγ.] ὑγ. τις E. [f] τρέχει ἢ μανθάνει I. [g] καὶ κατὰ τὸ F. [h] τὸ om. E. [i] ποιόν F. [k] ἀνώνυμος E. [l] ἕτερον E.H. [m] ἴδιον καὶ τὸ κοινὸν I. [n] ἀνώνυμοι I. [o] γε φέρεσθαι ταῦτα I, φέρεσθαί γε ταῦτα H, φέρεσθαι ταῦτα F. [p] μόνον E.H. [q] ἐφ' αὐτοῖς E, ἐφ' ἑαυτοῖς F.H. [r] μὴ om. E.

13 πον. [t]Η δ' ἐν τῷ αὐτῷ εἴδει μεταβολὴ ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἀλλοίωσίς ἐστιν· ἡ γὰρ ἐξ ἐναντίου [s]εἰς ἐναντίον κίνησίς ἐστιν, ἢ ἁπλῶς ἢ πῇ· ἐπὶ μὲν γὰρ τὸ ἧττον ἰοῦσα εἰς τοὐναντίον λεχθήσεται μεταβάλλειν, ἐπὶ δὲ τὸ μᾶλλον ὡς ἐκ [t]τοὐναντίου εἰς [v]τὸ αὐτό. Διαφέρει γὰρ οὐδὲν πῇ μεταβάλλειν ἢ ἁπλῶς, πλὴν πῇ δεήσει τἀναντία ὑπάρχειν· τὸ δὲ μᾶλλον καὶ ἧττόν ἐστι [w]τῷ πλέον ἢ ἔλαττον [x]ἐνυπάρχειν
14 τοὐναντίου καὶ [y]μή. [v]Οτι μὲν οὖν αὗται τρεῖς μόναι κινήσεις εἰσίν, ἐκ τούτων δῆλον· ἀκίνητον δ' ἐστὶ τό τε ὅλως ἀδύνατον κινηθῆναι, ὥσπερ ὁ ψόφος ἀόρατος, καὶ τὸ ἐν πολλῷ χρόνῳ [z]μόλις κινούμενον [a]ἢ τὸ βραδέως ἀρχόμενον, ὃ λέγεται δυσκίνητον, καὶ [b]τὸ πεφυκὸς μὲν κινεῖσθαι καὶ δυνάμενον, μὴ κινούμενον δὲ τότε ὅτε πέφυκε καὶ οὗ καὶ ὡς, ὅπερ ἠρεμεῖν καλῶ τῶν ἀκινήτων μόνον· ἐναντίον γὰρ ἠρεμία κινήσει, ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ. Τί μὲν οὖν [c]ἐστὶ κίνησις καὶ τί ἠρεμία, καὶ πόσαι μεταβολαὶ καὶ [d]ποῖαι κινήσεις, φανερὸν ἐκ τῶν εἰρημένων.

3 Μετὰ δὲ ταῦτα [e]λέγωμεν τί ἐστι τὸ ἅμα [f]καὶ χωρίς, καὶ τί τὸ ἅπτεσθαι, καὶ τί τὸ μεταξὺ καὶ τί τὸ ἐφεξῆς καὶ τί τὸ ἐχόμενον [g]καὶ συνεχές, καὶ τοῖς ποίοις ἕκαστον τούτων ὑπάρ-
2 χειν πέφυκεν. [v]Αμα μὲν οὖν [h]λέγεται ταὐτ' εἶναι κατὰ τόπον, ὅσα ἐν ἐνὶ [i]τόπῳ ἐστὶ πρώτῳ, χωρὶς δὲ ὅσα ἐν [k]ἑτέρῳ, ἅπτεσθαι δὲ ὧν τὰ ἄκρα ἅμα, μεταξὺ δὲ εἰς ὃ πέφυκε πρῶτον ἀφικνεῖσθαι τὸ μεταβάλλον, ἢ εἰς ὃ ἔσχατον [l]μετα-
3 βάλλει κατὰ φύσιν συνεχῶς μεταβάλλον. [d]Εν ἐλαχίστοις δ' ἐστὶ τὸ μεταξὺ τρισίν· ἔσχατον μὲν γάρ ἐστι τῆς μεταβολῆς τὸ ἐναντίον, συνεχῶς δὲ κινεῖται τὸ μηθὲν ἢ [m]τὸ [n]ὀλίγιστον διαλεῖπον τοῦ πράγματος, μὴ τοῦ χρόνου (οὐδὲν [o]γὰρ

[s] εἰς] ἢ εἰς E. [t] τοῦ ἐναντίου F.H.I. [v] τὸ om. F. [w] τὸ E. [x] τοῦ ἐναντίου ἐνυπάρχειν F.H.I. [y] μή] μὴ ἐνυπάρχειν πῇ E.I. [z] μόγις F.H.I. [a] ἢ τὸ om. E. [b] τὸ post καὶ om. I. [c] ἐστὶ om. F. [d] πόσαι F.I. [e] λέγομεν I. [f] καὶ τί τὸ χωρὶς I. [g] καὶ τί τὸ συνεχές H.I. [h] λέγω E. [i] πρώτω ἐστὶ τόπω H, ἐστι τόπω πρῶτον I. πρῶτον etiam E, sed rc. [k] ἑτέρω τόπω ἅπτ. I. [l] μεταβάλλειν E. [m] τὸ] ὅτι E. [n] ὀλιγοστὸν pr. E. [o] κωλύει γὰρ E.I.

κωλύει διαλείποντα, καὶ εὐθὺς δὲ μετὰ τὴν ὑπάτην φθέγξασθαι τὴν νεάτην) ἀλλὰ τοῦ πράγματος, ἐν ᾧ κινεῖται. [p]Τοῦτο δὲ ἔν τε ταῖς κατὰ τόπον [q]καὶ ἐν ταῖς ἄλλαις [r]μεταβολαῖς φανερόν. [4]Ἐναντίον δὲ κατὰ τόπον τὸ κατ' εὐθεῖαν ἀπέχον πλεῖστον· ἡ γὰρ ἐλαχίστη πεπέρανται, μέτρον δὲ τὸ πεπερασμένον. [4]Ἐφεξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν [s]μόνον ὄντος ἢ 4
θέσει ἢ [t]φύσει ἢ ἄλλῳ τινὶ [v]οὕτως ἀφορισθέντος μηδὲν μεταξύ ἐστι τῶν ἐν [w]ταὐτῷ γένει καὶ οὗ [x]ἐφεξῆς ἐστίν. Λέγω δ' οἷον γραμμὴ γραμμῆς ἢ γραμμαί, ἢ μονάδος μονὰς ἢ μονάδες, ἢ οἰκίας οἰκία. [4]Ἄλλο δ' οὐδὲν κωλύει [y]μεταξὺ εἶναι· τὸ γὰρ ἐφεξῆς τινὶ ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ [z]τὸ ἓν ἐφεξῆς [a]τοῖν δυοῖν, οὐδ' ἡ [b]νουμηνία τῆς δευτέρας ἐφεξῆς, ἀλλὰ ταῦτ' [c]ἐκείνων. [4]Ἐχόμενον δὲ ὃ ἂν ἐφεξῆς [d]ὂν ἅπτη- 5
ται. [4]Ἐπεὶ δὲ πᾶσα μεταβολὴ ἐν τοῖς ἀντικειμένοις, τὰ δ' ἀντικείμενα τά [e]τε ἐναντία καὶ [f]τὰ κατὰ ἀντίφασιν, ἀντιφάσεως δ' οὐδὲν ἀνὰ μέσον, φανερὸν ὅτι ἐν τοῖς ἐναντίοις ἔσται τὸ μεταξύ. Τὸ δὲ συνεχὲς ἔστι [g]μὲν ὅπερ ἐχόμενόν 6
τι, λέγω δ' εἶναι συνεχές, ὅταν [h]ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται, καὶ ὥσπερ σημαίνει τοὔνομα, συνέχηται. Τοῦτο δ' οὐχ οἷόν τε δυοῖν ὄντοιν εἶναι [i]τοῖν 7
ἐσχάτοιν. Τούτου [k]δὲ διωρισμένου φανερὸν ὅτι ἐν τούτοις ἐστὶ τὸ συνεχές, ἐξ ὧν ἕν τι πέφυκε γίνεσθαι κατὰ [l]τὴν σύναψιν. Καὶ [m]ὡς ποτε γίνεται τὸ [n]συνέχον ἕν, οὕτω καὶ τὸ ὅλον ἔσται ἕν, οἷον [o]ἢ γόμφῳ ἢ κόλλῃ ἢ ἁφῇ ἢ προσφύσει. Φανερὸν δὲ καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς ἐστίν· τὸ μὲν 8
γὰρ ἁπτόμενον [p]ἐφεξῆς ἀνάγκη εἶναι, τὸ δ' ἐφεξῆς οὐ πᾶν ἅπτεσθαι· διὸ καὶ [q]ἐν προτέροις τῷ λόγῳ τὸ ἐφεξῆς ἐστίν,

p δὲ om. H. q καὶ ἐν ταῖς ἄλλαις om. I. r μεταβολαῖς] κινήσεσι F. s μόνον om. E. t φύσει] εἴδει E.H. v οὕτως] οὐ E. w τῷ αὐτῷ F. x ἐστιν ἐφεξῆς F. y εἶναι μεταξύ I. z ἐφεξῆς τὸ ἓν H. a τῶν δύο E. b νεομηνία E. c ἐκείνοις E. d ὂν post ἅπτηται H, om. E. e τε om. E. f τὰ κατὰ ἀντίφασιν] ἀντίφασις E. g μὲν om. I. h τὸ αὐτὸ F.H.I. i τῶν ἐσχάτων E. k δὲ om. E. l τὴν om. F. m ὥς] ὥσπερ F.H. n συνεχὲς H.I. o ἢ] εἰ H. p ἀνάγκη ἐφεξῆς F.H I. q ἐν τοῖς πρ. F.I.

9 οἷον ἐν [r] ἀριθμοῖς, [s] ἁφὴ δ' οὐκ ἔστιν. Καὶ εἰ [t] μὲν συνεχές, ἀνάγκη ἅπτεσθαι, εἰ δ' ἅπτεται, οὔπω συνεχές· οὐ γὰρ ἀνάγκη ἓν εἶναι αὐτῶν τὰ ἄκρα, εἰ ἅμα [v] εἶεν· ἀλλ' εἰ ἕν, ἀνάγκη καὶ ἅμα. [w]Ὥστε ἡ σύμφυσις ὑστάτη κατὰ [w]τὴν γένεσιν· ἀνάγκη γὰρ [x]ἅψασθαι, εἰ συμφύσεται τὰ ἄκρα· τὰ δὲ ἁπτόμενα οὐ [y]πάντα συμπέφυκεν· ἐν οἷς δὲ μή ἐστιν ἁφή, δῆλον ὅτι [z]οὐκ
10 ἔστιν οὐδὲ σύμφυσις ἐν τούτοις. [v]Ὥστ' [a]εἰ ἔστι στιγμὴ καὶ μονὰς οἵας [b]λέγουσι κεχωρισμένας, οὐχ οἷόν τε εἶναι μονάδα καὶ στιγμὴν τὸ αὐτό· ταῖς μὲν γὰρ ὑπάρχει τὸ ἅπτεσθαι, ταῖς δὲ μονάσι τὸ ἐφεξῆς. Καὶ τῶν μὲν ἐνδέχεται εἶναί τι μεταξύ (πᾶσα γὰρ γραμμὴ μεταξὺ [c]στιγμῶν), τῶν δ' οὐκ
11 ἀνάγκη· [d]οὐδὲν γὰρ μεταξὺ [e]δυάδος καὶ μονάδος. Τί μὲν οὖν ἐστὶ τὸ ἅμα καὶ χωρίς, καὶ τί τὸ ἅπτεσθαι, καὶ τί τὸ μεταξὺ καὶ [f]τὸ ἐφεξῆς, καὶ τί τὸ ἐχόμενον [g]καὶ συνεχές, καὶ [h]τοῖς ποίοις ἕκαστον τούτων ὑπάρχει, εἴρηται.

4 Μία δὲ κίνησις λέγεται πολλαχῶς· τὸ γὰρ ἓν πολλαχῶς λέγομεν. Γένει μὲν οὖν μία κατὰ [i]τὰ σχήματα τῆς κατηγορίας ἐστίν· φορὰ μὲν γὰρ πάσῃ φορᾷ τῷ γένει μία, ἀλλοίωσις δὲ φορᾶς ἑτέρα τῷ γένει. Εἴδει δὲ μία, ὅταν τῷ γένει μία οὖσα καὶ ἐν [k]ἀτόμῳ εἴδει ᾖ. Οἷον χρώματος μέν εἰσι διαφοραί· τοιγαροῦν ἄλλη τῷ εἴδει μέλανσις καὶ λεύκανσις· πᾶσα [l]οὖν λεύκανσις πάσῃ λευκάνσει ἡ αὐτὴ [m]κατ' εἶδος ἔσται καὶ πᾶσα μέλανσις μελάνσει. Λευκότητος δ' [n]οὐκ-
2 ἔτι· διὸ [o]τῷ εἴδει μία λεύκανσις λευκάνσει πάσῃ. [p]Εἰ δ' ἔστιν ἄτθ' ἃ καὶ γένῃ ἅμα καὶ εἴδη ἐστίν, [q]δῆλον ὡς εἴδει μία ἔσται, ἁπλῶς δὲ [r]μία εἴδει οὔ, οἷον ἡ μάθησις, εἰ [s]ἡ ἐπι-
3 στήμη εἶδος μὲν ὑπολήψεως, γένος δὲ τῶν ἐπιστημῶν. [t]Απο-

[r] *αρμοις* E. [s] *ἁφῇ* F. [t] *μὲν*] *μὲν οὖν* H. [v] *εἶεν* et *ἕν* om. E. [w] *τὴν*] *τήν τε* E. [x] *ἅψεσθαι* I. [y] *πάντως* E.H. [z] *οὐκ ἔστιν* om. H. [a] *εἰ*] *εἴ τις* I. [b] *λέγουσιν εἶναι κεχ.* I. [c] *στιγμῶν*] *δύο στιγμῶν* H. [d] *μεταξὺ γὰρ οὐδὲν* E. [e] *μονάδος καὶ δυάδος* F. [f] *τὸ* post *καὶ* om. E. [g] *καὶ τὸ συνεχὲς* E.H. [h] *τοῖς* om. H. [i] *τὰ* om. E. [k] *ἀτόμου εἴδει οἷον* E. [l] *οὖν*] *δ' οὖν* E.H. [m] *κατὰ τὸ εἶδος* F. [n] *οὐκ ἔστι* E.I, *οὐκ ἔσται* H. [o] *τῷ*] *πῶς* H. [p] *εἰ—ἐκ τοῦδε* om. pr. E. [q] *δῆλόν ἐστιν ὡς* H, *δῆλον οὖν ὡς* I. [r] *εἴδει μία* H. [s] *ἡ* post *εἰ* om. F.

ρήσειε δ' ἄν τις εἰ εἴδει μία κίνησις, ὅταν ἐκ τοῦ αὐτοῦ [t]τὸ αὐτὸ εἰς τὸ αὐτὸ μεταβάλλῃ, [v]οἷον ἡ μία στιγμὴ ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε τὸν τόπον πάλιν καὶ πάλιν. Εἰ δὲ τοῦτ', ἔσται ἡ κυκλοφορία [w]τῇ εὐθυφορίᾳ ἡ αὐτὴ καὶ ἡ κύλισις τῇ βαδίσει. [x]Η διώρισται τὸ ἐν ᾧ [y]ἂν ἕτερον ᾖ τῷ εἴδει, ὅτι [z]ἑτέρα κίνησις, τὸ δὲ περιφερὲς τοῦ εὐθέος ἕτερον τῷ εἴδει. Γένει μὲν οὖν καὶ εἴδει κίνησις μία οὕτως, 4
ἁπλῶς δὲ μία κίνησις ἡ τῇ οὐσίᾳ μία καὶ τῷ ἀριθμῷ· τίς δ' ἡ τοιαύτη, δῆλον διελομένοις. Τρία γάρ ἐστι τὸν ἀριθμὸν περὶ ἃ λέγομεν τὴν [a]κίνησιν, ὃ καὶ ἐν ᾧ καὶ ὅτε· Λέγω δ' [b]ὅ, ὅτι ἀνάγκη εἶναί τι τὸ κινούμενον, οἷον ἄνθρωπον ἢ χρυσόν, καὶ ἔν τινι τοῦτο κινεῖσθαι, [c]οἷον ἐν τόπῳ ἢ ἐν πάθει, καὶ [d]ποτέ· ἐν χρόνῳ [e]γὰρ πᾶν κινεῖται. Τούτων δὲ τὸ 5
μὲν εἶναι τῷ γένει ἢ τῷ εἴδει [f]μίαν ἐστὶν [g]ἐν τῷ πράγματι ἐν ᾧ κινεῖται, τὸ δ' ἐχόμενον ἦν ἐν τῷ χρόνῳ, τὸ δ' ἁπλῶς μίαν ἐν ἅπασι τούτοις· καὶ [h]ἐν ᾧ γὰρ ἓν δεῖ εἶναι καὶ ἄτομον, οἷον τὸ εἶδος, [i]καὶ τὸ ὅτε, [k]οἷον τὸν χρόνον ἕνα καὶ μὴ διαλείπειν, καὶ τὸ κινούμενον ἓν [l]εἶναι μὴ κατὰ συμβεβηκός, ὥσπερ τὸ λευκὸν μελαίνεσθαι καὶ Κορίσκον βαδίζειν· ἓν δὲ Κορίσκος καὶ λευκόν, ἀλλὰ κατὰ συμβεβηκός. Μηδὲ κοινόν· 6
εἴη γὰρ [m]ἂν ἅμα δύο ἀνθρώπους ὑγιάζεσθαι τὴν αὐτὴν [n]ὑγίανσιν, οἷον [o]ὀφθαλμίας· ἀλλ' οὐ μία αὕτη, ἀλλ' εἴδει μία. Τὸ δὲ [p]Σωκράτη τὴν αὐτὴν μὲν ἀλλοίωσιν ἀλλοιοῦσθαι τῷ εἴδει, ἐν ἄλλῳ δὲ χρόνῳ καὶ πάλιν ἐν ἄλλῳ, εἰ μὲν ἐνδέχεται τὸ φθαρὲν πάλιν ἓν γίνεσθαι τῷ ἀριθμῷ, εἴη ἂν [q]καὶ αὕτη μία, εἰ δὲ μή, ἡ αὐτὴ μέν, μία δ' οὔ. [r]Ἔχει δ' ἀπο- 7
ρίαν ταύτῃ παραπλησίαν καὶ πότερον μία ἡ ὑγίεια καὶ ὅλως αἱ ἕξεις καὶ τὰ πάθη τῇ οὐσίᾳ εἰσὶν ἐν τοῖς σώμασιν· κινούμενα γὰρ φαίνεται τὰ ἔχοντα καὶ ῥέοντα. Εἰ δὴ ἡ αὐτὴ καὶ

[t] εἰς τὸ αὐτὸ τὸ αὐτὸ F. [v] οἷον εἰ ἡ H. [w] τῇ εὐθυφορίᾳ om. pr. E. [x] ἢ διώρισται] ὥρισται E. [y] ἐὰν F. [z] ἑτέρα ἡ κίνησις H. [a] κίνησιν μίαν ὃ H. [b] ὅ om. E.F, ὅτι om. F. [c] οἷον ἢ ἐν E.H. [d] ὁπότε E. [e] γὰρ] δὲ F. [f] μία E.H. [g] ἐν om. F. [h] γὰρ ἐν ᾧ F.I. [i] καὶ αὖ τὸ I. [k] οἷον om. F.I. [l] εἶναι] ον E. [m] ἂν om. F. [n] ὑγίειαν H. [o] ὀφθαλμίαν F. [p] Σωκράτην τὴν μὲν αὐτὴν H. [q] καὶ ἡ αὐτὴ F.

[r] μία ἡ ἔωθεν καὶ νῦν ὑγίεια, διὰ τί οὐκ ἂν καὶ ὅταν διαλιπὼν [s] λάβῃ πάλιν τὴν ὑγίειαν, καὶ αὕτη [t] κἀκείνη μία τῷ ἀριθμῷ ἂν εἴη; [t]Ο γὰρ αὐτὸς λόγος· [v] πλὴν τοσοῦτον διαφέρει, ὅτι εἰ [w] μὲν δύο, [x] τὸ αὐτὸ τοῦτο, [y] ὡς τῷ ἀριθμῷ [z] μία, καὶ τὰς 8 ἕξεις ἀνάγκη· μία γὰρ ἀριθμῷ ἐνέργεια ἑνὸς ἀριθμῷ. Εἰ δ' ἡ ἕξις μία, ἴσως οὐκ ἄν τῳ δόξειέ πω μία καὶ [a] ἡ ἐνέργεια εἶναι. [v]Οταν γὰρ παύσηται βαδίζων, οὐκέτι ἐστὶν ἡ βάδισις, πάλιν δὲ βαδίζοντος [b] ἔσται. Εἰ [c] δ' οὖν μία καὶ ἡ αὐτή, ἐνδέχοιτ' ἂν τὸ αὐτὸ [d] καὶ ἓν καὶ φθείρεσθαι καὶ εἶναι πολ- 9 λάκις. Αὗται [e] μέν εἰσιν αἱ ἀπορίαι ἔξω τῆς νῦν σκέψεως· ἐπεὶ δὲ συνεχὴς πᾶσα κίνησις, τήν τε ἁπλῶς μίαν ἀνάγκη καὶ συνεχῆ εἶναι, εἴπερ πᾶσα διαιρετή, καὶ [f] εἰ συνεχής, μία. Οὐ γὰρ πᾶσα γένοιτ' ἂν συνεχὴς πάσῃ, ὥσπερ οὐδ' ἄλλο οὐδὲν τῷ τυχόντι τὸ τυχόν, ἀλλ' ὅσων ἓν τὰ ἔσχατα. [v]Εσχατα δὲ τῶν μὲν οὐκ ἔστι, τῶν δ' ἐστὶν ἄλλα τῷ εἴδει καὶ ὁμώνυμα· πῶς γὰρ ἂν [g] ἅψαιτο ἢ ἓν γένοιτο τὸ ἔσχατον γραμμῆς καὶ 10 βαδίσεως; [t]Εχόμεναι [h] μὲν οὖν εἶεν ἂν καὶ [i] αἱ μὴ αὐταὶ τῷ εἴδει μηδὲ τῷ γένει· δραμὼν γὰρ ἄν τις πυρέξειεν εὐθύς, καὶ οἷον ἡ λαμπὰς ἐκ διαδοχῆς φορὰ ἐχομένη, συνεχὴς δ' [k] οὔ. Κεῖται [l] γὰρ [m] τὸ συνεχές, ὧν τὰ ἔσχατα ἕν. [v]Ωστ' [n] ἐχόμενα καὶ ἐφεξῆς εἰσὶ τῷ τὸν χρόνον εἶναι συνεχῆ, συνεχὲς δὲ τῷ τὰς κινήσεις· τοῦτο δ', ὅταν ἓν τὸ ἔσχατον γίνηται ἀμ- 11 φοῖν. Διὸ ἀνάγκη τὴν αὐτὴν [o] εἶναι τῷ εἴδει καὶ ἑνὸς καὶ ἐν ἑνὶ χρόνῳ τὴν ἁπλῶς συνεχῆ κίνησιν καὶ μίαν, τῷ χρόνῳ μέν, ὅπως μὴ ἀκινησία [p] μεταξὺ ᾖ· ἐν τῷ διαλείποντι γὰρ ἠρεμεῖν 12 ἀνάγκη. Πολλαὶ [q] οὖν καὶ οὐ μία ἡ κίνησις, ὧν ἐστὶν ἠρεμία μεταξύ. [v]Ωστε [r] εἴ τις κίνησις στάσει διαλαμβάνεται, [s] οὐ μία οὐδὲ συνεχής· διαλαμβάνεται [t] δέ, εἰ μεταξὺ χρόνος.

[r] μία ὑγίεια ἡ F. [s] λάβῃ καὶ πάλιν F.H.I. [t] καὶ ἐκείνη F. [v] πλὴν om. E. [w] μὲν] αἱ μὲν ἕξεις pr. F. [x] τὸ] δι' E.H, om. I. [y] ὡς γὰρ τῷ H. [z] μία ante καὶ om. E.H. [a] ἡ om. F. [b] ἐστὶν H. [c] δ' om. F.H.I. [d] καὶ ante ἓν om. E H, ἓν om. H. [e] μὲν οὖν εἰσὶν F.H.I. [f] εἰ] ἡ om. I. [g] ἅψοιτο F. [h] μὲν om. H. [i] μὴ αἱ E. [k] οὔ] οὐκ ἔστι F. [l] γὰρ om. E. [m] τὸ om. F.I. [n] ἐχόμεναι E.H. [o] τῷ εἴδει εἶναι F.H.I. [p] μεταξὺ] ἐν τῷ μεταξὺ F, ἐν τῷ μεταξύ τι H.I. [q] οὖν] μὲν οὖν H. [r] εἴ] ἤ H. [s] οὔτε μία οὔτε F.I. [t] δέ om. F.

Τῆς δὲ τῷ εἴδει μὴ μιᾶς [v] οὔ, καὶ εἰ μὴ διαλείπεται [w] ὁ χρόνος· ὁ μὲν γὰρ χρόνος εἷς, τῷ [x] εἴδει δ' [y] ἡ κίνησις [z] ἄλλη· τὴν μὲν γὰρ μίαν [a] ἀνάγκη καὶ τῷ εἴδει [b] μίαν εἶναι, [c] ταύτην δ' [d] ἁπλῶς μίαν οὐκ [e] ἀνάγκη. Τίς μὲν [f] οὖν κίνησις ἁπλῶς 13
μία, εἴρηται· ἔτι [g] δὲ λέγεται μία καὶ ἡ τέλειος, [h] ἐάν τε κατὰ γένος ἐάν τε κατ' εἶδος ᾖ ἐάν τε κατ' οὐσίαν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τὸ τέλειον [i] καὶ ὅλον τοῦ ἑνός. [j] Ἔστι δ' ὅτε κἂν ἀτελὴς ᾖ μία λέγεται, ἐὰν [k] ᾖ μόνον συνεχής. [l] Ἔτι δ' ἄλλως παρὰ τὰς εἰρημένας λέγεται μία κίνησις ἡ [m] ὁμαλής. [n] Ἡ γὰρ ἀνώμαλος ἔστιν ὡς οὐ δοκεῖ μία, ἀλλὰ μᾶλλον ἡ 14
ὁμαλής, ὥσπερ ἡ εὐθεῖα. [o] Ἡ γὰρ ἀνώμαλος διαιρετή. [p] Ἔοικε δὲ διαφέρειν ὡς τὸ μᾶλλον καὶ ἧττον. [q] Ἔστι δ' ἐν ἁπάσῃ κινήσει τὸ ὁμαλῶς ἢ μή· καὶ γὰρ ἂν [r] ἀλλοιοῖτο [s] ὁμαλῶς, καὶ φέροιτο ἐφ' ὁμαλοῦ οἷον κύκλου ἢ εὐθείας, καὶ περὶ [t] αὔξην ὡσαύτως καὶ φθίσιν. [u] Ἀνωμαλίας δ' ἐστὶ διαφορὰ 15
[v] ὅτε μὲν ἐφ' [w] ᾧ κινεῖται· ἀδύνατον γὰρ [x] ὁμαλὴν εἶναι τὴν κίνησιν μὴ ἐπὶ [y] ὁμαλῷ μεγέθει, οἷον ἡ τῆς κεκλασμένης κινήσεις [z] ἢ ἡ τῆς ἕλικος ἢ ἄλλου μεγέθους, ὧν μὴ [a] ἐφαρμόττει τὸ τυχὸν [b] ἐπὶ τὸ τυχὸν μέρος. [c] Ὅτε δὲ οὔτε ἐν τῷ [d] ποῦ 16
οὔτ' ἐν τῷ ποτὲ οὔτε [e] εἰς ὅ, [f] ἀλλ' ἐν τῷ ὥς. Ταχυτῆτι γὰρ καὶ βραδυτῆτι ἐνίοτε διώρισται· ἧς μὲν [g] γὰρ τὸ αὐτὸ τάχος, ὁμαλής, ἧς δὲ μή, ἀνώμαλος. Διὸ [h] οὐκ εἴδη κινήσεως οὐδὲ διαφοραὶ τάχος καὶ βραδυτής, ὅτι πάσαις ἀκολουθεῖ

[v] οὔ om. E. [w] ὁ om. pr. H, ὁ χρόνος ὁ μὲν γὰρ om. E. [x] δ' εἴδει F.H.I. [y] ἡ κίνησις om. E.F. [z] ἄλλο H. [a] ἀνάγκη post εἴδει H. [b] μίαν ante καὶ I. [c] τὴν αὐτὴν pr. E. [d] ἁπλῶς εἶναι μίαν οὐκ ἀνάγκη I, οὐκ ἀνάγκη ἁπλῶς μίαν εἶναι F. [e] ἀνάγκη. Λείπει. Τὰ δὲ λείποντα μετὰ φύλλα τρία, ὅπου τὸ σημεῖον. Ἔτι δὲ (cap. 5. init.) E. fol. 39. v. deficit σημεῖον: quæ omissa sunt (c. 4, 13. τίς μὲν οὖν—usque ad cap. fin. ἂν ἐφαρμόττειν) inferuntur c. 6, 11. post ἠρέμησις. fol. 41. r. [f] οὖν] οὖν ἡ I. [g] δὲ om. E. [h] ἐάν τε κατὰ γένος om. E. [i] καὶ τὸ ὅλον H. [k] μόνον ᾖ F.H.I. [l] δ'] δὲ καὶ F. [m] ὁμαλῶς E. [n] ἡ γὰρ—ὁμαλής om. H. [o] δὴ E. [p] ἀλλοιοῦτο F. [q] ομαλλω E. [r] αὔξησιν E.H. [s] ἀνωμαλία E. [t] ὅτι E. [v] ὧν E. [w] ὁμαλῶς F. [x] ὁμαλεῖ F. [y] ἢ ἡ] ἢ F. [z] ἐφαρμόζει F. [a] ἐπὶ τὸ τύχον om. E. [b] ὁτὲ] ἡ E.F.I. [c] ποῦ] ο E. [d] εἰς] ἐν τῷ εἰς I. εἰς ipsam corr. E. [e] post ἀλλ' litteras quattuor deletas E. [f] γὰρ om. E. [g] οὐδ' H.

ταῖς διαφόροις κατ' εἶδος. [v]Ωστ' οὐδὲ βαρύτης καὶ κουφότης ἡ εἰς [h]τὸ αὐτό, οἷον γῆς πρὸς [i]αὐτὴν ἢ πυρὸς πρὸς [k]αὐτό.
17 Μία μὲν οὖν ἡ ἀνώμαλος τῷ συνεχής, ἧττον δέ, ὅπερ τῇ κεκλασμένῃ συμβαίνει φορᾷ· τὸ δ' ἧττον μίξις ἀεὶ τοῦ ἐναντίου. Εἰ δὲ πᾶσαν τὴν μίαν ἐνδέχεται καὶ [l]ὁμαλὴν εἶναι καὶ μή, οὐκ ἂν εἴησαν [m]αἱ μὴ κατ' εἶδος [n]ἐχόμεναι αὗται [o]μία καὶ συνεχής· πῶς γὰρ ἂν εἴη ὁμαλὴς ἡ ἐξ ἀλλοιώσεως συγκειμένη καὶ φορᾶς; Δέοι γὰρ ἂν ἐφαρμόττειν.
5 [q]Ἔτι δὲ διοριστέον ποία κίνησις [p]ἐναντία κινήσει, καὶ περὶ μονῆς [q]δὲ τὸν αὐτὸν τρόπον. Διαιρετέον δὲ πρῶτον πότερον ἐναντία κίνησις ἡ ἐκ τοῦ αὐτοῦ τῇ εἰς τὸ αὐτό, οἷον [r]ἡ ἐξ ὑγιείας τῇ εἰς ὑγίειαν, οἷον καὶ [s]γένεσις καὶ φθορὰ δοκεῖ, ἢ [t]ἡ ἐξ ἐναντίων, οἷον ἡ ἐξ ὑγιείας τῇ ἐκ νόσου, [v]ἢ ἡ εἰς ἐναντία, οἷον ἡ εἰς ὑγίειαν τῇ εἰς νόσον, ἢ ἡ ἐξ ἐναντίου τῇ εἰς ἐναντίον, [w]οἷον ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον, ἢ [x]ἡ ἐξ ἐναντίου [y]εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον, οἷον ἡ ἐξ ὑγιείας εἰς νόσον τῇ ἐκ νόσου εἰς ὑγίειαν. [z]Ἀνάγκη γὰρ ἢ ἕνα τινὰ [z]τούτων εἶναι τῶν τρόπων ἢ πλείους· οὐ γὰρ ἔστιν ἄλλως
2 [a]ἀντιθεῖναι. [q]Ἔστι δ' ἡ μὲν ἐξ ἐναντίου τῇ εἰς ἐναντίον οὐκ ἐναντία, οἷον, ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον· ἡ αὐτὴ γὰρ καὶ μία. Τὸ μέντοι [b]γ' εἶναι οὐ [c]ταὐτὸ αὐταῖς, ὥσπερ [d]οὐ [c]ταὐτὸ [e]τὸ ἐξ ὑγιείας μεταβάλλειν καὶ τὸ εἰς νόσον. Οὐδ' ἡ ἐξ ἐναντίου τῇ ἐξ ἐναντίου· ἅμα [f]μὲν γὰρ συμβαίνει ἐξ ἐναντίου [g]καὶ εἰς ἐναντίον ἢ μεταξύ. [q]Ἀλλὰ περὶ [h]τούτου μὲν ὕστε-
3 ρον ἐροῦμεν. [q]Ἀλλὰ μᾶλλον τὸ εἰς ἐναντίον μεταβάλλειν δόξειεν ἂν [i]εἶναι αἴτιον τῆς ἐναντιώσεως ἢ τὸ ἐξ ἐναντίου· ἡ μὲν γὰρ [k]ἀπαλλαγὴ [l]ἐναντιότητος, ἡ δὲ λῆψις. Καὶ λέγε-

[h] τὸ om. F. [i] αὐτὴν] αὐτὴν γῆν H. [k] αὐτό] αὐτὸ πῦρ H. [l] ὁμαλῆ F. [m] αἱ om. E. [n] ἐχ. καὶ αὗται I. [o] μία] ἡ μία E. [p] κινήσει ἐναντία H. [q] δὲ τὸν] δὴ τὸν F, τὸν E. [r] ἡ ante ἐξ om. E. [s] γένεσις φθορὰ H. [t] ἡ om. E.H. [v] ἢ ἡ εἰς—ὑγιείας τῇ εἰς νόσον om. F, ἡ om. I. [w] οἷον—νόσον om. H. et corr. E. [x] ἡ post ἢ om. E. [y] εἰς ἐναντίον om. I. [z] εἶναι τούτων F. [a] ἀντιτιθέναι F.H.I. [b] γ' om. F.I. [c] τὸ αὐτὸ F.H.I. utrobique. [d] οὐδὲ H. [e] τὸ] ὃν E.H. [f] μὲν om. I. [g] καὶ ante ἐξ F. [h] μὲν τούτου I, μὲν τούτων F. [i] εἶναι post αἴτιον ponunt F.I, om. H. [k] ἀπαλλαγὴ ἐξ ἐναντ. F.I. [l] ἐναντιώσεως H.

ται δ' ἑκάστη εἰς ὃ μεταβάλλει μᾶλλον ἢ ἐξ οὗ, οἷον [m] ὑγίανσις ἡ εἰς ὑγίειαν, [n] νόσωσις δ' ἡ εἰς νόσον. Λείπεται δὴ [o] ἡ [p] εἰς ἐναντία καὶ ἡ εἰς ἐναντία [q] ἐξ ἐναντίων. [r] Τάχα μὲν 4
οὖν συμβαίνει [s] τὰς εἰς ἐναντία καὶ ἐξ ἐναντίων εἶναι, ἀλλὰ τὸ εἶναι ἴσως οὐ ταὐτό, λέγω [t] δὲ τὸ εἰς ὑγίειαν τῷ ἐκ νόσου [v] καὶ [w] τὸ ἐξ ὑγιείας τῷ εἰς νόσον. [1] Ἐπεὶ δὲ διαφέρει μεταβολὴ κινήσεως (ἡ [x] ἔκ τινος γὰρ ὑποκειμένου εἴς τι ὑποκείμενον μεταβολὴ κίνησίς ἐστιν), ἡ ἐξ ἐναντίου εἰς ἐναντίον [y] τῇ ἐξ ἐναντίου εἰς ἐναντίον κίνησις ἐναντία, οἷον ἡ [z] ἐξ ὑγιείας εἰς νόσον τῇ ἐκ νόσου εἰς ὑγίειαν. Δῆλον δὲ καὶ ἐκ τῆς ἐπα- 5
γωγῆς, [a] ὁποῖα δοκεῖ τὰ ἐναντία εἶναι· τὸ [b] νοσάζεσθαι [c] γὰρ τῷ ὑγιάζεσθαι καὶ τὸ μανθάνειν τῷ ἀπατᾶσθαι μὴ δι' [d] αὐτοῦ· εἰς ἐναντία γάρ· ὥσπερ γὰρ ἐπιστήμην, [e] ἔστι καὶ ἀπάτην καὶ δι' αὐτοῦ κτᾶσθαι καὶ δι' ἄλλου. Καὶ ἡ ἄνω φορὰ τῇ κάτω· ἐναντία γὰρ [f] ταῦτα ἐν μήκει. Καὶ ἡ εἰς δεξιὰ τῇ εἰς ἀριστερά· ἐναντία γὰρ ταῦτα ἐν πλάτει. Καὶ ἡ εἰς [g] τὸ ἔμπροσθεν τῇ [h] εἰς τὸ ὄπισθεν· ἐναντία γὰρ καὶ [i] ταῦτα. [1] Ἡ δ' εἰς ἐναντίον μόνον οὐ κίνησις ἀλλὰ μεταβολή, 6
οἷον τὸ γίγνεσθαι λευκὸν [k] μὴ ἔκ τινος. [l] Καὶ ὅσοις [m] δὲ μή [n] ἐστιν ἐναντίον, ἡ ἐξ αὐτοῦ [o] τῇ εἰς [p] αὐτὸ μεταβολῇ ἐναντία. Διὸ γένεσις φθορᾷ ἐναντία καὶ ἀποβολὴ λήψει. Αὗται δὲ μεταβολαὶ μέν, κινήσεις δ' οὔ. Τὰς δ' εἰς τὸ μεταξὺ 7
κινήσεις, ὅσοις τῶν ἐναντίων ἐστὶ μεταξύ, ὡς [q] εἰς ἐναντία πως θετέον· ὡς ἐναντίῳ γὰρ χρῆται τῷ μεταξὺ ἡ κίνησις, ἐφ' ὁπότερα ἂν [r] μεταβάλλῃ, οἷον ἐκ φαιοῦ μὲν εἰς τὸ λευκὸν ὡς [s] ἐκ μέλανος, καὶ ἐκ λευκοῦ εἰς φαιὸν [t] ὡς εἰς μέλαν, [v] ἐκ δὲ

[m] ὑγίανσις ἡ εἰς om. E. [n] νόσανσις F.H.I. [o] ἡ post δὴ om. E. [p] εἰς ἐναντία om. H. [q] ἐξ] καὶ ἐξ I. [r] τάχα—ἐναντίων om. pr. F. [s] τὰ E. [t] δὲ τὸ] δὲ τῷ I. [v] καὶ—νόσον om. E. [w] τῷ I. [x] γὰρ ἔκ τινος H. [y] τῇ—ἐναντίον om. pr. E. [z] ἡ om. E. [a] ποῖα H. et fortasse pr. E. [b] νοσίζεσθαι E. [c] γὰρ τῷ ὑγιάζεσθαι om. E. [d] ἑαυτοῦ F. [e] ἔστιν οὕτω καὶ F.H.I. [f] ταύτη E. [g] τὸ om. H. [h] εἰς τὸ om. E.H. [i] ταῦτα ἐν βάθει. Ἡ rc. F. [k] μὴ] καὶ μὴ I. [l] καὶ om. F. [m] δὲ om. E. [n] ἐστιν] ἐστί τι I. [o] τῇ] καὶ H, om. E. [p] ταυτὸ I. [q] εἰς om. E. [r] μεταβάλη E. [s] ἐκ post ὡς om. E. [t] ὡς εἰς μέλαν om. E. [v] ἐκ δὲ] καὶ ἐκ I.

μέλανος εἰς φαιὸν ὡς εἰς λευκὸν τὸ φαιόν· τὸ γὰρ μέσον πρὸς ἑκάτερον [w]λέγεταί πως τῶν ἄκρων, καθάπερ εἴρηται [x]καὶ πρότερον. Κίνησις μὲν δὴ κινήσει ἐναντία οὕτως [y]ἡ ἐξ ἐναντίου εἰς ἐναντίον [z]τῇ ἐξ ἐναντίου εἰς ἐναντίον.

6 [1]Ἐπεὶ δὲ κινήσει οὐ μόνον δοκεῖ κίνησις εἶναι ἐναντία ἀλλὰ καὶ ἠρεμία, τοῦτο διοριστέον. [a1]Ἁπλῶς μὲν γὰρ [b]ἐναντίον κίνησις κινήσει, ἀντίκειται δὲ [c]καὶ ἠρεμία· στέρησις γάρ. [1]Ἔστι δ' ὡς καὶ ἡ στέρησις ἐναντία λέγεται· ποία δὲ ποία; [d]οἷον τῇ κατὰ τόπον [e]ἡ κατὰ τόπον. [1]Ἀλλὰ τοῦτο [f]νῦν λέγεται ἁπλῶς· πότερον γὰρ τῇ ἐνταυθοῖ μονῇ [g]ἡ ἐκ τούτου ἢ [h]ἡ εἰς τοῦτο κίνησις [i]ἀντίκειται; Δῆλον δὴ ὅτι, [k]ἐπεὶ ἐν δυσὶν [l]ἡ κίνησις ὑποκειμένοις, τῇ μὲν ἐκ τούτου εἰς [m]τὸ ἐναντίον ἡ ἐν τούτῳ μονή, τῇ δ' ἐκ [n]τουναντίου εἰς 2τοῦτο ἡ ἐν τῷ ἐναντίῳ. [1]Ἅμα [o]δὲ καὶ ἀλλήλαις ἐναντίαι αὗται· καὶ γὰρ ἄτοπον, εἰ κινήσεις μὲν ἐναντίαι εἰσίν, ἠρεμίαι δ' ἀντικείμεναι οὐκ εἰσίν. Εἰσὶ δὲ αἱ ἐν τοῖς ἐναντίοις, οἷον [p]ἡ [q]ἐν ὑγιείᾳ τῇ ἐν νόσῳ ἠρεμία, κινήσει δὲ τῇ ἐξ ὑγιείας εἰς νόσον. Τῇ γὰρ ἐκ νόσου εἰς ὑγίειαν ἄλογον· ἡ γὰρ εἰς [r]αὐτὸ κίνησις ἐν ᾧ [s]ἔστηκεν, ἠρέμησις μᾶλλόν ἐστιν, ᾗ συμβαίνει [t]γε ἅμα γίγνεσθαι τῇ κινήσει. [1]Ἀνάγκη [v]δὲ ἢ ταύτην ἢ ἐκείνην εἶναι· οὐ γὰρ ἥ [w]γ' ἐν λευκότητι ἠρεμία 3ἐναντία τῇ ἐν ὑγιείᾳ. [1]Ὅσοις δὲ [x]μή ἐστιν ἐναντία, [y]τούτων μεταβολὴ μέν ἐστιν ἀντικειμένη ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό, κίνησις δ' οὐκ ἔστιν, [z]οἷον ἡ ἐξ ὄντος τῇ [a]εἰς ὄν. [b]Καὶ μονὴ μὲν τούτων οὐκ ἔστιν, ἀμεταβλησία δέ. [c]Καὶ εἰ μέν [d]τι εἴη ὑποκείμενον, [e]ἡ ἐν τῷ ὄντι ἀμεταβλησία [f]τῇ ἐν τῷ

[w] πως λέγεται H. [x] καὶ om. E. [y] ἡ om. E. [z] τῇ—ἐναντίον om. E.I. [a] ἁπλῶς—κίνησις om. F. [b] κίνησις ἐναντίον H. [c] καὶ ἡ ἠρεμία I. [d] οἷον] ἢ H. [e] ἡ κατὰ τόπον om. E. [f] νῦν] μὲν νῦν I. [g] ἡ om. E. [h] ἡ om. E.F. [i] ἀντικεινεῖται E. [k] ἐπειδὴ F.H. [l] ὑποκειμένοις ἡ κίνησις H. [m] τοὐναντίον I. [n] τοῦ ἐναντίου F. [o] δὲ ἐναντίαι ἀλλήλαις H. [p] ἡ om. I. [q] ἐν om. E. [r] ταυτὸ I. [s] ἑστήξει corr. E. [t] γε om. E. [v] δὲ om. E. [w] γ' om. H. [x] μηδέν ἐστιν ἐναντίον H. [y] τούτων om. E. [z] οἷον—οὐκ ἔστιν om. H. [a] εἰς τὸ μὴ ὂν pr. E. [b] καὶ om. E. [c] καὶ εἰ μὲν om. E. [d] τι εἴη corr. E. [e] ἡ] οιν η E. [f] τῇ ἐν—ἀμεταβλησία om. F.

μὴ ὄντι ἐναντία. Εἰ δὲ μή ἐστί τι τὸ μὴ ὄν, ἀπορήσειεν ἄν 4
τις τίνι ἐναντία ἡ ἐν τῷ ὄντι ἀμεταβλησία, καὶ [t] εἰ ἠρεμία
ἐστίν. Εἰ δὲ τοῦτο, ἢ οὐ πᾶσα ἠρεμία κινήσει ἐναντία, ἢ ἡ
γένεσις καὶ [v] ἡ φθορὰ [w] κίνησις. Δῆλον τοίνυν ὅτι ἠρεμία
μὲν οὐ λεκτέα, εἰ μὴ καὶ [x] αὗται κινήσεις, ὅμοιον δέ τι καὶ
ἀμεταβλησία· ἐναντία δὲ ἢ οὐδενὶ ἢ τῇ ἐν τῷ μὴ ὄντι ἢ τῇ
φθορᾷ· αὕτη γὰρ ἐξ αὐτῆς, ἡ δὲ γένεσις εἰς ἐκείνην. [1]Απο- 5
ρήσειε δ' ἄν τις διὰ τί ἐν μὲν τῇ κατὰ τόπον μεταβολῇ εἰσὶ
[y] καὶ [z] κατὰ φύσιν [a] καὶ παρὰ φύσιν καὶ μοναὶ καὶ κινήσεις,
ἐν δὲ ταῖς ἄλλαις οὔ, οἷον ἀλλοίωσις ἡ μὲν κατὰ φύσιν ἡ δὲ
παρὰ φύσιν· οὐδὲν γὰρ μᾶλλον [b] ἡ ὑγίανσις ἢ [b] ἡ [c] νόσανσις
κατὰ φύσιν ἢ παρὰ φύσιν, οὐδὲ λεύκανσις ἢ μέλανσις. [1]Ομοίως
δὲ καὶ ἐπ' αὐξήσεως καὶ φθίσεως· οὔτε [d] γὰρ [e] αὗται [f] ἀλλή-
λαις ἐναντίαι ὡς φύσει [g] ἢ παρὰ φύσιν, οὔτ' αὔξησις αὐξήσει.
Καὶ ἐπὶ γενέσεως δὲ καὶ φθορᾶς ὁ αὐτὸς λόγος· οὔτε γὰρ ἡ 6
μὲν γένεσις κατὰ φύσιν ἡ δὲ φθορὰ παρὰ φύσιν ([h] τὸ γὰρ
γῆρας κατὰ φύσιν), οὔτε [i] γένεσιν ὁρῶμεν τὴν μὲν κατὰ φύ-
σιν τὴν δὲ παρὰ φύσιν. [k] Εἰ δέ ἐστι τὸ βίᾳ παρὰ φύσιν,
καὶ φθορὰ ἂν εἴη φθορᾷ ἐναντία ἡ βίαιος ὡς παρὰ φύσιν
οὖσα τῇ κατὰ φύσιν. [1]Αρ' οὖν καὶ γενέσεις εἰσὶν ἔνιαι βίαιοι
καὶ οὐχ εἱμαρμέναι, αἷς [l] ἐναντίαι αἱ κατὰ φύσιν, καὶ αὐξήσεις
βίαιοι καὶ φθίσεις, οἷον αὐξήσεις αἱ τῶν ταχὺ διὰ τρυφὴν
ἡβώντων, καὶ οἱ σῖτοι οἱ ταχὺ ἀδρυνόμενοι καὶ μὴ πιληθέντες.
[1]Επὶ δ' ἀλλοιώσεως πῶς; [n]Η ὡσαύτως· [m] εἶεν γὰρ [n] ἄν 7
[o] τινες βίαιοι, αἱ δὲ φυσικαί, [p] οἷον ἀφιέμενοι μὴ ἐν κρισίμοις
ἡμέραις, οἱ [q] δ' ἐν κρισίμοις· οἱ μὲν [r] οὖν παρὰ φύσιν ἠλλοί-
ωνται, οἱ δὲ κατὰ φύσιν. [1]Εσονται [s] δ' [t] ἐναντίαι [v] αἱ φθο-

[t] εἰ om. E. [v] ἡ om. E.I. [w] κινήσεις H. [x] αὐταὶ F. [y] καὶ om. E.F. [z] παρὰ φύσιν καὶ κατὰ φύσιν H. [a] καὶ παρὰ φύσιν om. E. [b] ἡ utrumque om. F. [c] νόσανσις corr. E. [d] γὰρ om. E.I. [e] αὐταὶ I. [f] ἐναντίαι ἀλλήλαις H. [g] ἢ] ἡ δὲ I. [h] τὸ γὰρ γηρᾶν I, ἡ γὰρ γήρανσις E.H. [i] γένεσιν ἢ γήρανσιν ὁρῶμεν H. [k] εἰ δὴ F.I, ἢ εἰ E.H. [l] αἱ κατὰ φύσιν ἐναντίαι F. [m] εἴησαν F.H.I. [n] ἄν om. I. [o] τινες] αἱ μέν τινες F.I. [p] οἷον οἱ ἀφ. E.H.I. [q] τ' F. [r] οὖν om. F.H.I. [s] δ'] δὴ H.I. [t] αἱ φθοραὶ ἐναντίαι E. [v] αἱ om. H.

ραὶ [w]ἀλλήλαις, οὐ γενέσεις. Καὶ τί γε κωλύει; [4]Εστι [x]γὰρ
ὥς. Καὶ γὰρ εἰ ἡ μὲν ἡδεῖα ἡ δὲ λυπηρὰ εἴη· ὥστε οὐχ
ἁπλῶς φθορὰ φθορᾷ ἐναντία, ἀλλ' [y]ᾗ ἡ μὲν τοιαδὶ ἡ δὲ
8 τοιαδὶ αὐτῶν ἐστίν. [5]Ολως μὲν [z]οὖν ἐναντίαι κινήσεις καὶ
ἠρεμίαι τὸν εἰρημένον τρόπον εἰσίν, οἷον ἡ ἄνω τῇ κάτω·
τόπου γὰρ ἐναντιώσεις [a]αὗται. Φέρεται δὲ τὴν [b]μὲν ἄνω
φορὰν φύσει τὸ πῦρ, τὴν δὲ κάτω ἡ γῆ· καὶ [c]ἐναντίαι αὐτῶν
[d]αἱ φοραί. Τὸ δὲ πῦρ ἄνω μὲν φύσει, κάτω δὲ παρὰ φύσιν·
9 καὶ ἐναντία γε ἡ κατὰ φύσιν αὐτοῦ τῇ παρὰ φύσιν. Καὶ
μοναὶ δ' ὡσαύτως· ἡ γὰρ ἄνω μονὴ τῇ ἄνωθεν [e]κάτω κινήσει
ἐναντία. Γίγνεται δὲ τῇ γῇ ἡ μὲν μονὴ [f]ἐκείνη παρὰ φύσιν,
ἡ δὲ κίνησις [g]αὕτη κατὰ φύσιν. [5]Ωστε κινήσει [h]μονὴ ἐναντία
[i]ἡ παρὰ φύσιν τῇ κατὰ φύσιν τοῦ αὐτοῦ· καὶ γὰρ ἡ κίνησις
ἡ τοῦ αὐτοῦ ἐναντία οὕτως· ἡ μὲν γὰρ κατὰ φύσιν [k]ἔσται
10 αὐτῶν, ἡ ἄνω ἢ ἡ κάτω, ἡ δὲ παρὰ [l]φύσιν. [4]Εχει δὲ ἀπο-
ρίαν εἰ ἔστι πάσης ἠρεμίας τῆς μὴ ἀεὶ γένεσις, καὶ αὕτη τὸ
ἵστασθαι. Τοῦ δὴ παρὰ φύσιν μένοντος, οἷον τῆς γῆς ἄνω,
εἴη ἂν γένεσις. [m][5]Οτε [n]ἄρα ἐφέρετο ἄνω βίᾳ, ἵστατο.
[4]Αλλὰ τὸ [o]μὲν ἱστάμενον ἀεὶ δοκεῖ φέρεσθαι θᾶττον, τὸ δὲ
βίᾳ τοὐναντίον. Οὐ γενόμενον ἄρα ἠρεμοῦν ἔσται ἠρεμοῦν.
[p][4]Ετι [q]δοκεῖ τὸ [r]ἵστασθαι ἢ ὅλως εἶναι [s]τὸ εἰς τὸν αὐτοῦ
11 τόπον φέρεσθαι ἢ [t]συμβαίνειν ἅμα. [4]Εχει δ' ἀπορίαν εἰ
ἐναντία [v]ἡ μονὴ ἡ [w]ἐνταῦθα τῇ ἐντεῦθεν κινήσει· ὅταν γὰρ
κινῆται ἐκ τουδὶ [x]ἢ καὶ [y]ἀποβάλλῃ, ἔτι δοκεῖ ἔχειν τὸ ἀπο-

[w] ἀλλήλαις καὶ οὐ γενέσει μόνον. Καὶ τί δὲ κ. H. [x] γὰρ om. E. [y] ᾗ om. E. [z] οὖν αἱ ἐναντίαι H. [a] αὗται. Καθόλου δὲ πρώτως ταῦτα καὶ κυρίως ὑπάρχει. Φέρεται E. [b] μὲν et φορὰν om. E. [c] ἐναντίαι γ' αὐτῶν H. [d] αἱ om. E. [e] κάτω om. E. [f] ἐκείνη ἡ ἄνω παρὰ H. [g] αὐτῇ H, om. E. [h] μόνον E. [i] ἡ κατὰ φύσιν τῇ τοῦ αὐτοῦ παρὰ φύσιν F. [k] αὐτῶν ἔσται F.I. [l] φύσιν. Καθόλου δὲ καὶ πρώτως ταῦτα κυρίως ὑπάρχει. [5]Εχει H. [m] ὅτε] ὁ E. [n] ἄρα] γὰρ E, om. I. [o] μὲν om. E. [p] ἔτι] τι E. [q] δοκεῖ λέγεσθαι τὸ I. [r] ἵστασθαι] ἵστασθαι κυρίως λέγεσθαι ἐπὶ τοῦ κατὰ φύσιν εἰς τὸν οἰκεῖον τόπον ἰόντος, ἀλλ' οὐκ ἐπὶ τοῦ παρὰ φύσιν H. [s] τὸ] τὸν E. [t] συμβαίνει E. [v] ἡ ἐνταῦθα μονὴ H, ἡ μονὴ ἐνταῦθα F, μονὴ ἡ ἐνταῦθα E. [w] ἐνταῦθα pr. H. [x] ἢ om. E.H. [y] ἀποβάλλῃ—τὸ om. E.

βαλλόμενον. [v]Ωστ' [z] εἰ αὐτὴ ἠρεμία ἐναντία τῇ ἐντεῦθεν εἰς τοὐναντίον κινήσει, ἅμα ὑπάρξει τἀναντία. [a][v]Η πῇ ἠρεμεῖ, [b] εἰ ἔτι μένει; [v]Ολως δὲ τοῦ κινουμένου τὸ μὲν ἐκεῖ, τὸ δ' εἰς ὃ [c] μεταβάλλει. Διὸ καὶ μᾶλλον κίνησις κινήσει ἐναντίον ἢ [d] ἠρέμησις. Καὶ περὶ μὲν κινήσεως [e] καὶ ἠρεμίας, [f] καὶ πῶς [g] ἑκατέρα μία, καὶ τίνες ἐναντίαι τίσιν, εἴρηται.

[h][a]Απορήσειε δ' ἄν τις καὶ περὶ τοῦ ἵστασθαι, εἰ καὶ ὅσαι 12
[i] παρὰ φύσιν κινήσεις, ταύταις ἐστὶν ἠρεμία ἀντικειμένη. Εἰ μὲν οὖν μὴ ἔσται, ἄτοπον. [k] Μένει γάρ, βίᾳ δέ. [v]Ωστε ἠρεμοῦν τι ἔσται οὐκ ἀεὶ ἄνευ τοῦ γενέσθαι. [a]Αλλὰ δῆλον ὅτι ἔσται· ὥσπερ γὰρ κινεῖται παρὰ φύσιν, καὶ [l] ἠρεμοῖ ἄν τι παρὰ φύσιν. [a]Επεὶ δ' ἐστὶν [m] ἐνίοις κίνησις κατὰ φύσιν 13
καὶ παρὰ φύσιν, οἷον πυρὶ ἡ ἄνω κατὰ φύσιν ἡ δὲ κάτω παρὰ φύσιν, [n] πότερον αὕτη ἐναντία ἢ ἡ τῆς γῆς; Αὕτη γὰρ φέρεται κατὰ φύσιν κάτω. [a]Η δῆλον ὅτι ἄμφω, ἀλλ' οὐχ ὡσαύτως, ἀλλ' ἡ μὲν κατὰ φύσιν [o] ὡς κατὰ φύσιν [p] οὔσης τῆσδ' αὐτοῦ· [q] ἡ ἄνω τοῦ πυρὸς τῇ κάτω, [r] ὡς ἡ κατὰ φύσιν οὖσα [s] τῇ παρὰ φύσιν οὔσῃ. [t]Ομοίως δὲ καὶ ταῖς μοναῖς. [v]Ισως δ' ἠρεμία κίνησίς [t] πῃ [v] ἀντίκειται.

[w] Ζ.

[x] Εἰ δ' ἐστὶ συνεχὲς καὶ ἁπτόμενον καὶ ἐφεξῆς, ὡς διώ-

[z] εἰ ἡ αὐτὴ F.H, εἰ αὐτὴ ἡ I, ambiguo E. [a] ἢ] εἰ H. [b] εἰ] ἢ E.H. [c] μετέβαλλεν E. [d] ἠρέμησις. Τίς μὲν οὖν κίνησις ἁπλῶς μία εἴρηται. Καὶ Ambrosianus M. 46. et Vaticanus 250. Ἠρέμησις. Τὰ ἄνω λείποντα ἔνθεν ἕως τοῦ σημείου τούτου· ἔτι λέγεται—ἐφαρμόττειν (cap. 4, 13. usque ad finem) E. [e] καὶ ἠρ.] ἢ ἠρ. I. [f] καὶ om. E.I. [g] ἑκάτερον E. [h] ἀπορήσειε δ' ἄν τις—ἀντίκειται om. H. cum Ambrosiano et Vaticanis 250, 307, 935, 1025: habent E.F.I.Q, Baroccianus 79, Coislinianus 166, Marciani 206. et 214. et cl. 4. c. 4; Oxoniensis collegii corporis Christi E. 2, 2; Parisienses Regii 1859, 1860, 1861, 1866, 2032, 2033, 2595; Vaticani 152, 249, 251 (*a*), 256 (T), 1028; Vossianus 3. [i] παρὰ] καὶ παρὰ E. [k] μενεῖ a. [l] ἠρεμοίη I.T. [m] κίνησις ἐνίοις F. [n] π. αὐτῆς E. [o] ὡς post μὲν F. [p] οὖσα F. [q] ἡ om. E. [r] ὡς ἡ] ουσ E. [s] τῇ om. E. [t] πῇ om. E. [v] post ἀντίκειται omisi cum F, quæ ceteri iterum ponunt, ὅταν γὰρ—τίσιν, εἴρηται (sect. 11.). [w] Codices E.F.H.I.K. Z.] φυσικῶν ἕκτον I, περὶ κινήσεως τῶν εἰς γ τὸ β. ζη. E. [x] ἐπεὶ I.

ρισται πρότερον, συνεχῆ μὲν ὧν τὰ ἔσχατα ἕν, ἁπτόμενα δ' ὧν ἅμα, ἐφεξῆς δ' ὧν μηδὲν μεταξὺ συγγενές, [c] ἀδύνατον ἐξ ἀδιαιρέτων εἶναί τι συνεχές, οἷον γραμμὴν ἐκ στιγμῶν, εἴπερ ἡ [d] γραμμὴ μὲν συνεχές, ἡ στιγμὴ δὲ ἀδιαίρετον. Οὔτε γὰρ ἓν τὰ ἔσχατα τῶν στιγμῶν· οὐ γάρ ἐστι τὸ μὲν ἔσχατον τὸ δ' ἄλλο τι μόριον τοῦ ἀδιαιρέτου· οὔθ' ἅμα τὰ ἔσχατα· οὐ γάρ ἐστιν ἔσχατον [e] τοῦ ἀμεροῦς οὐδέν· ἕτερον γὰρ τὸ
2 ἔσχατον καὶ [f] οὗ ἔσχατον. Ἔτι δ' [g] ἀνάγκη ἤτοι συνεχεῖς εἶναι τὰς στιγμὰς ἢ ἁπτομένας ἀλλήλων, ἐξ ὧν ἐστὶ τὸ συνεχές· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν ἀδιαιρέτων. Συνεχεῖς μὲν δὴ οὐκ ἂν εἶεν διὰ τὸν εἰρημένον λόγον· ἅπτεται δ' ἅπαν ἢ ὅλον ὅλου ἢ μέρος μέρους ἢ [h] ὅλου μέρος. Ἐπεὶ δ' ἀμερὲς τὸ ἀδιαίρετον, ἀνάγκη ὅλον ὅλου ἅπτεσθαι. Ὅλον δ' ὅλου ἁπτόμενον οὐκ [i] ἔσται συνεχές· τὸ γὰρ συνεχὲς ἔχει τὸ μὲν ἄλλο τὸ δ' ἄλλο μέρος, καὶ διαιρεῖται εἰς οὕτως
3 [k] ἕτερα καὶ τόπῳ κεχωρισμένα. Ἀλλὰ μὴν οὐδ' ἐφεξῆς ἔσται στιγμὴ στιγμῆς ἢ τὸ νῦν [l] τοῦ νῦν, ὥστ' ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον· ἐφεξῆς μὲν γάρ ἐστιν ὧν [m] μηθέν ἐστι μεταξὺ συγγενές, στιγμῶν δ' ἀεὶ τὸ μεταξὺ γραμμὴ καὶ τῶν νῦν χρόνος. [n] Ἔτι διαιροῖτ' ἂν εἰς ἀδιαίρετα, εἴπερ ἐξ ὧν ἐστὶν ἑκάτερον, εἰς ταῦτα διαιρεῖται. Ἀλλ' οὐθὲν ἦν τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετόν. Ἄλλο δὲ γένος οὐχ οἷόν τ' εἶναι μεταξὺ [o] τῶν στιγμῶν καὶ τῶν νῦν οὐθέν. Εἰ γὰρ ἔσται, δῆλον ὡς ἤτοι [p] ἀδιαίρετον ἔσται ἢ διαιρετόν, καὶ εἰ διαιρετόν, ἢ εἰς ἀδιαίρετα [q] ἢ εἰς ἀεὶ διαιρετά· τοῦτο
4 δὲ συνεχές. Φανερὸν δὲ καὶ ὅτι πᾶν συνεχὲς διαιρετὸν εἰς ἀεὶ διαιρετά· εἰ γὰρ εἰς [r] ἀδιαίρετα, ἔσται ἀδιαίρετον ἀδιαιρέτου ἁπτόμενον· ἓν γὰρ τὸ ἔσχατον, καὶ ἅπτεται τῶν συν-

[c] ἀδύνατον ἐξ om. pr. F. [d] μὲν γραμμὴ σ. ἡ δὲ στιγμὴ H. [e] οὐδὲν (vel οὐθὲν) τοῦ ἀμεροῦς F.H.I.K. [f] οὗ] οὐκ E. [g] δ' om. F.K. [h] ὅλου μέρος] ὅλου μέρους F. [i] ἔστι K. [k] ἕτερα] διαιρετὰ H.I. et corr. E. [l] τοῦ] τῷ E.F.I.K, τῶν H. [m] μηθέν τι ἐστι F. [n] ἔτι δὲ διαιροῖντ' E. [o] τῶν στιγμῶν—ὡς ἤτοι] γὰρ E. [p] ἀδιαίρετον ἢ διαιρετὸν ἔσται F, διαιρετὸν ἢ ἀδιαίρετον ἔσται H.I.K. [q] ἢ εἰς ἀεὶ διαιρετά om. E, ἀεὶ om. pr. F. [r] ἀδιαίρετα] ἀδιαίρετον F, ἀδιαίρετα διαιροῖτο τὸ συνεχὲς E.H.

ἐχῶν. Τοῦ δ' αὐτοῦ λόγου [s] καὶ μέγεθος [t] καὶ χρόνον καὶ κίνησιν ἐξ ἀδιαιρέτων συγκεῖσθαι, καὶ διαιρεῖσθαι εἰς ἀδιαίρετα ἢ μηθέν. Δῆλον δ' ἐκ τῶνδε. Εἰ γὰρ τὸ μέγεθος ἐξ 5
ἀδιαιρέτων σύγκειται, καὶ ἡ κίνησις ἡ τούτου ἐξ ἴσων κινήσεων ἔσται ἀδιαιρέτων, οἷον εἰ [v] τὸ Α Β [w] Γ ἐκ τῶν Α Β Γ [x] ἐστὶν ἀδιαιρέτων, [y] ἡ κίνησις ἐφ' ἧς [z] Δ Ε Ζ, ἣν ἐκινήθη τὸ Ω ἐπὶ τῆς Α Β [a] Γ, ἕκαστον [b] τὸ μέρος ἔχει ἀδιαίρετον. Εἰ 6
[c] δὲ παρούσης κινήσεως ἀνάγκη κινεῖσθαί τι, καὶ εἰ κινεῖταί τι, παρεῖναι κίνησιν, καὶ τὸ κινεῖσθαι ἔσται ἐξ ἀδιαιρέτων. Τὸ μὲν δὴ Α ἐκινήθη τὸ Ω τὴν [d] τὸ Δ κινούμενον κίνησιν, τὸ [e] δὲ Β τὴν τὸ Ε, καὶ τὸ Γ ὡσαύτως τὴν [f] τὸ Ζ. Εἰ δὴ ἀνάγκη 7
τὸ κινούμενον ποθέν ποι μὴ ἅμα κινεῖσθαι καὶ κεκινῆσθαι [g] οὗ ἐκινεῖτο [h] ὅτε ἐκινεῖτο, οἷον εἰ Θήβαζέ [i] τις βαδίζει, ἀδύνατον ἅμα βαδίζειν Θήβαζε καὶ βεβαδικέναι Θήβαζε. Τὴν [k] δὲ τὸ Α τὴν ἀμερῆ ἐκινεῖτο τὸ Ω, [l] ᾗ ἡ τὸ Δ κίνησις παρῆν. [v]Ωστ' εἰ μὲν ὕστερον διῆλθεν ἢ διήει, διαιρετὴ ἂν εἴη· ὅτε γὰρ [m] διήει, οὔτε ἠρέμει οὔτε διεληλύθει, ἀλλὰ μεταξὺ ἦν. Εἰ δ' ἅμα διέρχεται καὶ [n] διελήλυθε τὸ [o] βαδίζον ὅτε βαδίζει, βεβαδικὸς [p] ἐκεῖ ἔσται καὶ κεκινημένον οὗ κινεῖται. Εἰ 8
δὲ τὴν μὲν ὅλην τὴν Α Β Γ κινεῖταί τι, καὶ ἡ κίνησις ἣν κινεῖται [q] τὰ Δ Ε Ζ ἐστί, τὴν δ' ἀμερῆ τὴν Α οὐθέν κινεῖται ἀλλὰ κεκίνηται, [r] εἴη ἂν ἡ κίνησις [s] οὐκ ἐκ [t] κινήσεων ἀλλ' ἐκ κινημάτων καὶ [v] τὸ [w] κεκινῆσθαί τι μὴ κινούμενον· τὴν γὰρ Α διελήλυθεν οὐ διεξιόν. [v]Ωστε ἔσται [x] τι βεβαδικέναι μηδέποτε βαδίζον· ταύτην γὰρ βεβάδικεν οὐ βαδίζον ταύτην. Εἰ οὖν ἀνάγκη [y] ἢ ἠρεμεῖν ἢ κινεῖσθαι [z] πᾶν, ἠρεμεῖ [a] δὲ καθ' 9

[s] καὶ post λόγου om. EI. [t] καὶ κίνησιν καὶ χρόνον H. [v] τὸ μὲν Α F. [w] Γ μέγεθος ἐκ H. [x] ἐστὶν] ἐστὶ μερῶν E.H. [y] ἡ] καὶ ἡ F.K. [z] Δ] ἡ Δ. E.H. [a] Γ] Γ διαστάσεως E.F.H. [b] τὸ om. F.H.I.K. [c] δὴ E.H.I.K. [d] τὸ ante Δ om. E. [e] Β δὲ F. [f] τὸ ante Ζ om. I. [g] οὗ ἐκινεῖτο om. F.K. et in lacuna H. [h] ὅτε ἐκινεῖτο om. I. [i] τις] ἔτι K, τι E.H.I. [k] δὴ H.I.K. [l] ᾗ ἡ τὸ Δ om. E, ἡ om. K. [m] διήει] διήει οὔτε γὰρ διήει E. [n] ἐλήλυθε F. [o] βαδίζει vel βαδίζειν H, omissis ὅτε βαδίζει. [p] ἔσται ἐκεῖ H.K. [q] τὰ] ἡ H. [r] εἴη] ειτ' E. [s] οὐκ—ἀλλ' om. E. [t] κινήσεως H. [v] τὸ om. F.H.I. [w] κινεῖσθαι K. [x] βεβαδικέναι τι H. [y] ἢ ἠρεμεῖν] ἅπαν ἢ ἠρεμεῖν F, ἠρεμεῖν I. [z] πᾶν om. F.I.K. [a] δὲ om. F.K.

ἕκαστον τῶν ΑΒΓ, ὥστ' ἔσται τι συνεχῶς ἠρεμοῦν ἅμα καὶ κινούμενον. Τὴν γὰρ ΑΒΓ ὅλην ἐκινεῖτο καὶ ἠρέμει ὁτιοῦν μέρος, ὥστε καὶ πᾶσαν. Καὶ εἰ μὲν τὰ ἀδιαίρετα [b] τῆς ΔΕΖ, [c] κινήσεις κινήσεως παρούσης ἐνδέχοιτ' ἂν μὴ κινεῖσθαι ἀλλ' ἠρεμεῖν· εἰ δὲ μὴ [d] κινήσεις, τὴν κίνησιν μὴ ἐκ κινήσεων εἶναι. [t]Ὁμοίως δ' ἀνάγκη τῷ μήκει καὶ τῇ κινήσει ἀδιαίρετον εἶναι [e] τὸν χρόνον, καὶ συγκεῖσθαι ἐκ τῶν νῦν ὄντων ἀδιαιρέτων· εἰ γὰρ [f] πᾶσα [g] διαιρετός, [h] ἐν τῷ ἐλάττονι δὲ τὸ ἰσοταχὲς δίεισιν ἔλαττον, [i] διαιρετὸς ἔσται καὶ ὁ χρόνος. Εἰ δ' ὁ χρόνος [k] διαιρετὸς ἐν ᾧ φέρεταί τι τὴν Α, καὶ ἡ τὸ Α ἔσται διαιρετή.

2 [t]Ἐπεὶ δὲ πᾶν μέγεθος εἰς [l] μεγέθη διαιρετόν (δέδεικται γὰρ ὅτι ἀδύνατον ἐξ ἀτόμων εἶναί τι [m] συνεχές, μέγεθος δ' ἐστὶν ἅπαν συνεχές), ἀνάγκη τὸ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον καὶ [n] ἐν τῷ ἐλάττονι [o] ἴσον καὶ ἐν τῷ ἔλαττονι [p] πλεῖον κινεῖσθαι, καθάπερ ὁρίζονταί τινες τὸ θᾶττον. [u]Ἔστω γὰρ τὸ ἐφ' [q] ᾧ Α τοῦ [r] ἐφ' ᾧ Β θᾶττον. [t]Ἐπεὶ τοίνυν θᾶττόν ἐστι τὸ πρότερον μεταβάλλον, ἐν ᾧ χρόνῳ τὸ Α μεταβέβληκεν ἀπὸ τοῦ Γ εἰς τὸ Δ, [s] οἷον τῷ ΖΗ, ἐν τούτῳ τὸ Β οὔπω ἔσται πρὸς τῷ Δ, ἀλλ' ἀπολείψει, ὥστε ἐν τῷ ἴσῳ χρόνῳ 2 πλεῖον δίεισι τὸ θᾶττον. [t]Ἀλλὰ μὴν καὶ ἐν τῷ ἐλάττονι [t] πλεῖον· ἐν ᾧ γὰρ τὸ Α γεγένηται πρὸς τῷ Δ, [v] τὸ Β [w] ἔστω πρὸς τῷ Ε [x] τὸ βραδύτερον [y] ὄν. Οὐκοῦν ἐπεὶ τὸ Α πρὸς τῷ Δ γεγένηται ἐν ἅπαντι τῷ ΖΗ χρόνῳ, πρὸς τῷ Θ ἔσται ἐν ἐλάττονι τούτου· καὶ [z] ἔστω ἐν τῷ ΖΚ. Τὸ μὲν οὖν ΓΔ, ὃ διελήλυθε τὸ Α, μεῖζόν [a] ἐστι τοῦ ΓΕ, ὁ δὲ χρόνος ὁ ΖΚ [b] ἐλάττων τοῦ παντὸς τοῦ ΖΗ, ὥστε ἐν

[b] τῆς] τὰ H.K, τὰς E. [c] κίνησις E. [d] κίνησις E, κινήσεις εἰσὶ I. [e] τὸν] καὶ τὸν H.I. [f] πᾶς pr. E. [g] ἀδιαίρετος F. et pr. I, qui γρ. καὶ ἅπας διαιρετὸς καὶ πᾶς ἀδιαίρετος. [h] ἐν] καὶ ἐν K, omissa δέ. [i] καὶ ὁ χρόνος ἔσται διαιρετός K. [k] διαιρετὸς ἔσται ἐν F.I. [l] μέγεθος E.F. [m] συνεχές] μέγεθος E.H.I. [n] ἐν om. E. [o] ἴσον καὶ ἐν τῷ ἐλάττονι om. F.K. [p] πλέον I. [q] ᾧ τὸ A I.K. [r] ἐφ' ᾧ om. E, ἐφ' ᾧ τὸ H. [s] οἷον ἐν τῷ F.I. [t] πλέον F.H.K, τὸ πλεῖον E, πλεῖον τούτου I. [v] τὸ B—τῷ Δ om. K. [w] ἔσται F. [x] τὸ om. E. [y] ὄν om. F.I. [z] ἔσται E.I. [a] ἐστι om. K. [b] ἔλαττον I.

ἐλάττονι [c] μείζον δίεισιν. Φανερὸν [d] δὲ ἐκ τούτων καὶ ὅτι τὸ 3
θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισι τὸ ἴσον. [e] Ἐπεὶ γὰρ τὴν
μείζω [f] ἐν ἐλάττονι διέρχεται τοῦ βραδυτέρου, αὐτὸ δὲ καθ'
αὑτὸ λαμβανόμενον ἐν πλείονι χρόνῳ τὴν μείζω τῆς ἐλάτ-
τονος, οἷον τὴν Λ Μ τῆς Λ Ξ, πλείων ἂν εἴη ὁ χρόνος ὁ
Π Ρ, ἐν ᾧ τὴν Λ Μ διέρχεται, ἢ ὁ Π Σ, ἐν ᾧ τὴν Λ Ξ.
[v] Ὥστε εἰ ὁ Π Ρ χρόνος ἐλάττων ἐστὶ [g] τοῦ [h] Π Χ, ἐν ᾧ τὸ
βραδύτερον διέρχεται τὴν Λ Ξ, καὶ ὁ Π Σ ἐλάττων ἔσται
τοῦ ἐφ' ᾧ [i] Π Χ· τοῦ γὰρ Π Ρ ἐλάττων, τὸ δὲ τοῦ ἐλάτ-
τονος ἔλαττον καὶ [k] αὐτὸ ἔλαττον. [l] Ὥστε ἐν ἐλάττονι
[l] κινήσεται τὸ ἴσον. [m] Ἔτι δ' εἰ πᾶν ἀνάγκη [m] ἢ ἐν ἴσῳ 4
[n] χρόνῳ ἢ [o] ἐν ἐλάττονι ἢ ἐν πλείονι κινεῖσθαι, [p] καὶ τὸ μὲν
ἐν πλείονι βραδύτερον, τὸ δ' ἐν ἴσῳ ἰσοταχές, τὸ δὲ θᾶττον
οὔτε [q] ἰσοταχὲς οὔτε βραδύτερον, οὔτ' [r] ἂν ἐν ἴσῳ οὔτ' [s] ἐν
πλείονι κινοῖτο τὸ θᾶττον. Λείπεται οὖν ἐν ἐλάττονι, [t] ὥστ'
ἀνάγκη καὶ τὸ ἴσον μέγεθος ἐν ἐλάττονι χρόνῳ διιέναι τὸ
θᾶττον. [u] Ἐπεὶ [v] δὲ πᾶσα μὲν κίνησις ἐν χρόνῳ καὶ ἐν ἅπαντι 5
χρόνῳ δυνατὸν κινηθῆναι, πᾶν δὲ τὸ κινούμενον ἐνδέχεται
[w] καὶ θᾶττον κινεῖσθαι καὶ βραδύτερον, [x] ἐν ἅπαντι χρόνῳ
[y] ἔσται τὸ θᾶττον κινεῖσθαι καὶ βραδύτερον. Τούτων δ' ὄν-
των ἀνάγκη καὶ τὸν χρόνον συνεχῆ εἶναι. Λέγω δὲ συνεχὲς
τὸ διαιρετὸν εἰς ἀεὶ διαιρετά· τούτου γὰρ ὑποκειμένου τοῦ
συνεχοῦς, ἀνάγκη συνεχῆ [z] εἶναι τὸν χρόνον. [u] Ἐπεὶ γὰρ 6
δέδεικται ὅτι [a] τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισι τὸ ἴσον,
ἔστω [b] τὸ μὲν ἐφ' ᾧ Α θᾶττον, τὸ δ' ἐφ' ᾧ Β βραδύτερον,
καὶ [c] κεκινήσθω τὸ βραδύτερον τὸ ἐφ' ᾧ Γ Δ μέγεθος ἐν τῷ
Ζ Η χρόνῳ. Δῆλον τοίνυν ὅτι τὸ θᾶττον ἐν ἐλάττονι τού-

[c] δίεισι μείζον F.H.I.K. [d] δὴ E. [e] ἐπειδὴ F.I.K. [f] ἐν om. I. [g] τοῦ ΠΧ—ἐλάττων ἔσται om. K. [h] Π om. E. [i] Π ante Χ om. E.H.I. [k] αὐτοῦ pr. E. [l] κινηθήσεται F.H.I.K. [m] ἢ] μέρος ἢ K, μὲν ἢ F.H.I. [n] χρόνῳ om. F.H.I.K. [o] ἐν ante ἐλ. om. E. [p] καὶ om. I. [q] ὁμοταχὲς E. [r] ἐν ἴσῳ ἂν F.H.I.K. [s] ἐν ante πλ. om. F. [t] ὥστ'—ἐλάττονι om. pr. K. [u] δὲ] δὲ εἰ K. [v] καὶ ante θ. om. H. [x] ἐν—βραδύτερον om. pr. I. [y] ἔξεστι H. [z] εἶναι om. H. [a] τὸ ante θ. om. H. [b] τὸ ante μὲν om. I. [c] κινείσθω I.

του [d] κινήσεται τὸ αὐτὸ μέγεθος· καὶ κεκινήσθω ἐν τῷ Ζ Θ.
7 [e] Πάλιν δ' ἐπεὶ τὸ θᾶττον ἐν τῷ Ζ Θ διελήλυθε τὴν ὅλην τὴν Γ Δ, τὸ βραδύτερον ἐν τῷ αὐτῷ χρόνῳ τὴν ἐλάττω δίεισιν· ἔσται οὖν ἐφ' [f] ἧς Γ Κ. [g] Ἐπεὶ δὲ τὸ βραδύτερον τὸ Β ἐν τῷ Ζ Θ χρόνῳ τὴν Γ Κ διελήλυθε, τὸ θᾶττον ἐν ἐλάττονι δίεισιν, ὥστε πάλιν διαιρεθήσεται ὁ Ζ Θ χρόνος. Τούτου δὲ διαιρουμένου καὶ τὸ Γ Κ μέγεθος διαιρεθήσεται κατὰ τὸν
8 αὐτὸν λόγον. Εἰ δὲ τὸ μέγεθος, καὶ ὁ χρόνος. Καὶ ἀεὶ τοῦτ' ἔσται μεταλαμβάνουσιν ἀπὸ τοῦ θάττονος τὸ βραδύτερον καὶ ἀπὸ τοῦ βραδυτέρου τὸ θᾶττον, καὶ τῷ ἀποδεδειγμένῳ χρωμένοις· διαιρήσει γὰρ τὸ μὲν θᾶττον τὸν χρόνον, τὸ δὲ βραδύτερον τὸ μῆκος. Εἰ οὖν ἀεὶ μὲν ἀντιστρέφειν ἀληθές, ἀντιστρεφομένου δὲ ἀεὶ γίνεται διαίρεσις, φανερὸν ὅτι πᾶς χρόνος ἔσται συνεχής. [h] Ἅμα δὲ δῆλον καὶ ὅτι μέγεθος ἅπαν ἐστὶ συνεχές· τὰς αὐτὰς γὰρ καὶ τὰς ἴσας [g] διαιρέ-
9 ρεσις [h] ὁ χρόνος διαιρεῖται καὶ τὸ μέγεθος. [i] Ἔτι δὲ καὶ ἐκ τῶν εἰωθότων λόγων λέγεσθαι φανερὸν ὡς εἴπερ ὁ χρόνος ἐστὶ συνεχής, ὅτι καὶ τὸ μέγεθος, εἴπερ [i] ἐν τῷ ἡμίσει χρόνῳ ἥμισυ διέρχεται καὶ ἁπλῶς ἐν τῷ ἐλάττονι ἔλαττον· αἱ γὰρ αὐταὶ διαιρέσεις ἔσονται τοῦ χρόνου καὶ τοῦ μεγέθους. Καὶ εἰ ὁποτερονοῦν ἄπειρον, καὶ θάτερον, καὶ ὡς θάτερον, [k] καὶ θάτερον, οἷον εἰ μὲν [l] τοῖς ἐσχάτοις ἄπειρος ὁ χρόνος, καὶ τὸ μῆκος τοῖς ἐσχάτοις, εἰ δὲ τῇ διαιρέσει, [m] τῇ διαιρέσει καὶ τὸ μῆκος, εἰ δὲ ἀμφοῖν [n] ὁ χρόνος, ἀμφοῖν καὶ τὸ [o] μέγεθος.
10 Διὸ καὶ ὁ Ζήνωνος λόγος ψεῦδος λαμβάνει τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν ἢ ἅψασθαι τῶν ἀπείρων καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. [p] Διχῶς γὰρ λέγεται [q] καὶ [r] τὸ μῆκος καὶ ὁ χρόνος [s] ἄπειρον, καὶ ὅλως πᾶν τὸ συνεχές, [t] ἤτοι κατὰ διαίρεσιν ἢ τοῖς ἐσχάτοις. Τῶν μὲν οὖν [v] κατὰ ποσὸν ἀπεί-

[d] κινηθήσεται F.H.I.K. [e] πάλιν—Ζ Θ om. I. [f] ἧς τὸ ΓΚ E. [g] αἱρέσεις E. [h] ὅ τε χρόνος καὶ τὸ μέγεθος διαιρεῖται F.H.I.K. [i] ἐν] καὶ ἐν E. [k] καὶ θάτερον om. E. [l] τοῖς] ἐν τοῖς F.I. [m] τῇ διαιρέσει om. E. [n] ὁ χρόνος om. E. [o] μέγεθος] μῆκος F. [p] διχῶς —χρόνῳ om. F. [q] καὶ ante τὸ om. H. [r] ὁ χρόνος καὶ τὸ μῆκος H.K. [s] ἄπειρος E. [t] ἤτοι] ἢ τὸ H.I, ἢ τῷ F.K. κατὰ τὸ πόσον F.H.I.K.

ρων οὐκ ἐνδέχεται ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ, τῶν δὲ κατὰ διαίρεσιν ἐνδέχεται· καὶ γὰρ αὐτὸς ὁ χρόνος οὕτως ἄπειρος. [v]Ὥστε ἐν τῷ ἀπείρῳ καὶ οὐκ ἐν τῷ πεπερασμένῳ 11
συμβαίνει διιέναι [w]τὸ ἄπειρον, καὶ ἅπτεσθαι τῶν ἀπείρων τοῖς ἀπείροις, οὐ τοῖς πεπερασμένοις. [x]Οὔτε [y]δὴ τὸ ἄπειρον οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν, [z]οὔτ' ἐν ἀπείρῳ τὸ πεπερασμένον· ἀλλ' [a]ἐάν τε ὁ χρόνος ἄπειρος ᾖ, καὶ τὸ [b]μέγεθος ἔσται ἄπειρον, ἐάν τε τὸ μέγεθος, καὶ ὁ χρόνος. [v]Ἐστω γὰρ πεπερασμένον μέγεθος ἐφ' οὗ **A B**, χρόνος δὲ 12
ἄπειρος ἐφ' [c]ᾧ **Γ**· εἰλήφθω [d]δέ τι [e]τοῦ χρόνου πεπερασμένον, ἐφ' ᾧ **Γ Δ**. [t]Ἐν τούτῳ οὖν δίεισί τι τοῦ μεγέθους, καὶ ἔστω διεληλυθὸς ἐφ' [f]ᾧ **B E**. Τοῦτο [g]δὲ ἢ καταμετρήσει τὸ ἐφ' ᾧ **A B**, ἢ ἐλλείψει, ἢ ὑπερβαλεῖ· διαφέρει γὰρ οὐθέν· εἰ γὰρ ἀεὶ τὸ ἴσον τῷ [h]**B E** μέγεθος ἐν ἴσῳ χρόνῳ δίεισι, τοῦτο δὲ [i]καταμετρεῖ τὸ ὅλον, πεπερασμένος ἔσται ὁ [k]πᾶς χρόνος ἐν ᾧ διῆλθεν· [l]εἰς ἴσα γὰρ διαιρεθήσεται, [m]ὡς καὶ τὸ μέγεθος. [t]Ἔτι δ' εἰ μὴ πᾶν μέγεθος ἐν ἀπείρῳ χρόνῳ δίει- 13
σιν, ἀλλ' ἐνδέχεταί [n]τι καὶ ἐν πεπερασμένῳ διελθεῖν, οἷον τὸ **B E**, [o]τοῦτο δὲ καταμετρήσει τὸ πᾶν, καὶ τὸ ἴσον ἐν ἴσῳ δίεισιν, ὥστε πεπερασμένος ἔσται καὶ ὁ χρόνος. [v]Ὅτι δ' οὐκ ἐν ἀπείρῳ δίεισι τὸ **B E**, φανερόν, εἰ ληφθείη ἐπὶ [p]θάτερα πεπερασμένος ὁ χρόνος· εἰ γὰρ [q]ἐν ἐλάττονι τὸ μέρος δίεισι, τοῦτο ἀνάγκη πεπεράνθαι, θατέρου [r]γε [s]πέρατος ὑπάρχοντος. [t]Ἡ αὐτὴ δ' ἀπόδειξις καὶ εἰ τὸ μὲν μῆκος ἄπειρον, ὁ δὲ χρόνος πεπερασμένος. Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς 14
οὔτε γραμμὴ οὔτε ἐπίπεδον [t]οὔτε ὅλως τῶν συνεχῶν οὐθὲν [v]ἔσται ἄτομον, οὐ μόνον διὰ τὸ νῦν λεχθέν, ἀλλὰ [w]καὶ [x]ὅτι [y]συμβήσεται διαιρεῖσθαι τὸ ἄτομον. [t]Ἐπεὶ γὰρ ἐν ἅπαντι

[w] τὰ ἄπειρα F. [x] οὐδὲ E.F.H.I.K. [y] δὴ οὖν τὸ F. [z] οὐδ' codices. [a] ἄν F.H.I.K. [b] μέγεθος—τε τὸ om. pr. K. [c] οὗ I. [d] δή F.H.I.K. [e] πεπ. τοῦ χρόνου F. [f] ᾧ τὸ B E. [g] δὴ I. [h] τὸ E. [i] καταμετρήσει H. [k] χρόνος πᾶς F. [l] εἰς om. E. [m] ὡς om. E. [n] τι om. H. [o] τοῦτο—BE om. K. [p] θάτερον F. [q] ἐν om. F. [r] γε] γὰρ F. [s] πεπερασμένου E. [t] οὔτε] οὔτε τι E, om. I. [v] ἐστιν F. [w] καὶ om. H. [x] διότι I. [y] συμβαίνει H.

χρόνῳ [z] τὸ θᾶττον καὶ βραδύτερόν ἐστι, τὸ δὲ θᾶττον πλεῖον διέρχεται ἐν [a] τῷ ἴσῳ χρόνῳ, [b] ἐνδέχεται καὶ διπλάσιον καὶ ἡμιόλιον διιέναι μῆκος· εἴη γὰρ ἂν οὗτος ὁ λόγος τοῦ τάχους. [1] Ἐνηνέχθω οὖν τὸ θᾶττον ἡμιόλιον ἐν τῷ αὐτῷ χρόνῳ, καὶ διηρήσθω τὰ μεγέθη τὰ μὲν τοῦ θάττονος, ἐφ' [c] ᾧ [d] Α Β Β Γ Γ Δ, εἰς τρία ἄτομα, [e] τὰ δὲ τοῦ βραδυτέρου εἰς δύο, ἐφ' ὧν Ε Ζ [f] ΖΗ. Οὐκοῦν καὶ ὁ χρόνος διαιρεθήσεται εἰς τρία ἄτομα· τὸ γὰρ ἴσον ἐν τῷ ἴσῳ χρόνῳ δίεισιν. Διηρήσθω οὖν ὁ χρόνος εἰς [g] τὰ [h] Κ Λ Λ Μ Μ Ν. Πάλιν [i] δ' ἐπεὶ τὸ βραδύτερον ἐνήνεκται τὴν [k] Ε Ζ Ζ Η, καὶ ὁ χρόνος τμηθήσεται δίχα. Διαιρεθήσεται ἄρα τὸ ἄτομον, καὶ τὸ ἀμερὲς οὐκ ἐν ἀτόμῳ δίεισιν ἀλλ' ἐν [l] πλείονι. Φανερὸν οὖν ὅτι οὐδέν [m] ἐστι τῶν συνεχῶν ἀμερές.

3 [1] Ἀνάγκη δὲ καὶ τὸ νῦν τὸ μὴ καθ' ἕτερον ἀλλὰ καθ' αὑτὸ καὶ πρῶτον λεγόμενον ἀδιαίρετον [n] εἶναι, καὶ ἐν ἅπαντι [o] τὸ [p] τοιοῦτο χρόνῳ ἐνυπάρχειν. [1] Ἔστι [q] γὰρ ἔσχατόν τι τοῦ γεγονότος, [r] οὗ ἐπὶ τάδε οὐθέν ἐστι τοῦ μέλλοντος, [s] καὶ πάλιν τοῦ μέλλοντος, οὗ ἐπὶ τάδε οὐθέν ἐστι τοῦ γεγονότος· ὃ δὴ [t] ἔφαμεν ἀμφοῖν εἶναι πέρας. Τοῦτο δὲ ἂν δειχθῇ ὅτι τοιοῦτόν ἐστι [v] καθ' αὑτὸ καὶ [w] ταὐτόν, ἅμα φανερὸν ἔσται
2 καὶ ὅτι [x] ἀδιαίρετον. [1] Ἀνάγκη [y] δὴ τὸ αὐτὸ εἶναι τὸ νῦν τὸ ἔσχατον [z] ἀμφοτέρων τῶν χρόνων· εἰ γὰρ ἕτερον, ἐφεξῆς μὲν οὐκ ἂν εἴη θάτερον θατέρῳ διὰ τὸ μὴ εἶναι συνεχὲς ἐξ ἀμερῶν, εἰ δὲ χωρὶς ἑκάτερον, μεταξὺ [a] ἔσται χρόνος· [b] πᾶν γὰρ τὸ συνεχὲς τοιοῦτον ὥστ' εἶναί [c] τι συνώνυμον μεταξὺ τῶν περάτων. [1] Ἀλλὰ μὴν [d] εἰ χρόνος τὸ μεταξύ, [e] διαιρετὸν

[z] τὸ θᾶττον καὶ τὸ βραδύτερόν ἐστι I, τὸ βραδύτερόν ἐστι καὶ τὸ θᾶττον H. [a] τῷ om. E. [b] ἐνδ. δὲ καὶ E.I.K. [c] ὧν H. [d] Α Β Γ Δ E.I.K. [e] τὸ E. τὰ δὲ—ἄτομα om. pr. F. [f] alterum Z om. E.I.K. [g] τὰ] τὴν F.K, om. E. [h] Κ Λ Μ Ν E.I.K. [i] δ' om. H. [k] Ε Ζ Η E.I. [l] πλείοσι H, πλείονι τοῦ θάττονος E. [m] τῶν συνεχῶν ἐστὶν H. [n] εἶναι om. E.I.K. [o] τὸ om. F.K. [p] τοιοῦτον F.H.I.K. [q] γὰρ] γὰρ τὸ E. [r] οὗ—γεγονότος om. K. [s] καὶ—γεγονότος om. pr. I. [t] φαμὲν H, ἔφαμεν ἐν E. [v] καθ' αὑτὸ om. E.I. [w] ταυτὸ H. [x] ἀδιαίρετόν ἐστιν E. [y] δὲ F. [z] τῶν χρόνων ἀμφοτέρων H. [a] ἐστιν ὁ χρόνος H. [b] ἅπαν E. [c] τι om. H. [d] εἰ] εἰ ὁ F.H. [e] διαιρετὸς F.H.I.K.

ἔσται· πᾶς γὰρ χρόνος δέδεικται ὅτι διαιρετός. Ὥστε διαι- 3
ρετὸν τὸ νῦν. Εἰ δὲ διαιρετὸν τὸ νῦν, ἔσται τι τοῦ γεγο-
νότος ἐν τῷ μέλλοντι καὶ τοῦ μέλλοντος ἐν τῷ γεγονότι·
καθ' ὃ γὰρ [g] ἂν διαιρεθῇ, τοῦτο [h] διοριεῖ τὸν παρήκοντα καὶ
τὸν μέλλοντα χρόνον. Ἅμα δὲ καὶ οὐκ ἂν καθ' αὐτὸ εἴη τὸ
νῦν, ἀλλὰ καθ' ἕτερον· ἡ γὰρ διαίρεσις [i] οὐ καθ' αὐτό. Πρὸς 4
δὲ τούτοις τοῦ νῦν τὸ μέν [k] τι γεγονὸς ἔσται τὸ δὲ μέλλον,
καὶ οὐκ ἀεὶ τὸ αὐτὸ γεγονὸς ἢ μέλλον. Οὐδὲ δὴ τὸ νῦν τὸ
[l] αὐτό· πολλαχῇ γὰρ διαιρετὸς ὁ χρόνος. Ὥστ' εἰ ταῦτα
ἀδύνατον ὑπάρχειν [m] τῷ νῦν, ἀνάγκη τὸ αὐτὸ εἶναι τὸ ἐν ἑκα-
τέρῳ νῦν. Ἀλλὰ μὴν εἰ ταὐτό, φανερὸν ὅτι καὶ ἀδιαίρετον·
εἰ γὰρ διαιρετόν, πάλιν [n] ταὐτὰ συμβήσεται ἃ καὶ ἐν τῷ
[o] πρότερον. Ὅτι μὲν τοίνυν ἐστί τι ἐν τῷ χρόνῳ [p] ἀδιαί- 5
ρετον, ὃ φαμεν εἶναι τὸ νῦν, δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων·
ὅτι δ' οὐδὲν ἐν τῷ νῦν κινεῖται, ἐκ τῶνδε φανερόν ἐστιν. Εἰ
γάρ [q] ἐστιν, ἐνδέχεται [r] καὶ θᾶττον κινεῖσθαι [s] ἐν αὐτῷ καὶ
βραδύτερον. Ἔστω δὴ τὸ νῦν ἐφ' ᾧ Ν, κεκινήσθω [t] δ' ἐν 6
αὐτῷ τὸ θᾶττον τὴν Α Β. Οὐκοῦν τὸ βραδύτερον ἐν τῷ
αὐτῷ ἐλάττω τῆς Α Β κινηθήσεται, οἷον τὴν Α Γ. Ἐπεὶ
δὲ τὸ βραδύτερον ἐν ὅλῳ τῷ νῦν κεκίνηται τὴν Α Γ, τὸ θᾶττον
ἐν ἐλάττονι [v] τούτου κινηθήσεται. Ὥστε διαιρεθήσεται τὸ
νῦν. Ἀλλ' ἦν ἀδιαίρετον. Οὐκ ἄρα ἔστι κινεῖσθαι ἐν τῷ 7
νῦν. Ἀλλὰ μὴν οὐδ' ἠρεμεῖν· ἠρεμεῖν γὰρ [w] ἐλέγομεν τὸ
πεφυκὸς κινεῖσθαι μὴ κινούμενον ὅτε πέφυκε [x] καὶ οὗ καὶ ὡς,
ὥστ' ἐπεὶ ἐν τῷ νῦν οὐθὲν πέφυκε κινεῖσθαι, δῆλον [y] ὡς οὐδ'
ἠρεμεῖν. Ἔτι δ' εἰ τὸ αὐτὸ μέν ἐστι τὸ νῦν ἐν ἀμφοῖν τοῖν 8
χρόνοιν, ἐνδέχεται δὲ [z] τὸν μὲν κινεῖσθαι τὸν δ' ἠρεμεῖν ὅλον,
[a] τὸ δ' ὅλον κινούμενον τὸν χρόνον ἐν ὁτῳοῦν κινηθήσεται
τῶν τούτου καθ' ὃ πέφυκε κινεῖσθαι, καὶ τὸ ἠρεμοῦν ὡσαύτως

[g] ἂν] ἄν τι E. [h] ὁριεῖ E.F.H.K. [i] οὐ om. H. [k] τι] τοι F.
[l] αὐτὸ ἅμα π. E. [m] τὸ νῦν K, om. E.H. [n] ταῦτα H.K. [o] προτέρῳ
F.I. [p] διαιρετὸν I. [q] ἐστιν post γὰρ om. E. [r] κινεῖσθαι καὶ θᾶττον H.
[s] ἐν αὐτῷ om. E. [t] τ' I. [v] τουτο E. [w] λέγομεν I. [x] καὶ ante
οὗ om. H. [y] ὡς] ὅτι F.H.I.K. [z] τὸ μὲν κ. τὸ H. [a] τὸν δ' ὅλον E.

ἠρεμήσει, συμβήσεται τὸ αὐτὸ [b]ἅμα ἠρεμεῖν καὶ κινεῖσθαι· τὸ γὰρ αὐτὸ ἔσχατον [c]τῶν χρόνων ἀμφοτέρων, τὸ νῦν. [d]Ἔτι δ' ἠρεμεῖν [d]μὲν λέγομεν τὸ ὁμοίως ἔχον καὶ αὐτὸ καὶ τὰ μέρη νῦν καὶ πρότερον· ἐν δὲ τῷ νῦν οὐκ ἔστι τὸ πρότερον, ὥστ' οὐδ' ἠρεμεῖν. [1]Ἀνάγκη ἄρα καὶ κινεῖσθαι τὸ κινούμενον ἐν χρόνῳ καὶ [e]ἠρεμεῖν τὸ ἠρεμοῦν.

4 Τὸ δὲ μεταβάλλον ἅπαν [f]ἀνάγκη διαιρετὸν εἶναι. [1]Ἐπεὶ [g]γὰρ ἔκ τινος εἴς τι πᾶσα μεταβολή, [h]καὶ ὅταν [i]μὲν ᾖ ἐν τούτῳ εἰς ὃ [k]μετέβαλεν, οὐκέτι μεταβάλλει, ὅταν δὲ ἐξ οὗ [k]μετέβαλε, καὶ αὐτὸ καὶ τὰ μέρη πάντα οὐ μεταβάλλει· τὸ γὰρ ὡσαύτως [l]ἔχον καὶ αὐτὸ καὶ τὰ μέρη οὐ μεταβάλλει.

2 [1]Ἀνάγκη οὖν τὸ μέν τι ἐν τούτῳ εἶναι, τὸ δ' ἐν θατέρῳ τοῦ μεταβάλλοντος· οὔτε γὰρ ἐν [m]ἀμφοτέροις οὔτ' ἐν [n]μηδετέρῳ δυνατόν. Λέγω [o]δ' εἰς ὃ μεταβάλλει τὸ πρῶτον κατὰ τὴν μεταβολήν, οἷον ἐκ τοῦ λευκοῦ τὸ φαιόν, οὐ τὸ μέλαν· οὐ γὰρ ἀνάγκη τὸ μεταβάλλον ἐν [p]ὁποτερῳοῦν εἶναι τῶν ἄκρων. Φανερὸν οὖν ὅτι πᾶν τὸ μεταβάλλον ἔσται διαιρετόν.

3 Κίνησις δ' ἐστὶ διαιρετὴ διχῶς, ἕνα μὲν τρόπον τῷ χρόνῳ, ἄλλον δὲ κατὰ τὰς τῶν μερῶν τοῦ κινουμένου κινήσεις, οἷον εἰ τὸ [q]Α Γ κινεῖται ὅλον, καὶ τὸ Α Β [r]κινήσεται καὶ τὸ Β Γ. [1]Ἔστω [s]δὴ τοῦ μὲν Α Β ἡ Δ Ε, τοῦ δὲ Β Γ ἡ Ε Ζ κίνησις τῶν μερῶν. [1]Ἀνάγκη [t]δὴ τὴν ὅλην, ἐφ' ἧς [v]ἡ Δ Ζ, τοῦ Α Γ εἶναι κίνησιν· κινήσεται γὰρ κατὰ ταύτην, ἐπείπερ ἑκάτερον τῶν μερῶν κινεῖται καθ' [w]ἑκατέραν. Οὐθὲν δὲ κινεῖται κατὰ [x]τὴν ἄλλου κίνησιν, ὥστε ἡ ὅλη κίνησις τοῦ ὅλου

4 [y]ἐστὶ μεγέθους κίνησις. [1]Ἔτι δ' εἰ [z]πᾶσα μὲν κίνησις τινός, ἡ δ' ὅλη κίνησις [a]ἡ ἐφ' ἧς Δ Ζ μήτε τῶν μερῶν ἐστὶ μηδε-

[b] ἠρεμεῖν ἅμα K. [c] ἀμφοτέρων τῶν χρόνων K. [d] μὲν om. H.K. [e] ἠρεμεῖν τὸ om. E. [f] διαιρετὸν ἀνάγκη F. [g] γὰρ καὶ ἐκ F.K. [h] καὶ om. I. [i] μενη E. [k] μετέβαλλεν E.K. [l] ἔχειν H. [m] ἀμφοτέρῳ F. [n] μηδετέρῳ ὅλον δ. I. [o] δ'] δὲ τὸ E. [p] ὁποτέρωι E. [q] Α Β Γ E. [r] κινηθήσεται H. [s] δὴ om. E. [t] δὲ I. [v] ἡ om. E. [w] ἑτέραν K. [x] τὴν τοῦ ἄλλου I. [y] μεγέθους ἐστὶ H. [z] ἅπασα F.H.I.K. [a] ἡ ἐφ' ἧς] ἐφ' ἧς ἡ F.K.

τέρου ([b]μέρους γὰρ [c]ἑκατέρα) μήτ' ἄλλου μηδενός (οὗ γὰρ [d]ἡ ὅλη ὅλου, καὶ τὰ μέρη τῶν μερῶν· τὰ δὲ μέρη [e]τοῦ Δ Ζ τῶν Α Β Γ καὶ [f]οὐδένων ἄλλων· πλειόνων γὰρ οὐκ ἦν μία κίνησις), [g]κἂν [h]ἡ ὅλη κίνησις [i]εἴη [k]ἂν τοῦ Α [l]Β Γ μεγέθους. [m]Ἔτι δ' εἰ [n]μέν ἐστιν [o]ἄλλη τοῦ ὅλου κίνησις, οἷον ἐφ' ἧς Θ [o]Ι, ἀφαιρεθήσεται ἀπ' αὐτῆς [p]ἡ ἑκατέρων τῶν μερῶν κίνησις· αὗται δ' ἴσαι ἔσονται ταῖς Δ Ε Ε Ζ· μία γὰρ ἑνὸς κίνησις. [q]Ὥστ' εἰ μὲν ὅλη διαιρεθήσεται ἡ Θ Ι [q]εἰς [r]τὰς τῶν μερῶν [s]κινήσεις, ἴση ἔσται ἡ Θ Ι τῇ Δ Ζ· εἰ δ' [t]ἀπολείπει τι, οἷον τὸ Κ Ι, αὕτη οὐδενὸς [v]ἔσται κίνησις· οὔτε γὰρ [w]τοῦ ὅλου οὔτε τῶν μερῶν διὰ τὸ μίαν [x]εἶναι ἑνός, οὔτ' ἄλλου οὐθενός· ἡ γὰρ συνεχὴς κίνησίς [y]ἐστι συνεχῶν τινῶν. [z]Ὡσαύτως δὲ καὶ εἰ [z]ὑπερβάλλει κατὰ τὴν διαίρεσιν· ὥστ' εἰ τοῦτο ἀδύνατον, ἀνάγκη τὴν αὐτὴν εἶναι καὶ ἴσην. Αὕτη μὲν οὖν 6
ἡ διαίρεσις κατὰ τὰς τῶν μερῶν κινήσεις ἐστίν, καὶ ἀνάγκη παντὸς εἶναι τοῦ μεριστοῦ αὐτήν. [t]Ἄλλη δὲ κατὰ τὸν χρόνον· ἐπεὶ γὰρ [a]ἅπασα κίνησις ἐν χρόνῳ, χρόνος δὲ πᾶς διαιρετός, ἐν δὲ τῷ ἐλάττονι ἐλάττων ἡ κίνησις, ἀνάγκη πᾶσαν κίνησιν διαιρεῖσθαι κατὰ τὸν χρόνον. [t]Ἐπεὶ δὲ πᾶν τὸ κι- 7
νούμενον ἔν [b]τινι κινεῖται καὶ χρόνον τινά, καὶ παντός [c]ἐστι κίνησις, ἀνάγκη τὰς αὐτὰς [d]εἶναι διαιρέσεις τοῦ τε χρόνου καὶ τῆς κινήσεως καὶ τοῦ κινεῖσθαι καὶ τοῦ κινουμένου καὶ ἐν ᾧ ἡ κίνησις. [e]Πλὴν οὐ πάντων ὁμοίως, ἐν οἷς ἡ κίνησις, ἀλλὰ τοῦ μὲν ποσοῦ καθ' αὐτό, τοῦ δὲ ποιοῦ κατὰ συμβεβηκός. Εἰλήφθω γὰρ ὁ χρόνος ἐν ᾧ κινεῖται ἐφ' ᾧ Α, καὶ ἡ κίνησις 8
ἐφ' ᾧ Β. Εἰ οὖν τὴν ὅλην ἐν τῷ παντὶ χρόνῳ κεκίνηται, ἐν τῷ ἡμίσει ἐλάττω, καὶ πάλιν τούτου διαιρεθέντος ἐλάττω

[b] μέρος pr. E. [c] ἑκατέρου F. [d] ἡ om. E.I. [e] τοῦ Δ Ζ om. E. [f] οὐδέννων E, οὐκ F.H.I.K. [g] κἂν ἡ] καὶ H. [h] ἡ ὅλη corr. E. [i] εἴη om. F. [k] ἂν om. E.F. [l] Β om. H.K. [m] μέν om. E.I. [n] τοῦ ὅλου κίνησις ἄλλη F.H.I.K. [o] Ι om. pr. I. [p] alterum E om. E.I. [q] εἰς—Θ Ι om. I. [r] τὴν τ. μ. κίνησιν F. [s] κινήσεις—οὐδενὸς ἔσται om. E. [t] ἀπολείποι F. [v] ἐστι H.K. [w] τοῦ om. E. [x] εἶναι τοῦ ἑνὸς F.H.I.K. [y] ἔσται I. [z] ὑπερβάλοι I. [a] πᾶσα F. [b] τινι] χρόνῳ H. [c] ἐστι] ἐστιν ἡ pr. E, ἔσται κινουμένου F. [d] διαιρέσεις εἶναι F.H. [e] πλὴν—κίνησις om. I.

ταύτης, καὶ ἀεὶ οὕτως. [t]Ὁμοίως δὲ [f]καὶ ἡ κίνησις διαιρετὴ καὶ ὁ χρόνος διαιρετός· εἰ γὰρ τὴν ὅλην [g]ἐν τῷ παντί, τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει, καὶ πάλιν τὴν ἐλάττω ἐν τῷ ἐλάττονι.
9 Τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ κινεῖσθαι διαιρεθήσεται. [u]Ἔστω γὰρ ἐφ' ᾧ Γ τὸ κινεῖσθαι. Κατὰ [h]δὴ τὴν ἡμίσειαν κίνησιν ἔλαττον ἔσται τοῦ ὅλου, καὶ πάλιν κατὰ τὴν τῆς ἡμισείας ἡμίσειαν, καὶ ἀεὶ οὕτως. [u]Ἔστι δὲ καὶ ἐκθέμενον τὸ καθ' [i]ἑκατέραν τῶν κινήσεων κινεῖσθαι, οἷον κατά τε τὴν [k]Δ Γ καὶ τὴν [l]Γ Ε, λέγειν ὅτι τὸ ὅλον ἔσται κατὰ τὴν ὅλην· εἰ γὰρ ἄλλο, πλείω ἔσται κινεῖσθαι κατὰ τὴν αὐτὴν κίνησιν, ὥσπερ ἐδείξαμεν καὶ τὴν κίνησιν διαιρετὴν εἰς τὰς τῶν μερῶν κινήσεις οὖσαν· ληφθέντος γὰρ τοῦ κινεῖσθαι καθ' ἑκατέραν συνεχὲς
10 ἔσται τὸ ὅλον. [t]Ὡσαύτως δὲ δειχθήσεται καὶ τὸ μῆκος διαιρετόν, καὶ ὅλως πᾶν ἐν ᾧ ἐστὶν ἡ μεταβολή. Πλὴν ἔνια κατὰ συμβεβηκός, ὅτι [m]τὸ μεταβάλλον ἐστὶ διαιρετόν· ἑνὸς γὰρ διαιρουμένου πάντα διαιρεθήσεται. Καὶ ἐπὶ τοῦ πεπερασμένα εἶναι ἢ ἄπειρα ὁμοίως ἕξει κατὰ πάντων. [n][t]Ηκολούθηκε δὲ μάλιστα τὸ διαιρεῖσθαι πάντα καὶ ἄπειρα εἶναι ἀπὸ τοῦ μεταβάλλοντος· εὐθὺς γὰρ ἐνυπάρχει τῷ μεταβάλλοντι τὸ διαιρετὸν καὶ [o]τὸ ἄπειρον. Τὸ μὲν οὖν διαιρετὸν δέδεικται πρότερον, τὸ δ' ἄπειρον ἐν τοῖς ἑπομένοις ἔσται δῆλον.

5 [t]Ἐπεὶ [p]δὲ πᾶν τὸ μεταβάλλον ἔκ τινος εἴς τι μεταβάλλει, ἀνάγκη τὸ μεταβεβληκός, ὅτε πρῶτον μεταβέβληκεν, [q]εἶναι ἐν ᾧ μεταβέβληκεν. [r]Τὸ γὰρ [s]μεταβάλλον, ἐξ οὗ μεταβάλλει, ἐξίσταται ἢ ἀπολείπει αὐτό, καὶ ἤτοι ταὐτόν ἐστι τὸ μεταβάλλειν καὶ [t]τὸ ἀπολείπειν, ἢ ἀκολουθεῖ τῷ μεταβάλλειν τὸ ἀπολείπειν. [v]Εἰ δὲ τῷ μεταβάλλειν τὸ ἀπολείπειν, τῷ μεταβεβληκέναι τὸ ἀπολελοιπέναι· ὁμοίως γὰρ
2 ἑκάτερον ἔχει πρὸς ἑκάτερον. [t]Ἐπεὶ οὖν μία τῶν μεταβολῶν

[f] καὶ εἰ ἡ F.H.I.K. [g] ἐν τῷ om. E. [h] δὴ om. E. [i] ἑτέραν E. [k] Γ Δ E. [l] Γ] τρίτην E. [m] τὸ om. E. [n] ἠκολούθησε F.H.K. [o] τὸ post καὶ om. I. [p] δὲ et ἔκ τινος om. E. [q] εἶναι ἐν ᾧ μετ. om. E. [r] τὸ μὲν γὰρ E. [s] βάλλον I. [t] τὸ post καὶ om. F.K. [v] εἰ δὲ τῷ— τῷ] τῷ δὲ F.H.I.K.

ἡ κατ' ἀντίφασιν, ὅτε μεταβέβληκεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἀπολέλοιπε τὸ μὴ ὄν. Ἔσται ἄρα ἐν τῷ ὄντι· [w] πᾶν γὰρ ἀνάγκη [x] ἢ εἶναι ἢ μὴ εἶναι. Φανερὸν οὖν ὅτι ἐν τῇ κατ' ἀντίφασιν μεταβολῇ τὸ μεταβεβληκὸς ἔσται ἐν ᾧ μεταβέβληκεν. Εἰ δ' ἐν ταύτῃ, καὶ ἐν ταῖς ἄλλαις· ὁμοίως [y] γὰρ ἐπὶ μιᾶς καὶ τῶν ἄλλων. Ἔτι [z] δὲ καθ' ἑκάστην λαμβάνουσι 3
φανερόν, εἴπερ ἀνάγκη τὸ μεταβεβληκὸς εἶναί που ἢ ἔν τινι. Ἐπεὶ γὰρ [a] ἐξ οὗ μεταβέβληκεν ἀπολέλοιπεν, ἀνάγκη δ' εἶναί που, ἢ ἐν [b] τούτῳ ἢ ἐν ἄλλῳ ἔσται. [c] Εἰ μὲν οὖν ἐν ἄλλῳ, οἷον ἐν τῷ Γ, τὸ εἰς τὸ Β μεταβεβληκός, πάλιν ἐκ τοῦ Γ μεταβάλλει εἰς τὸ Β· οὐ γὰρ ἦν ἐχόμενον τῷ Β· ἡ γὰρ μεταβολὴ συνεχής. Ὥστε τὸ μεταβεβληκός, ὅτε μεταβέβληκε, [d] μεταβάλλει εἰς ὃ μεταβέβληκεν. Τοῦτο δ' ἀδύνατον· ἀνάγκη ἄρα τὸ μεταβεβληκὸς εἶναι [e] ἐν τούτῳ εἰς ὃ μεταβέβληκεν. Φανερὸν οὖν ὅτι καὶ τὸ γεγονός, ὅτε γέ- 4
γονεν, ἔσται, καὶ τὸ ἐφθαρμένον οὐκ ἔσται· καθόλου τε γὰρ εἴρηται περὶ πάσης μεταβολῆς, καὶ μάλιστα δῆλον ἐν τῇ [f] κατ' ἀντίφασιν. Ὅτι μὲν τοίνυν τὸ μεταβεβληκός, ὅτε μεταβέβληκε πρῶτον, ἐν ἐκείνῳ ἐστί, δῆλον· ἐν ᾧ δὲ πρώτῳ μεταβέβληκε τὸ [g] μεταβεβληκός, ἀνάγκη ἄτομον εἶναι. Λέγω δὲ πρῶτον ὃ μὴ τῷ ἑτερόν τι αὐτοῦ εἶναι τοιοῦτόν ἐστιν. Ἔστω γὰρ διαιρετὸν τὸ Α Γ, καὶ διηρήσθω κατὰ τὸ Β. Εἰ 5
μὲν οὖν ἐν τῷ Α Β μεταβέβληκεν ἢ πάλιν ἐν τῷ Β Γ, οὐκ ἂν ἐν πρώτῳ [h] τῷ Α Γ μεταβεβληκὸς εἴη. Εἰ δ' ἐν ἑκατέρῳ [i] μετέβαλλεν (ἀνάγκη γὰρ ἢ μεταβεβληκέναι ἢ μεταβάλλειν ἐν ἑκατέρῳ), κἂν ἐν τῷ ὅλῳ [k] μεταβάλλοι· ἀλλ' ἦν μεταβεβληκός. Ὁ αὐτὸς [l] δὲ λόγος καὶ εἰ ἐν τῷ μὲν μεταβάλλει, 6
ἐν [m] δὲ τῷ μεταβέβληκεν· ἔσται γάρ τι τοῦ πρώτου πρότερον· ὥστ' οὐκ ἂν εἴη διαιρετὸν ἐν ᾧ μεταβέβληκεν. Φα-

[w] ἅπαν E. [x] ἢ om. F.H.K. [y] γὰρ] γὰρ καὶ F. [z] δὲ καὶ καθ' F.H.K. [a] που ἐξ οὗ μεταβέβληκεν ἢ H, et pr. F. [b] ἄλλῳ ἢ ἐν τούτῳ E. [c] εἰ μὲν οὖν om. E. [d] μεταβάλλει εἰς ὃ μεταβ. om. I. [e] ἐν om. E. [f] κατ'] κατὰ τὴν E.I.K. [g] μεταβεβληκὸς πρῶτον ἀνάγκη I. [h] τῷ Α] τὸ Α F. [i] μετέβαλεν H. [k] μεταβάλοι I. [l] δὲ om. H. [m] τῷ δὲ H.

νερὸν οὖν ὅτι καὶ τὸ ἐφθαρμένον καὶ τὸ γεγονὸς ἐν ἀτόμῳ
7 τὸ μὲν ἔφθαρται τὸ δὲ γέγονεν. [n]Λέγεται δὲ τὸ ἐν ᾧ
πρώτῳ [o]μεταβέβληκε διχῶς, τὸ μὲν ἐν ᾧ [p]πρώτῳ [q]ἐπετε-
λέσθη ἡ μεταβολή (τότε γὰρ [r]ἀληθὲς εἰπεῖν ὅτι μεταβέ-
βληκεν), τὸ δ' [s]ἐν ᾧ πρώτῳ ἤρξατο μεταβάλλειν. Τὸ μὲν
οὖν κατὰ τὸ τέλος τῆς μεταβολῆς [t]πρῶτον λεγόμενον ὑπάρ-
χει τε καὶ ἔστιν· ἐνδέχεται γὰρ ἐπιτελεσθῆναι μεταβολὴν
καὶ ἔστι μεταβολῆς τέλος, ὃ δὴ καὶ δέδεικται ἀδιαίρετον ὂν
διὰ τὸ πέρας εἶναι. Τὸ δὲ κατὰ τὴν ἀρχὴν ὅλως οὐκ ἔστιν·
οὐ γὰρ ἔστιν ἀρχὴ μεταβολῆς, οὐδ' ἐν ᾧ πρώτῳ τοῦ χρόνου
8 [v]μετέβαλλεν. [u]Ἔστω γὰρ πρῶτον ἐφ' ᾧ [w]τὸ Α Δ. Τοῦτο
[x]δὴ ἀδιαίρετον μὲν οὐκ ἔστιν· συμβήσεται γὰρ ἐχόμενα εἶναι
τὰ νῦν. [u]Ἔτι δ' εἰ ἐν τῷ Γ Α χρόνῳ παντὶ ἠρεμεῖ (κείσθω
γὰρ ἠρεμοῦν), καὶ ἐν τῷ Α [y]ἠρεμεῖ, ὥστ' εἰ ἀμερές ἐστι τὸ
Α Δ, ἅμα ἠρεμήσει καὶ μεταβεβληκὸς ἔσται· ἐν [z]μὲν γὰρ
9 τῷ Α ἠρεμεῖ, ἐν δὲ τῷ Δ μεταβέβληκεν. [t]Ἐπεὶ δ' οὐκ ἔστιν
ἀμερές, ἀνάγκη διαιρετὸν [a]εἶναι καὶ ἐν ὁτῳοῦν τῶν τούτου
μεταβεβληκέναι· διαιρεθέντος γὰρ τοῦ Α Δ, εἰ μὲν ἐν μηδε-
τέρῳ μεταβέβληκεν, οὐδ' ἐν τῷ ὅλῳ· εἰ δ' ἐν ἀμφοῖν μετα-
βάλλει, καὶ ἐν τῷ παντί· εἰ δ' ἐν θατέρῳ μεταβέβληκεν, οὐκ
ἐν τῷ ὅλῳ [b]πρώτῳ. [v]Ὥστε ἀνάγκη ἐν ὁτῳοῦν μεταβεβλη-
κέναι. Φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐν ᾧ πρώτῳ μεταβέβληκεν·
10 ἄπειροι γὰρ αἱ διαιρέσεις. Οὐδὲ δὴ τοῦ μεταβεβληκότος
[c]ἐστί τι πρῶτον ὃ μεταβέβληκεν. [u]Ἔστω γὰρ τὸ Δ Ζ
πρῶτον [d]μεταβεβληκὸς τοῦ Δ Ε· πᾶν γὰρ δέδεικται διαι-
ρετὸν τὸ μεταβάλλον. [t]Ὁ δὲ χρόνος ἐν ᾧ [e]τὸ Δ Ζ μετα-
βέβληκεν ἔστω ἐφ' ᾧ Θ Ι. Εἰ οὖν ἐν τῷ [f]παντὶ τὸ Δ Ζ
μεταβέβληκεν, ἐν τῷ ἡμίσει ἔλαττον ἔσται [g]τὸ μεταβεβλη-
κὸς καὶ πρότερον τοῦ Δ Ζ, καὶ πάλιν τούτου ἄλλο, κἀκείνου

[n] λέγω corr. F. [o] ἤρξατο μεταβάλλειν pr. F. [p] πρώτῳ om. E. [q] ἐτελέσθη H.I.K, ἐτελειώθη pr. F. [r] ἀληθὲς ἦν εἰπεῖν F. [s] ἐν ᾧ om. E. [t] λεγόμενον πρῶτον H. [v] μετέβαλεν F.K. [w] τὸ om. H.K. [x] δὴ om. E. [y] ἠρεμήσει I. [z] μὲν om. H. [a] εἶναι om. E. [b] πρῶτον pr. F. [c] ἐστί] ἔσται F.I.K. [d] μεταβεβληκότος E. [e] τὸ Δ Ζ om. E. [f] παντὶ χρόνῳ τὸ I. [g] τὸ om. E.H.

ἕτερον, καὶ ἀεὶ οὕτως. [v]Ωστ' οὐθὲν ἔσται [h]πρῶτον τοῦ μεταβάλλοντος [i]ὃ μεταβέβληκεν. [v]Οτι μὲν οὖν οὔτε τοῦ 11
μεταβάλλοντος οὔτ' ἐν ᾧ μεταβάλλει χρόνῳ πρῶτον οὐθέν ἐστι, φανερὸν ἐκ τῶν εἰρημένων· αὐτὸ δὲ [k]ᾗ καθ' ὃ μεταβάλλει, [l]οὐκέθ' ὁμοίως ἕξει. Τρία γάρ ἐστιν ἃ λέγεται κατὰ τὴν μεταβολήν, τό [m]τε μεταβάλλον καὶ ἐν ᾧ καὶ [n]εἰς ὃ μεταβάλλει, οἷον ὁ ἄνθρωπος καὶ ὁ χρόνος καὶ τὸ λευκόν. [r]Ο μὲν οὖν ἄνθρωπος καὶ ὁ χρόνος [o]διαιρετοί, περὶ 12
δὲ τοῦ λευκοῦ ἄλλος λόγος. Πλὴν κατὰ συμβεβηκός γε πάντα διαιρετά· ᾧ γὰρ συμβέβηκε τὸ [p]λευκὸν ἢ τὸ ποιόν, ἐκεῖνο διαιρετόν ἐστιν, ἐπεὶ ὅσα γε καθ' αὑτὰ [q]λέγεται διαιρετὰ [r]καὶ μὴ κατὰ συμβεβηκός, οὐδ' ἐν τούτοις ἔσται τὸ πρῶτον, οἷον ἐν τοῖς μεγέθεσιν. [v]Εστω γὰρ τὸ ἐφ' ᾧ Α Β 13
μέγεθος, κεκινήσθω δ' ἐκ τοῦ Β εἰς τὸ Γ πρῶτον. Οὐκοῦν εἰ μὲν ἀδιαίρετον ἔσται τὸ Β Γ, ἀμερὲς ἀμεροῦς ἔσται ἐχόμενον· εἰ δὲ διαιρετόν, ἔσται τι τοῦ Γ πρότερον, [s]εἰς ὃ μεταβέβληκεν, κἀκείνου πάλιν ἄλλο, καὶ ἀεὶ οὕτως διὰ τὸ μηδέποτε ὑπολείπειν τὴν διαίρεσιν. [v]Ωστ' οὐκ ἔσται πρῶτον εἰς ὃ μεταβέβληκεν. [t]Ομοίως δὲ καὶ ἐπὶ τῆς τοῦ ποσοῦ μεταβολῆς· καὶ γὰρ αὕτη ἐν συνεχεῖ ἐστίν. Φανερὸν οὖν ὅτι ἐν μόνῃ τῶν κινήσεων τῇ κατὰ [t]τὸ ποιὸν ἐνδέχεται [v]ἀδιαίρετον καθ' αὐτὸ εἶναι.

[u]Ἐπεὶ δὲ τὸ μεταβάλλον ἅπαν ἐν χρόνῳ μεταβάλλει, λέ- 6
γεται δ' ἐν χρόνῳ μεταβάλλειν καὶ ὡς ἐν πρώτῳ καὶ ὡς καθ' ἕτερον, οἷον [w]ἐν τῷ ἐνιαυτῷ, ὅτι ἐν τῇ ἡμέρᾳ μεταβάλλει, ἐν ᾧ [x]πρώτῳ χρόνῳ μεταβάλλει τὸ μεταβάλλον, ἐν ὁτῳοῦν ἀνάγκη [y]τούτου μεταβάλλειν. Δῆλον μὲν [z]οὖν [a]καὶ ἐκ τοῦ ὁρισμοῦ (τὸ γὰρ πρῶτον οὕτως [b]ἐλέγομεν), οὐ μὴν [c]ἀλλὰ καὶ ἐκ

[h] πρῶτον om. E. [i] ὃ—μεταβάλλοντος om. pr. F. [k] ᾗ καθ' ὃ μεταβάλλει om. I. [l] οὐκέθ' ὅτι ὁμοίως E. [m] τε om. E. [n] εἰς om. F.H.I.K. [o] διαιρετοὶ corr. E. [p] ποιὸν ἢ τὸ λευκὸν H.K. [q] διαιρετὰ λέγεται F. [r] καὶ μὴ κατὰ συμβ. om. I. [s] εἰς om. I. [t] τὸ om. E. [v] ἀδιαίρετον om. pr. F. [w] ἐν τῷ om. E. [x] πρώτως F.K. [y] τουτο E. [z] οὖν om. F. [a] καὶ om. H.K. [b] λέγομεν E. [c] ἀλλὰ] δὲ ἀλλὰ I, om. H.

2 [d] τῶνδε φανερόν. [ι]Εστω γὰρ ἐν ᾧ πρώτῳ κινεῖται τὸ κινούμενον ἐφ' ᾧ Χ Ρ, καὶ διῃρήσθω κατὰ τὸ Κ· πᾶς γὰρ χρόνος διαιρετός. [ι]Εν [e] δὴ τῷ [f] Χ Κ χρόνῳ ἤτοι κινεῖται ἢ οὐ κινεῖται, καὶ πάλιν ἐν τῷ Κ Ρ ὡσαύτως. Εἰ μὲν οὖν ἐν μηδετέρῳ κινεῖται, ἠρεμοίη ἂν ἐν τῷ παντί· κινεῖσθαι γὰρ ἐν μηθενὶ τῶν τούτου κινούμενον ἀδύνατον. Εἰ δ' ἐν θατέρῳ μόνῳ κινεῖται, οὐκ ἂν ἐν πρώτῳ κινοῖτο τῷ Χ Ρ· καθ' [g] ἕτερον γὰρ ἡ κίνησις. [h] [ι]Ανάγκη ἄρα ἐν ὁτῳοῦν τοῦ Χ Ρ [i] κεκινῆ-
3 σθαι. Δεδειγμένου δὲ τούτου φανερὸν ὅτι πᾶν τὸ κινούμενον ἀνάγκη κεκινῆσθαι πρότερον. Εἰ γὰρ ἐν τῷ Χ Ρ πρώτῳ χρόνῳ τὸ Κ Λ κεκίνηται μέγεθος, ἐν τῷ ἡμίσει τὸ ὁμοταχῶς κινούμενον καὶ ἅμα ἀρξάμενον τὸ ἥμισυ ἔσται κεκινημένον. Εἰ δὲ τὸ ὁμοταχὲς ἐν τῷ αὐτῷ χρόνῳ κεκίνηταί [k] τι, καὶ θάτερον ἀνάγκη [l] ταὐτὸ κεκινῆσθαι μέγεθος, ὥστε κεκινημένον
4 ἔσται τὸ κινούμενον. [ι]Ετι δὲ εἰ ἐν τῷ παντὶ χρόνῳ τῷ Χ Ρ κεκινῆσθαι λέγομεν, ἢ ὅλως [m] ἢ ἐν ὁτῳοῦν χρόνῳ τῷ λαβεῖν [n] τὸ ἔσχατον αὐτοῦ νῦν (τοῦτο γάρ ἐστι τὸ ὁρίζον, καὶ τὸ μεταξὺ τῶν νῦν χρόνος), [o] κἂν ἐν τοῖς ἄλλοις ὁμοίως λέγοιτο κεκινῆσθαι. Τοῦ δ' ἡμίσεος ἔσχατον ἡ διαίρεσις. [ι]Ωστε καὶ ἐν τῷ ἡμίσει κεκινημένον ἔσται [p] καὶ ὅλως ἐν ὁτῳοῦν τῶν μερῶν· ἀεὶ γὰρ ἅμα τῇ τομῇ χρόνος ἐστὶν ὡρισμένος ὑπὸ τῶν νῦν. Εἰ οὖν ἅπας μὲν χρόνος διαιρετός, [q] τὸ δὲ μεταξὺ τῶν νῦν χρόνος, ἅπαν τὸ μεταβάλλον ἄπειρα ἔσται μεταβεβλη-
5 κός. [ι]Ετι δ' εἰ τὸ συνεχῶς μεταβάλλον καὶ [r] μὴ φθαρὲν μηδὲ πεπαυμένον τῆς μεταβολῆς ἢ μεταβάλλειν ἢ μεταβεβληκέναι [s] ἀναγκαῖον ἐν ὁτῳοῦν, ἐν δὲ τῷ νῦν οὐκ ἔστι μεταβάλλειν, ἀνάγκη μεταβεβληκέναι καθ' ἕκαστον [t] τῶν νῦν· ὥστ' εἰ τὰ νῦν ἄπειρα, πᾶν τὸ μεταβάλλον [v] ἄπειρα ἔσται μετα-

[d] τωνδὶ H. [e] δὲ E. [f] K X E. [g] *ἑκάτερον* F, et pr. H. [h] *ἀνάγκη*—*τούτου* om. I. [i] *κινεῖσθαι* E. [k] *τι* om. pr. I. [l] *τὸ αὐτὸ* F.H.I.K. [m] *ἢ* ante *ἐν* om. E.H.I.K. [n] *αὐτοῦ τὸ ἔσχατον* H. [o] *καὶ* E. [p] *καὶ* om. E. [q] *τὸ*] *ὁ* F.H.I.K. [r] *μὴ*] *μηδὲ* I. [s] *ἐν ὁτῳοῦν ἀναγκαῖον* H. [t] *τῶν* om. H.K. [v] *ἔσται μεταβεβληκὸς ἄπειρα. Ἔτι δ' εἰ τὸ συνεχὲς μετ.—νῦν οὐκ ἔτι μετ.—ἔσται ἄπειρα μεταβεβληκός* (sect. 4 fin.—5 med.). *οὐ* F.

βεβληκός. Οὐ μόνον δὲ τὸ μεταβάλλον ἀνάγκη [w]μεταβεβληκέναι, ἀλλὰ καὶ τὸ μεταβεβληκὸς ἀνάγκη μεταβάλλειν πρότερον· ἅπαν γὰρ τὸ ἔκ τινος εἴς τι μεταβεβληκὸς ἐν χρόνῳ [x]μεταβέβληκεν. Ἔστω γὰρ ἐν τῷ νῦν ἐκ τοῦ Α εἰς 6
τὸ Β μεταβεβληκός. Οὐκοῦν ἐν μὲν τῷ αὐτῷ νῦν ἐν ᾧ ἐστὶν ἐν τῷ Α, οὐ μεταβέβληκεν· ἅμα γὰρ ἂν εἴη [y]ἐν τῷ Α καὶ τῷ Β· τὸ γὰρ μεταβεβληκός, [z]ὅτε μεταβέβληκεν, ὅτι οὐκ ἔστιν ἐν τούτῳ, δέδεικται πρότερον. Εἰ δ' ἐν ἄλλῳ, μεταξὺ ἔσται χρόνος· οὐ γὰρ ἦν ἐχόμενα τὰ νῦν. Ἐπεὶ οὖν ἐν χρόνῳ 7
μεταβέβληκεν, [a]χρόνος δ' ἅπας διαιρετός, ἐν τῷ ἡμίσει ἄλλο ἔσται μεταβεβληκός, καὶ πάλιν ἐν τῷ [b]ἐκείνου ἡμίσει ἄλλο, καὶ ἀεὶ οὕτως· ὥστε [c]μεταβάλλοι ἂν πρότερον. Ἔτι δ' 8
[d]ἐπὶ τοῦ μεγέθους φανερώτερον τὸ λεχθὲν διὰ τὸ συνεχὲς εἶναι τὸ μέγεθος ἐν ᾧ μεταβάλλει τὸ μεταβάλλον. Ἔστω [e]γὰρ τὸ μεταβεβληκὸς ἐκ τοῦ Γ εἰς τὸ Δ. Οὐκοῦν εἰ μὲν ἀδιαίρετόν [f]ἐστι τὸ Γ Δ, ἀμερὲς ἀμεροῦς ἔσται ἐχόμενον. Ἐπεὶ δὲ τοῦτο ἀδύνατον, ἀνάγκη μέγεθος εἶναι τὸ μεταξὺ 9
καὶ εἰς ἄπειρα [g]διαιρετόν· ὥστ' [h]εἰς ἐκεῖνα μεταβάλλει πρότερον. Ἀνάγκη ἄρα πᾶν τὸ μεταβεβληκὸς μεταβάλλειν πρότερον· [i]ἡ γὰρ αὐτὴ ἀπόδειξις καὶ ἐν τοῖς μὴ συνεχέσιν, οἷον ἔν τε τοῖς ἐναντίοις καὶ [k]ἐν ἀντιφάσει· ληψόμεθα γὰρ τὸν χρόνον ἐν ᾧ μεταβέβληκεν, καὶ πάλιν ταὐτὰ ἐροῦμεν. Ὥστε ἀνάγκη τὸ μεταβεβληκὸς μεταβάλλειν καὶ τὸ μετα- 10
βάλλον μεταβεβληκέναι, καὶ [l]ἔστι τοῦ μὲν μεταβάλλειν τὸ μεταβεβληκέναι πρότερον, τοῦ δὲ μεταβεβληκέναι τὸ μεταβάλλειν, καὶ οὐδέποτε ληφθήσεται τὸ [m]πρῶτον. Αἴτιον δὲ τούτου τὸ μὴ εἶναι ἀμερὲς ἀμεροῦς ἐχόμενον· [n]ἐπ' ἄπειρον γὰρ ἡ διαίρεσις, καθάπερ ἐπὶ τῶν αὐξανομένων καὶ καθαιρουμένων [o]γραμμῶν. Φανερὸν οὖν ὅτι καὶ τὸ γεγονὸς ἀνάγκη 10

[w] μεταβεβληκέναι—ἀνάγκη om. I. [x] μεταβεβληκεν A B. Ἔστω E. [y] καὶ ἐν τῷ F.H.I.K. [z] ὅτε] ὃ E. [a] χρόνος δὲ πᾶς F.H.I, πᾶς δὲ χρόνος K. [b] ἡμίσει ἐκείνου F. [c] μεταβάλοι F. [d] ἐπὶ om. E. [e] γάρ τι μετ. F. [f] ἔσται E. [g] διαιρετὸν E Δ ὥστ' E. [h] εἰς] εἰ I. [i] γὰρ ἡ E. [k] ἐν τῇ ἀντ. I. [l] ἔσται E. [m] πρότερον F. [n] ἐπ' ἄπειρον] ἄπειρος E. [o] γραμμῶν om. E.

γίνεσθαι [p] πρότερον καὶ τὸ γινόμενον γεγονέναι, [q] ὅσα διαιρετὰ καὶ συνεχῆ, οὐ μέντοι ἀεὶ ὃ γίνεται, [r] ἀλλ' [s] ἄλλο ἐνίοτε, [t] οἷον τῶν ἐκείνου τι, ὥσπερ τῆς οἰκίας τὸν θεμέλιον. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ φθειρομένου καὶ ἐφθαρμένου· εὐθὺς γὰρ ἐνυπάρχει τῷ γινομένῳ καὶ [v] τῷ φθειρομένῳ ἄπειρόν τι συνεχεῖ γε ὄντι, καὶ οὐκ ἔστιν οὔτε γίνεσθαι μὴ γεγονός τι οὔτε
11 γεγονέναι μὴ [w] γινόμενόν τι. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ φθείρεσθαι καὶ ἐπὶ τοῦ ἐφθάρθαι· ἀεὶ γὰρ ἔσται τοῦ μὲν φθείρεσθαι τὸ ἐφθάρθαι πρότερον, τοῦ δ' ἐφθάρθαι τὸ φθείρεσθαι. Φανερὸν οὖν ὅτι [x] καὶ τὸ γεγονὸς ἀνάγκη γίνεσθαι πρότερον καὶ τὸ [y] γινόμενον γεγονέναι· πᾶν γὰρ μέγεθος καὶ πᾶς χρόνος ἀεὶ διαιρετά. [v] Ὥστ' ἐν ᾧ ἂν [z] ᾖ, οὐκ ἂν εἴη ὡς [a] πρώτῳ.

7 [1] Ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, καὶ ἐν τῷ πλείονι μεῖζον μέγεθος, ἐν τῷ ἀπείρῳ χρόνῳ ἀδύνατόν ἐστι [b] πεπερασμένην κινεῖσθαι, μὴ τὴν αὐτὴν ἀεὶ καὶ τῶν ἐκείνης τι κινούμενον, ἀλλ' [c] ἐν ἅπαντι [d] ἅπασαν. [v] Ὅτι μὲν οὖν εἴ τι ἰσοταχῶς κινοῖτο, ἀνάγκη τὸ πεπερασμένον ἐν πεπερασμένῳ κινεῖσθαι, δῆλον· ληφθέντος γὰρ μορίου ὃ καταμετρήσει τὴν ὅλην, ἐν ἴσοις [e] τοῖς χρόνοις [f] τοσούτοις ὅσα τὰ
2 μόριά ἐστι, τὴν ὅλην κεκίνηται. [v] Ὥστ' [g] ἐπεὶ ταῦτα [h] πεπέρανται καὶ [i] τῷ [k] πόσον ἕκαστον καὶ [l] τῷ ποσάκις ἅπαντα, καὶ ὁ χρόνος ἂν εἴη πεπερασμένος· τοσαυτάκις γὰρ ἔσται τοσοῦτος ὅσος ὁ τοῦ μορίου χρόνος πολλαπλασιασθεὶς τῷ πλήθει τῶν μορίων. [1] Ἀλλὰ δὴ κἂν [m] εἰ μὴ ἰσοταχῶς, [n] δια-
3 φέρει οὐθέν. [v] Ἔστω γὰρ ἐφ' ἧς τὸ Α καὶ τὸ Β διάστημα πεπερασμένον, [o] ὃ κεκίνηται ἐν τῷ ἀπείρῳ, καὶ ὁ χρόνος ἄπειρος ἐφ' οὗ τὸ Γ Δ. Εἰ δὴ ἀνάγκη πρότερον ἕτερον ἑτέρου

[p] πρότερον] ποτε H. [q] ὅσα] ἃ E. [r] ἀλλ'] ἀλλὰ καὶ F. [s] ἄλλο τι ἐνίοτε I. [t] οἷον] ὥσπερ F. [v] τῷ post καὶ om. F.H.I.K. [w] γενόμενόν H. [x] καὶ om. E. [y] γενόμενον E. [z] ᾖ] εἴη H. [a] πρώτως K, πρῶτον E. [b] πεπερασμένον K. [c] ἐν] ἐν τῷ F.K. [d] πᾶσαν E. [e] τοῖς om. E. [f] τοσούτοις om. H. [g] ἐπεὶ] ι E. [h] πεπέρασται H.I.K, πεπέραται F. [i] τὸ E. [k] ποσῶ I. [l] τὸ E. [m] εἰ om. E. [n] διαφέροι I. [o] ὃ] ου E.

κεκινῆσθαι, τοῦτο δὲ δῆλον ὅτι τοῦ χρόνου ἐν τῷ προτέρῳ καὶ ὑστέρῳ ἕτερον κεκίνηται· ἀεὶ γὰρ ἐν τῷ πλείονι ἕτερον ἔσται κεκινημένον, ἐάν τε ἰσοταχῶς ἐάν τε μὴ ἰσοταχῶς [p] μεταβάλλῃ, καὶ ἐάν τε ἐπιτείνῃ ἡ κίνησις ἐάν τε ἀνιῇ ἐάν τε μένῃ, οὐθὲν ἧττον. Εἰλήφθω δή τι τοῦ ΑΒ διαστή- 4
ματος, [q] τὸ ΑΕ, ὃ καταμετρήσει τὴν ΑΒ. [r] Τοῦτο δὴ τοῦ ἀπείρου ἔν τινι ἐγένετο χρόνῳ· ἐν ἀπείρῳ γὰρ οὐχ οἷόν τε· τὸ γὰρ ἅπαν ἐν ἀπείρῳ. Καὶ πάλιν ἕτερον δὴ [s] ἐὰν λάβω ὅσον τὸ ΑΕ, ἀνάγκη ἐν πεπερασμένῳ χρόνῳ· τὸ γὰρ ἅπαν ἐν ἀπείρῳ. Καὶ οὕτω δὴ λαμβάνων, ἐπειδὴ τοῦ μὲν 5
ἀπείρου οὐθέν ἐστι μόριον ὃ καταμετρήσει (ἀδύνατον γὰρ [t] τὸ ἄπειρον εἶναι ἐκ πεπερασμένων καὶ ἴσων καὶ ἀνίσων, διὰ τὸ καταμετρηθήσεσθαι τὰ πεπερασμένα [v] πλήθει καὶ μεγέθει ὑπό τινος ἑνός, ἐάν τε ἴσα [w] ᾖ ἐάν τε ἄνισα· ὡρισμένα δὲ τῷ μεγέθει οὐθὲν ἧττον), τὸ δὲ διάστημα τὸ πεπερασμένον ποσοῖς [x] τοῖς ΑΕ [y] μετρεῖται, ἐν πεπερασμένῳ [z] ἂν χρόνῳ τὸ ΑΒ κινοῖτο. [a] Ὡσαύτως δὲ καὶ ἐπὶ ἠρεμήσεως· ὥστε οὔτε γίνεσθαι οὔτε φθείρεσθαι οἷόν τε ἀεί [a] τι τὸ αὐτὸ καὶ ἕν.
Ὁ αὐτὸς δὲ λόγος καὶ ὅτι οὐδ' ἐν πεπερασμένῳ χρόνῳ ἄπει- 6
ρον οἷόν [b] τε κινεῖσθαι οὐδ' ἠρεμίζεσθαι, οὔθ' ὁμαλῶς κινούμενον οὔτ' ἀνωμάλως. Ληφθέντος γάρ τινος [c] μέρους ὃ ἀναμετρήσει τὸν ὅλον χρόνον, ἐν τούτῳ ποσόν τι διέξεισι τοῦ μεγέθους καὶ οὐχ ὅλον· ἐν γὰρ τῷ παντὶ τὸ ὅλον, καὶ πάλιν ἐν τῷ ἴσῳ ἄλλο, καὶ ἐν ἑκάστῳ ὁμοίως, εἴτε ἴσον [d] εἴτε ἄνισον τῷ ἐξ ἀρχῆς· διαφέρει [e] γὰρ οὐδέν, εἰ μόνον πεπερασμένον [f] τι ἕκαστον· δῆλον [g] γὰρ ὡς ἀναιρουμένου τοῦ χρόνου τὸ ἄπειρον [h] οὐκ [i] ἀναιρεθήσεται, πεπερασμένης τῆς ἀφαιρέσεως γινομένης καὶ τῷ ποσῷ καὶ τῷ ποσάκις· ὥστ' οὐ δίεισιν [k] ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον. Οὐδέν τε δια- 7

[p] μεταβάλη I. [q] τὸ om. H.K. [r] τούτου E. [s] ἂν λαβὼν E. [t] τὸ om. I. [v] πλήθη καὶ μεγέθη F.I. [w] ᾖ ἐάν τε ἄνισα om. E. [x] τοῖς] τῶν H. [y] μετρήσεται E. [z] χρόνῳ ἂν F. [a] τι om. F. [b] τε] τὸ E. [c] μέρους τοῦ χρόνου ὃ I. [d] εἴτε ἄν.] ἔσται ἄν. E. [e] γὰρ] δὲ H. [f] τι ante πεπερασμένον ponit F, om. E. [g] γὰρ om. E. [h] οὐκ om. F. [i] ἀνδιαιρεθήσεται E, συναναιρεθήσεται F. [k] ἐν τῷ πεπ. F.

φέρει τὸ μέγεθος [l]ἐπὶ θάτερα ἢ ἐπ' ἀμφότερα εἶναι [m]ἄπειρον· ὁ γὰρ αὐτὸς ἔσται λόγος. [1]Ἀποδεδειγμένων δὲ τούτων φανερὸν ὅτι οὐδὲ τὸ πεπερασμένον μέγεθος τὸ ἄπειρον ἐνδέχεται διελθεῖν ἐν πεπερασμένῳ [n]χρόνῳ διὰ τὴν αὐτὴν αἰτίαν· ἐν γὰρ τῷ μορίῳ τοῦ χρόνου πεπερασμένον δίεισι, καὶ [o]ἐν
8 ἑκάστῳ ὡσαύτως, ὥστ' ἐν τῷ [p]παντὶ πεπερασμένον. [1]Ἐπεὶ [q]δὲ τὸ πεπερασμένον οὐ δίεισι τὸ ἄπειρον ἐν [r]πεπερασμένῳ χρόνῳ, δῆλον ὡς οὐδὲ τὸ ἄπειρον τὸ πεπερασμένον· εἰ γὰρ τὸ ἄπειρον τὸ πεπερασμένον, ἀνάγκη καὶ τὸ πεπερασμένον διιέναι τὸ ἄπειρον. Οὐδὲν γὰρ διαφέρει [s]ὁποτερονοῦν εἶναι τὸ κινούμενον· ἀμφοτέρως γὰρ τὸ πεπερασμένον δίεισι τὸ ἄπειρον. [v]Οταν γὰρ κινῆται τὸ ἄπειρον ἐφ' ᾧ τὸ Α, ἔσται τι αὐτοῦ κατὰ τὸ [t]Β πεπερασμένον, οἷον τὸ ΓΔ, καὶ πάλιν
9 ἄλλο καὶ ἄλλο, καὶ ἀεὶ [v]οὕτως. [v]Ωσθ' ἅμα συμβήσεται τὸ ἄπειρον κεκινῆσθαι τὸ πεπερασμένον καὶ τὸ πεπερασμένον διεληλυθέναι τὸ ἄπειρον· οὐδὲ γὰρ ἴσως δυνατὸν [w]ἄλλως τὸ ἄπειρον κινηθῆναι τὸ πεπερασμένον [x]ἢ τῷ τὸ πεπερασμένον [y]διιέναι τὸ ἄπειρον, ἢ φερόμενον ἢ ἀναμετροῦν. [v]Ωστ' ἐπεὶ [z]τοῦτ' [a]ἀδύνατον, οὐκ ἂν διίοι τὸ ἄπειρον τὸ πεπερασμένον. [1]Αλλὰ μὴν οὐδὲ τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον δίεισιν· [b]εἰ γὰρ τὸ ἄπειρον, καὶ τὸ πεπερασμένον· [c]ἐνυπάρχει γὰρ τῷ ἀπείρῳ τὸ πεπερασμένον. [1]Ετι δὲ καὶ τοῦ
10 χρόνου ληφθέντος [d]ἡ αὐτὴ ἔσται ἀπόδειξις. [1]Επεὶ δ' οὔτε [e]τὸ πεπερασμένον τὸ ἄπειρον [f]δίεισιν οὔτε τὸ ἄπειρον τὸ πεπερασμένον, οὔτε [g]τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ κινεῖται, φανερὸν ὅτι οὐδὲ κίνησις ἔσται ἄπειρος ἐν πεπερασμένῳ χρόνῳ· τί γὰρ διαφέρει τὴν κίνησιν ἢ τὸ μέγεθος

[l] ἐπ' ἀμφότερα ἢ ἐπὶ θάτερα H. ἢ ἐπ' ἀμφότερα om. E. [m] ἄπειρον om. E. [n] χρόνῳ om. E. [o] ἐν post καὶ om. F. [p] παντὶ τὸ πεπ. F. [q] δὲ] οὖν H.K. [r] πεπερασμένον χρόνῳ. Εἰ F. [s] ὁπότερον H.K. [t] Β τὸ πεπ. E. [v] ὡσαύτως H. [w] τὸ ἄπειρον ἄλλως H.K. [x] ἢ τῷ πεπερασμένῳ E. [y] διιεληλυθέναι H. [z] ταῦτ' H.I. [a] ἀδύνατα H. [b] εἰ γὰρ om. E. [c] ἐνυπάρχει—πεπερασμένον om. H. [d] ἡ] γὰρ ἡ E. [e] τὸ ante πεπ. om. F. [f] δίεισιν om. E. [g] ἄπειρον τὸ ἄπειρον ἐν F.H.K. et rc. I.

ποιεῖν ἄπειρον; [1]Ἀνάγκη γάρ, [h]εἰ ὁποτερονοῦν, καὶ θάτερον εἶναι ἄπειρον· πᾶσα γὰρ φορὰ ἐν τόπῳ.

[1]Ἐπεὶ δὲ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ τὸ πεφυκὸς ὅτε πέφυκε 8
καὶ οὗ καὶ ὡς, ἀνάγκη τὸ ἱστάμενον ὅτε ἵσταται κινεῖσθαι· εἰ γὰρ μὴ κινεῖται, ἠρεμήσει· ἀλλ' οὐκ ἐνδέχεται ἠρεμίζεσθαι τὸ ἠρεμοῦν. Τούτου δ' ἀποδεδειγμένου φανερὸν ὅτι καὶ ἐν χρόνῳ ἵστασθαι ἀνάγκη· τὸ γὰρ κινούμενον ἐν χρόνῳ κινεῖται, τὸ δ' ἱστάμενον δέδεικται κινούμενον, ὥστε ἀνάγκη ἐν χρόνῳ ἵστασθαι. [u]Ἔτι δ' [i]εἰ τὸ μὲν θᾶττον καὶ βραδύτερον 2
[k]ἐν χρόνῳ λέγομεν, ἵστασθαι [l]δ' ἔστι θᾶττον καὶ βραδύτερον· ἐν ᾧ [m]δὲ χρόνῳ [n]πρώτῳ τὸ ἱστάμενον ἵσταται, ἐν ὁτῳοῦν ἀνάγκη τούτου ἵστασθαι. Διαιρεθέντος γὰρ τοῦ χρόνου εἰ [o]μὲν ἐν μηδετέρῳ τῶν μερῶν ἵσταται, οὐδ' ἐν τῷ ὅλῳ, ὥστ' οὐκ ἂν [p]ἵσταιτο τὸ ἱστάμενον· εἰ δ' ἐν θατέρῳ, οὐκ ἂν ἐν πρώτῳ ὅλῳ [q]ἵσταιτο· καθ' [r]ἑκάτερον γὰρ ἐν τούτῳ ἵσταται, καθάπερ ἐλέχθη καὶ ἐπὶ τοῦ κινουμένου πρότερον. [v]Ὥσπερ δὲ τὸ κινούμενον οὐκ ἔστιν ἐν ᾧ [s]πρώτῳ κι- 3
νεῖται, οὕτως οὐδ' ἐν ᾧ ἵσταται τὸ ἱστάμενον· οὔτε γὰρ τοῦ κινεῖσθαι οὔτε τοῦ ἵστασθαί ἐστί τι [t]πρῶτον. [w]Ἔστω γὰρ ἐν ᾧ πρώτῳ ἵσταται ἐφ' ᾧ τὸ A B. Τοῦτο δὴ ἀμερὲς μὲν οὐκ ἐνδέχεται εἶναι· κίνησις γὰρ οὐκ ἔστιν ἐν τῷ ἀμερεῖ διὰ τὸ κεκινῆσθαί [v]τι αὐτοῦ, τὸ δ' ἱστάμενον δέδεικται κινούμενον. [1]Ἀλλὰ μὴν εἰ διαιρετόν ἐστιν, ἐν ὁτῳοῦν αὐτοῦ τῶν μερῶν ἵσταται· τοῦτο γὰρ δέδεικται πρότερον, ὅτι ἐν ᾧ [w]πρώτῳ ἵσταται, ἐν ὁτῳοῦν [x]τῶν ἐκείνου ἵσταται. [1]Ἐπεὶ [y]οὖν χρόνος 4
ἐστὶν ἐν ᾧ [z]πρώτῳ ἵσταται, καὶ οὐκ [a]ἄτομον, ἅπας [b]δὲ χρόνος εἰς ἄπειρα μεριστός, οὐκ [c]ἔσται ἐν ᾧ [d]πρώτῳ ἵσταται. [e]Οὐδὲ δὴ τὸ ἠρεμοῦν ὅτε πρῶτον ἠρέμησέν ἐστιν· ἐν ἀμερεῖ [f]μὲν γὰρ οὐκ ἠρέμησε διὰ τὸ μὴ εἶναι κίνησιν ἐν ἀτόμῳ·

[h] εἰ om. F.H.K. [i] εἰ om. E. [k] ἐν—βραδύτερον om. pr. K. [l] δ' ἔστι corr. E. [m] δὲ om. E. [n] πρώτως F.H.K. [o] μὲν] μὴ F. [p] ἵσταιτο] ιστα E, ἵσταται F.H, et pr. I. [q] ἵστατο H.I. [r] ἕτερον E.F. [s] πρώτως H. [t] πρότερον H. [v] τι αν αυτοῦ E. [w] πρώτως F.H.K. [x] τῶν om. I. [y] οὖν ὁ χρόνος I. [z] πρώτως H.K. [a] ἄτομος E. [b] δὲ] γὰρ E. [c] ἐστιν F. [d] πρώτως H. [e] οὐδὲ] οὐ E. [f] μὲν om. H.K.

ἐν ᾧ δὲ τὸ ἠρεμεῖν, καὶ τὸ κινεῖσθαι· τότε γὰρ ἔφαμεν ἠρεμεῖν, [g] ὅτε καὶ ἐν ᾧ πεφυκὸς κινεῖσθαι μὴ [h] κινεῖται τὸ πε-
5 φυκός. [1] Ἔτι δὲ καὶ [i] τότε λέγομεν ἠρεμεῖν, ὅταν ὁμοίως ἔχῃ νῦν καὶ πρότερον, ὡς οὐχ ἑνί τινι κρίνοντες ἀλλὰ δυοῖν τοῖν ἐλαχίστοιν· ὥστ' οὐκ ἔσται ἐν [k] ᾧ ἠρεμεῖ ἀμερές. Εἰ δὲ μεριστόν, χρόνος ἂν εἴη, καὶ ἐν ὁτῳοῦν αὐτοῦ τῶν μερῶν ἠρεμήσει· τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται ὃν καὶ ἐπὶ τῶν
[l] πρότερον· ὥστ' οὐθὲν ἔσται πρῶτον. Τούτου δ' αἴτιον ὅτι ἠρεμεῖ μὲν καὶ κινεῖται πᾶν ἐν χρόνῳ, χρόνος δ' οὐκ ἔστι πρῶτος οὐδὲ μέγεθος οὐδ' ὅλως συνεχὲς οὐδέν· ἅπαν γὰρ εἰς
6 ἄπειρα μεριστόν. [4] Ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται καὶ ἔκ τινος εἴς τι μεταβάλλει, ἐν ᾧ χρόνῳ κινεῖται καθ' [m] αὑτὸ καὶ μὴ [n] τῶν [o] ἐν ἐκείνου τινί, ἀδύνατον τότε κατά τι [p] εἶναι πρῶτον τὸ κινούμενον. Τὸ γὰρ ἠρεμεῖν ἐστὶ τὸ ἐν τῷ αὐτῷ [q] εἶναι χρόνον τινὰ καὶ αὐτὸ καὶ τῶν μερῶν ἕκαστον. Οὕτω γὰρ λέγομεν ἠρεμεῖν, ὅταν ἐν ἄλλῳ [r] καὶ ἄλλῳ [s] τῶν νῦν ἀληθὲς ᾖ εἰπεῖν ὅτι ἐν [t] τῷ αὐτῷ καὶ αὐτὸ
7 καὶ τὰ μέρη. Εἰ δὲ τοῦτ' ἔστι τὸ ἠρεμεῖν, οὐκ ἐνδέχεται τὸ μεταβάλλον κατά τι εἶναι ὅλον κατὰ τὸν πρῶτον χρόνον· ὁ γὰρ χρόνος διαιρετὸς ἅπας, ὥστε ἐν ἄλλῳ [v] καὶ ἄλλῳ αὐτοῦ μέρει ἀληθὲς [w] ἔσται εἰπεῖν ὅτι [x] ἐν ταὐτῷ ἐστὶ καὶ αὐτὸ καὶ τὰ μέρη· εἰ γὰρ μὴ οὕτως ἀλλ' [y] ἐν ἑνὶ μόνῳ [z] τῶν νῦν, οὐκ ἔσται χρόνον οὐδένα κατά τι, ἀλλὰ κατὰ τὸ πέρας τοῦ χρό-
8 νου. [4] Ἐν δὲ τῷ νῦν ἔστι μὲν ἀεὶ κατά τι μένον, οὐ μέντοι ἠρεμεῖ· οὔτε γὰρ κινεῖσθαι οὔτ' [a] ἠρεμεῖν ἔστιν ἐν τῷ νῦν, ἀλλὰ [b] μὴ κινεῖσθαι μὲν [c] ἀληθὲς ἐν τῷ νῦν καὶ εἶναι κατά τι, ἐν χρόνῳ δ' οὐκ ἐνδέχεται εἶναι κατὰ τὸ ἠρεμοῦν· συμβαίνει [d] γὰρ τὸ φερόμενον ἠρεμεῖν.

9 Ζήνων δὲ παραλογίζεται· εἰ γὰρ ἀεί, φησίν, ἠρεμεῖ πᾶν

[g] ὅτε—ἠρεμεῖν om. F. [h] κινῆται K. [i] τότε om. E. [k] ᾧ] οἷς I. [l] προτέρων H.I.K. [m] αὐτόν I. [n] τῷ E.H.I. [o] ἐν om. F.K. [p] πρῶτον εἶναι I. [q] χρόνῳ εἶναι τινα E.K, χρόνον τινὰ εἶναι I. [r] καὶ ἐν ἄλλῳ E.F. [s] τῷ F.H.I.K. [t] τῷ αὐτῷ] ᾧ τοῦτο E. [v] καὶ ἐν ἄλλω F. [w] εἰπεῖν ἐστὶν F. [x] ἐν τῷ αὐτῷ F.H.K, ἐν αὐτῷ I. [y] ἐν om. F. [z] τῷ F.H.I.K. [a] ἠρεμεῖν E. [b] μὴν E. [c] ἐν τῷ νῦν ἀληθὲς καὶ κατά τι εἶναι H. [d] γὰρ καὶ τὸ I.

ἢ κινεῖται, ὅταν ᾖ κατὰ τὸ ἴσον, ἔστι δ' ἀεὶ τὸ φερόμενον ἐν τῷ [e] νῦν, ἀκίνητον τὴν φερομένην εἶναι ὀϊστόν. Τοῦτο δ' ἐστὶ ψεῦδος· οὐ γὰρ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν [f] τῶν ἀδιαιρέτων, ὥσπερ οὐδ' ἄλλο μέγεθος οὐδέν. [g] Τέτταρες δ' [2] [h] εἰσὶ λόγοι περὶ κινήσεως Ζήνωνος οἱ παρέχοντες τὰς δυσκολίας τοῖς λύουσιν, πρῶτος μὲν ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ [i] πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος, περὶ οὗ διείλομεν [k] ἐν τοῖς [l] πρότερον λόγοις. Δεύτερος δ' ὁ καλούμενος [t] Ἀχιλλεύς· ἔστι δ' οὗτος, ὅτι τὸ [3] βραδύτερον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον, ὅθεν ὥρμησε τὸ φεῦγον, ὥστ' ἀεί τι [m] προέχειν ἀναγκαῖον τὸ βραδύτερον. [u] Ἔστι δὲ καὶ οὗτος ὁ αὐτὸς λόγος τῷ διχοτομεῖν, διαφέρει δ' ἐν τῷ διαιρεῖν μὴ δίχα τὸ προσλαμβανόμενον μέγεθος. Τὸ μὲν οὖν μὴ καταλαμβάνεσθαι τὸ βραδύτερον [4] συμβέβηκεν ἐκ τοῦ λόγου, γίνεται δὲ παρὰ [n] ταὐτὸ τῇ διχοτομίᾳ (ἐν ἀμφοτέροις γὰρ συμβαίνει μὴ ἀφικνεῖσθαι πρὸς τὸ πέρας διαιρουμένου πως τοῦ μεγέθους· ἀλλὰ πρόσκειται [o] ἐν τούτῳ ὅτι οὐδὲ τὸ τάχιστον τετραγωδημένον ἐν τῷ διώκειν τὸ [p] βραδύτατον), ὥστ' ἀνάγκη [q] καὶ τὴν λύσιν [r] εἶναι τὴν αὐτήν. Τὸ δ' ἀξιοῦν ὅτι [s] τὸ προέχον οὐ καταλαμβάνεται, ψεῦδος· ὅτε γὰρ προέχει, οὐ καταλαμβάνεται· ἀλλ' ὅμως καταλαμβάνεται, εἴπερ δώσει διεξιέναι τὴν πεπερασμένην. Οὗτοι μὲν οὖν [t] οἱ δύο λόγοι, τρίτος δ' ὁ νῦν ῥηθείς, ὅτι ἡ [5] στὸς φερομένη ἔστηκεν. Συμβαίνει δὲ παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν· μὴ [v] διδομένου γὰρ τούτου οὐκ ἔσται ὁ συλλογισμός. Τέταρτος δ' ὁ περὶ τῶν ἐν [w] τῷ σταδίῳ κινουμένων ἐξ ἐναντίας ἴσων [x] ὄγκων παρ' ἴσους, τῶν μὲν [y] ἀπὸ τέλους τοῦ σταδίου τῶν δ' [z] ἀπὸ μέσου, ἴσῳ τάχει, ἐν ᾧ

[e] νῦν τῷ κατὰ τὸ ἴσον ἀκίνητον rc. F. [f] τῶν om. F.H.I.K. [g] τέσσαρες F. [h] εἰσὶν οἱ λόγοι F.H.I.K. [i] δεῖν εἰς τὸ ἥμισυ πρότερον H. [k] ἐν om. I. [l] πρόσθεν F.H.I K. [m] προσέχειν E. [n] τὸ αὐτὸ E. [o] ἐν om. H.K. [p] βραδύτερον F.H.K. [q] καὶ om. F. [r] εἶναι ἑκατέρων τὴν E. [s] τὸ post ὅτι om. H.K. [t] οἱ λόγοι δύο F.I, λόγοι δύο H.K. [v] δεδομένου E. [w] τῷ om. F.H.I.K. [x] ὄγκος I. [y] ἀπὸ τοῦ τέλους F.I. [z] ἀπὸ τοῦ μέσου F.H.I.K.

συμβαίνειν οἴεται ἴσον εἶναι χρόνον τῷ διπλασίῳ τὸν [a]ἥμισυν.
6 [v]Ἔστι δ' ὁ παραλογισμὸς ἐν τῷ τὸ μὲν παρὰ κινούμενον τὸ δὲ παρ' ἠρεμοῦν τὸ ἴσον μέγεθος ἀξιοῦν τῷ ἴσῳ τάχει τὸν ἴσον φέρεσθαι χρόνον· τοῦτο δ' ἐστὶ ψεῦδος. Οἷον ἔστωσαν οἱ ἑστῶτες ἴσοι ὄγκοι ἐφ' ὧν [b]τὰ [c]A A, οἱ δ' ἐφ' ὧν [d]τὰ [e]B B [f]ἀρχόμενοι ἀπὸ τοῦ μέσου [g]τῶν A, ἴσοι τὸν ἀριθμὸν τούτοις ὄντες καὶ τὸ μέγεθος, οἱ δ' ἐφ' ὧν τὰ [h]Γ Γ ἀπὸ τοῦ [i]ἐσχάτου, ἴσοι τὸν ἀριθμὸν [k]ὄντες τούτοις καὶ τὸ μέγεθος,
7 καὶ ἰσοταχεῖς [l]τοῖς B. Συμβαίνει δὴ τὸ [m]πρῶτον B ἅμα ἐπὶ τῷ [n]ἐσχάτῳ εἶναι καὶ τὸ πρῶτον [o]Γ, παρ' ἄλληλα κινουμένων. Συμβαίνει [p]δὴ [q]τὸ Γ παρὰ πάντα [r]τὰ [s]B [t]διεξεληλυθέναι, [v]τὰ [w]δὲ B παρὰ τὰ ἡμίση· [x]ὥστε [y]ἥμισυν εἶναι τὸν χρόνον· [z]ἴσον γὰρ ἑκάτερόν ἐστι παρ' [a]ἕκαστον.
[v]Ἅμα δὲ συμβαίνει [b]τὰ B παρὰ πάντα τὰ Γ παρεληλυθέναι· ἅμα γὰρ [c]ἔσται τὸ πρῶτον Γ καὶ τὸ πρῶτον B ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις, ἴσον χρόνον παρ' ἕκαστον γινόμενον τῶν B ὅσον [d]περ τῶν [e]A, ὥς φησι, διὰ τὸ ἀμφότερα ἴσον χρό-
8 νον παρὰ τὰ [f]A γίγνεσθαι. [r]Ὁ μὲν οὖν λόγος οὗτός ἐστιν, συμβαίνει δὲ παρὰ τὸ εἰρημένον ψεῦδος. Οὐδὲ δὴ κατὰ τὴν ἐν [g]τῇ [h]ἀντιφάσει μεταβολὴν οὐθὲν ἡμῖν ἔσται ἀδύνατον, οἷον εἰ ἐκ τοῦ μὴ λευκοῦ εἰς τὸ λευκὸν μεταβάλλει καὶ ἐν μηδετέρῳ [i]ἐστίν, ὡς ἄρα οὔτε λευκὸν ἔσται οὔτε οὐ λευκόν· οὐ γὰρ εἰ μὴ ὅλον [k]ἐν ὁποτερῳοῦν ἐστίν, οὐ λεχθήσεται λευκὸν ἢ οὐ λευκόν· λευκὸν γὰρ λέγομεν ἢ οὐ λευκὸν οὐ τῷ [l]ὅλον εἶναι τοιοῦτον, ἀλλὰ τῷ τὰ πλεῖστα ἢ [m]τὰ [n]κυριώτατα μέρη· οὐ [o]ταὐτὸ δ' ἐστὶ μὴ εἶναί [p]τε ἐν τούτῳ καὶ μὴ [q]εἶναι

[a] ἥμισυ F. [b] τὸ E. [c] AAA F.H.K, AAAA I. [d] τὰ om. E. [e] B H.I.K, BBBB F. [f] ἄρχονται E. [g] τῶν A om. E.H.I. [h] Γ F.H.I.K. [i] ἐσχάτου τῶν B ἴσοι F. [k] τούτοις ὄντες F.H.K. [l] τοῖς] τῷ K. [m] B πρῶτον E. [n] ἐσχάτῳ Γ εἶναι rc. H. [o] Γ ἐπὶ τῷ ἐσχάτῳ B παρ' H. [p] δὲ F.H.K. [q] τὰ E.I. [r] τὰ om. E. [s] A F.K. [t] διεληλυθέναι H. [v] τὸ E. [w] δὲ om. I. [x] ὥστε] ὥστε καὶ H. [y] ἥμισυ F.H. [z] ἴσα H. [a] ἕκαστον αὐτῶν ἅμα E. [b] τὰ B] τὸ A B E. [c] ἐστι F.H.I.K. [d] περὶ F.K. [e] AA E. [f] AA E. [g] τῇ om. H. [h] φάσει E. [i] ἔσται I, εἶναι H. [k] ἐν om. F. [l] εἶναι ὅλον E. [m] τὰ post ἢ om. F.H.I.K. [n] κυριώτερα H. [o] ταυτὸν F.H.I.K. [p] τε om. H. [q] εἶναι τοῦτο ἐν τ. E.

ἐν τούτῳ ὅλον. [t]Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ [r]ὄντος [s]καὶ ἐπὶ τοῦ 9
μὴ ὄντος [t]καὶ τῶν ἄλλων [v]τῶν κατ' ἀντίφασιν· ἔσται μὲν
γὰρ ἐξ ἀνάγκης ἐν θατέρῳ τῶν ἀντικειμένων, ἐν οὐδετέρῳ δ'
ὅλον ἀεί. [w]Πάλιν ἐπὶ τοῦ κύκλου καὶ ἐπὶ τῆς σφαίρας καὶ
ὅλως τῶν ἐν αὐτοῖς κινουμένων, ὅτι συμβήσεται αὐτὰ ἠρεμεῖν·
ἐν γὰρ τῷ [x]αὐτῷ τόπῳ χρόνον τινὰ [y]ἔσται καὶ αὐτὰ καὶ τὰ
μέρη, ὥστ' ἠρεμήσει ἅμα καὶ κινήσεται. Πρῶτον μὲν γὰρ 10
τὰ μέρη οὐκ ἔστιν ἐν τῷ αὐτῷ οὐθένα χρόνον, εἶτα καὶ [z]τὸ
ὅλον μεταβάλλει [a]ἀεὶ εἰς ἕτερον· οὐ [b]γὰρ ἡ αὐτή ἐστιν ἡ
ἀπὸ τοῦ Α λαμβανομένη περιφέρεια καὶ ἡ ἀπὸ τοῦ Β καὶ
τοῦ Γ καὶ τῶν ἄλλων ἑκάστου σημείων, πλὴν [c]ὡς ὁ μουσικὸς
ἄνθρωπος [d]καὶ ἄνθρωπος, ὅτι συμβέβηκεν. [u]Ὥστε μετα-
βάλλει ἀεὶ ἡ ἑτέρα εἰς [e]τὴν ἑτέραν, καὶ οὐδέποτε ἠρεμήσει.
Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς σφαίρας καὶ [f]ἐπὶ τῶν ἄλ-
λων τῶν ἐν αὐτοῖς κινουμένων.

[1]Ἀποδεδειγμένων δὲ τούτων λέγομεν ὅτι τὸ ἀμερὲς οὐκ 10
ἐνδέχεται κινεῖσθαι πλὴν κατὰ συμβεβηκός, οἷον [g]κινουμένου
τοῦ σώματος ἢ τοῦ μεγέθους [h]τοῦ [i]ἐν ᾧ ὑπάρχει, καθάπερ
ἂν εἰ τὸ ἐν τῷ πλοίῳ κινοῖτο ὑπὸ τῆς τοῦ πλοίου φορᾶς ἢ τὸ
μέρος τῇ τοῦ ὅλου κινήσει. [1]Ἀμερὲς δὲ λέγω τὸ [k]κατὰ ποσὸν
ἀδιαίρετον· καὶ γὰρ αἱ τῶν μερῶν κινήσεις ἕτεραί εἰσι [l]κατ'
αὐτά τε τὰ μέρη καὶ κατὰ τὴν τοῦ ὅλου κίνησιν. [1]Ἴδοι δ' ἄν 2
[m]τις ἐπὶ τῆς σφαίρας μάλιστα τὴν διαφοράν· οὐ γὰρ [n]ταὐ-
τὸν τάχος [o]ἔσται τῶν τε πρὸς τῷ κέντρῳ καὶ τῶν ἐκτὸς καὶ
τῆς ὅλης, ὡς [p]οὐ μιᾶς οὔσης κινήσεως. Καθάπερ οὖν [q]εἴπο-
μεν, οὕτω [r]μὲν ἐνδέχεται [s]κινεῖσθαι τὸ ἀμερὲς ὡς ὁ ἐν τῷ
πλοίῳ καθήμενος τοῦ πλοίου θέοντος, καθ' αὑτὸ [t]δ' οὐκ ἐνδέ-

[r] ὄντος] μὴ ὄντος H. [s] καὶ ἐπὶ τοῦ μὴ ὄντος om E, μὴ om. H. [t] καὶ ἐπὶ τῶν E. [v] τῶν post ἄλλων om. K. [w] πάλιν δ' ἐπὶ H. [x] αὐτῷ om. I. [y] ἐστὶ F.K. [z] τὸ om. E. [a] ἀεὶ om. I. [b] γὰρ ἀεὶ ἡ F. [c] ὡς om. E. [d] καὶ om. I. [e] τὴν om. F. [f] ἐπὶ om. F. [g] τοῦ σώματος κινουμένου F.H.I.K. [h] τοῦ] τὸ H, τῶν E. [i] ἐν ᾧ ὑπάρχει] ἐνυπάρχειν E. [k] κατὰ] κατὰ τὸ H.I.K. [l] καθ' αὑτά E, κατὰ ταὐτά I. [m] τις καὶ ἐπὶ F.K. [n] ταυτὸ F.H.I.K. [o] ἐστιν E. [p] οὐ] οὐδὲ F. [q] εἶπον H.I.K. [r] μὲν οὖν ἐνδέχεται I. [s] κινεῖσθαι om. H. [t] δ'] γὰρ F.H.I.K.

χεται. [v] Μεταβαλλέτω γὰρ ἐκ τοῦ AB εἰς τὸ BΓ, εἶτ' ἐκ μεγέθους εἰς μέγεθος εἶτ' ἐξ εἴδους εἰς εἶδος εἴτε κατ' ἀντίφασιν· ὁ δὲ χρόνος ἔστω ἐν ᾧ [w] πρώτῳ μεταβάλλει ἐφ' οὗ
3 Δ. Οὐκοῦν ἀνάγκη αὐτὸ καθ' ὃν μεταβάλλει χρόνον ἢ ἐν τῷ AB εἶναι ἢ ἐν τῷ BΓ, ἢ τὸ μέν τι [x] αὐτοῦ ἐν τούτῳ τὸ δ' ἐν θατέρῳ· πᾶν γὰρ τὸ μεταβάλλον οὕτως εἶχεν. [1] Εν ἑκατέρῳ μὲν [y] οὖν οὐκ ἔσται τι αὐτοῦ· μεριστὸν γὰρ ἂν εἴη. [1] Αλλὰ μὴν [z] οὐδ' ἐν τῷ BΓ· μεταβεβληκὸς γὰρ ἔσται, ὑπό-
4 κειται δὲ μεταβάλλειν. Λείπεται δὴ [a] αὐτὸ ἐν τῷ AB εἶναι, καθ' ὃν μεταβάλλει χρόνον. [1] Ηρεμήσει ἄρα· τὸ γὰρ ἐν τῷ αὐτῷ [b] εἶναι χρόνον τινὰ ἠρεμεῖν ἦν. [v] Ωστ' οὐκ ἐνδέχεται τὸ ἀμερὲς κινεῖσθαι οὐδ' ὅλως μεταβάλλειν· μοναχῶς γὰρ ἂν οὕτως ἦν [c] αὐτοῦ κίνησις, εἰ ὁ χρόνος ἦν ἐκ τῶν νῦν· ἀεὶ γὰρ ἐν τῷ νῦν κεκινημένον ἂν ἦν καὶ μεταβεβληκός, ὥστε κινεῖ-
5 σθαι μὲν μηδέποτε, κεκινῆσθαι δ' ἀεί. Τοῦτο δ' ὅτι ἀδύνατον, δέδεικται [d] καὶ πρότερον· οὔτε γὰρ ὁ χρόνος ἐκ τῶν νῦν οὔθ' ἡ γραμμὴ [e] ἐκ στιγμῶν οὔθ' ἡ κίνησις ἐκ κινημάτων· οὐθὲν γὰρ ἄλλο ποιεῖ ὁ τοῦτο λέγων ἢ τὴν κίνησιν ἐξ ἀμερῶν, καθάπερ ἂν εἰ τὸν χρόνον ἐκ τῶν νῦν ἢ τὸ μέγεθος ἐκ στιγμῶν. [1] Ετι δὲ καὶ ἐκ τῶνδε φανερὸν ὅτι οὔτε [f] στιγμὴν οὔτ' [g] ἄλλο [h] ἀδιαίρετον οὐθὲν ἐνδέχεται κινεῖσθαι. [v] Απαν γὰρ τὸ κινούμενον ἀδύνατον πρότερον μεῖζον κινηθῆναι [i] αὐτοῦ,
6 πρὶν [k] ἂν ἢ ἴσον ἢ [l] ἔλαττον. Εἰ δὴ τοῦτο, φανερὸν ὅτι καὶ ἡ στιγμὴ ἔλαττον ἢ ἴσον κινηθήσεται πρῶτον. [1] Επεὶ δ' [m] ἀδιαίρετος, ἀδύνατον [n] ἔλαττον κινηθῆναι πρότερον· [o] ἴσην ἄρα [p] ἑαυτῇ. [v] Ωστε ἔσται ἡ γραμμὴ ἐκ στιγμῶν· ἀεὶ γὰρ [q] ἴσην [r] κινουμένη τὴν πᾶσαν γραμμὴν [s] στιγμὴ καταμετρήσει. Εἰ δὲ τοῦτο ἀδύνατον, καὶ τὸ κινεῖσθαι [t] τὸ ἀδιαίρετον

[v] μεταβάλλεται K. [w] πρώτως H. [x] αὐτῷ F. [y] οὖν om. H. [z] οὐδ' αὐτὸ ἐν E. [a] αὐτὸ ἐν] αὐτὸν E. [b] χρόνον εἶναι F.H.I.K. [c] αὐτοῦ ἡ κίνησις F.H.I.K. [d] καὶ om. F.H.I.K. [e] ἐκ τῶν στιγμῶν F. [f] στιγμὴ I.K. [g] ἄλλο om. F. [h] οὐδὲν ἀδιαίρετον K. [i] ἑαυτοῦ F.H. [k] ἂν om. E.H. [l] ἔλασσον E. [m] ἀδιαίρετον E. [n] ἐλάττονα I. [o] ἴση E. [p] αὐτὴ F.H.I.K. [q] ἴση K. [r] κινουμένην E. [s] στιγμὴν E. [t] τὸ ante ἀδ. om. E.

ἀδύνατον. [u]Ετι δ' εἰ ἅπαν ἐν χρόνῳ κινεῖται, [v]ἐν δὲ τῷ νῦν 7
μηθέν, [w]ἅπας δὲ χρόνος διαιρετός, εἴη [x]ἄν τις χρόνος ἐλάττων [y]ὁτῳοῦν τῶν κινουμένων [z]ἐν ᾧ κινεῖται [a]ὅσον αὐτό. Οὗτος μὲν γὰρ ἔσται χρόνος ἐν ᾧ κινεῖται διὰ τὸ πᾶν ἐν χρόνῳ κινεῖσθαι, χρόνος δὲ πᾶς διαιρετὸς δέδεικται πρότερον. Εἰ [b]δ' ἄρα στιγμὴ κινεῖται, ἔσται τις χρόνος ἐλάττων [c]ἐν ᾧ [d]αὐτὴ ἐκινήθη. [t]Αλλ' ἀδύνατον· ἐν γὰρ τῷ ἐλάττονι 8
ἔλαττον ἀνάγκη κινεῖσθαι. [u]Ωστ' ἔσται διαιρετὸν τὸ [e]ἀδιαίρετον εἰς τὸ ἔλαττον, ὥσπερ καὶ ὁ χρόνος [f]εἰς τὸν χρόνον· μοναχῶς [g]γὰρ [h]ἂν κινοῖτο τὸ ἀμερὲς καὶ ἀδιαίρετον, εἰ ἦν ἐν τῷ νῦν κινεῖσθαι δυνατὸν τῷ ἀτόμῳ· τοῦ γὰρ αὐτοῦ λόγου ἐν τῷ νῦν κινεῖσθαι καὶ ἀδιαίρετόν τι κινεῖσθαι. Μεταβολὴ δ' οὐκ ἔστιν οὐδεμία ἄπειρος· ἅπασα γὰρ ἦν ἔκ τινος εἴς [i]τι, καὶ ἡ ἐν ἀντιφάσει καὶ ἡ [k]ἐν ἐναντίοις. [u]Ωστε τῶν μὲν κατ' 9
ἀντίφασιν ἡ [l]φάσις καὶ [m]ἡ ἀπόφασις πέρας, οἷον γενέσεως μὲν τὸ ὄν, φθορᾶς δὲ τὸ μὴ ὄν, τῶν δ' ἐν τοῖς ἐναντίοις τὰ ἐναντία· ταῦτα γὰρ ἄκρα τῆς μεταβολῆς, ὥστε [n]καὶ ἀλλοιώσεως [o]πάσης· ἐξ ἐναντίων γάρ τινων ἡ ἀλλοίωσις. [t]Ομοίως δὲ καὶ αὐξήσεως καὶ φθίσεως· αὐξήσεως μὲν γὰρ τὸ πέρας τοῦ κατὰ τὴν οἰκείαν φύσιν τελείου μεγέθους, φθίσεως δὲ ἡ τούτου [p]ἔκστασις. [t]Η δὲ φορὰ οὕτω μὲν οὐκ [q]ἔσται πε- 10
περασμένη· οὐ γὰρ [r]πᾶσα ἐν ἐναντίοις· ἀλλ' [s]ἐπειδὴ [t]τὸ ἀδύνατον τμηθῆναι [v]οὕτω, τῷ μὴ ἐνδέχεσθαι τμηθῆναι ([w]πλεοναχῶς γὰρ λέγεται τὸ ἀδύνατον), οὐκ ἐνδέχεται τὸ οὕτως ἀδύνατον τέμνεσθαι, οὐδ' ὅλως τὸ ἀδύνατον γενέσθαι γίνεσθαι, οὐδὲ τὸ [x]μεταβάλλειν ἀδύνατον ἐνδέχοιτ' ἂν μεταβάλλειν εἰς ὃ ἀδύνατον [x]μεταβάλλειν. Εἰ οὖν τὸ φερόμενον 11
[y]μεταβάλλοι εἴς τι, καὶ δυνατὸν ἔσται [x]μεταβάλλειν.

[v] ἐν δὲ] εἰ δὲ E. [w] πᾶς F.H.I.K. [x] τις ἂν K. [y] ὁτουοῦν F.H.I.K. [z] ἐν] ἢ ἐν E. [a] ὅσον—κινεῖται om. H.K. [b] δ' om. F.H.K. [c] ἐν] ἢ ἐν E. [d] αὕτη F.H.K. [e] ἀδ.] διαιρετον E. [f] εἰς] πρὸς E. [g] γὰρ om. EI. [h] ἂν] ἄρα I. [i] τιφάσις E. [k] ἐν om. E. [l] κατάφασις H. et corr. F. [m] ἡ om. H.I.K. [n] καὶ] ἐξ K. [o] πάσης om. I. [p] ἔκτασις E. [q] ἔστι F. [r] ἅπασα F.H.I.K. [s] ἐπεὶ H.K. [t] τὸ om. F. [v] οὕτω om. E, deletis litteris duabus. [w] πολλαχῶς F.H.I.K. [x] μεταβαλεῖν K. [y] μεταβάλλει I.

[v]Ωστ' οὐκ [z]ἄπειρος ἡ κίνησις, οὐδ' οἰσθήσεται [a]τὴν ἄπειρον· ἀδύνατον γὰρ διελθεῖν αὐτήν. [v]Οτι μὲν οὖν [b]οὕτως οὐκ ἔστιν [c]ἄπειρος μεταβολὴ ὥστε μὴ ὡρίσθαι πέρασι, φανερόν. [d]Αλλ' εἰ οὕτως [d]ἐνδέχεται ὥστε [e]τῷ χρόνῳ εἶναι ἄπειρον
12 [f]τὴν αὐτὴν οὖσαν καὶ μίαν, σκεπτέον. Μὴ μιᾶς μὲν γὰρ γινομένης οὐθὲν ἴσως κωλύει, οἷον εἰ μετὰ τὴν φορὰν ἀλλοίωσις εἴη καὶ μετὰ τὴν ἀλλοίωσιν αὔξησις καὶ πάλιν γένεσις· οὕτω γὰρ ἀεὶ μὲν ἔσται τῷ χρόνῳ κίνησις, ἀλλ' οὐ μία διὰ τὸ μὴ εἶναι μίαν ἐξ ἁπασῶν. [v]Ωστε δὲ γίνεσθαι μίαν, οὐκ ἐνδέχεται [g]ἄπειρον εἶναι τῷ χρόνῳ πλὴν μιᾶς· αὕτη δ' [h]ἐστὶν [i]ἡ κύκλῳ φορά.

[k]H.

[v]Απαν τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι. Εἰ μὲν οὖν ἐν [l]ἑαυτῷ μὴ ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, φανερὸν ὅτι ὑφ' ἑτέρου [m]κινεῖται. Εἰ δ' ἐν αὑτῷ, εἰλήφθω ἐφ' οὗ τὸ A B, [n]ὃ [o]κινεῖται μὴ [p]τῷ τῶν τούτου τι κινεῖσθαι. Πρῶτον μὲν οὖν τὸ ὑπολαμβάνειν τὸ A B ὑφ' [q]ἑαυτοῦ κινεῖσθαι διὰ τὸ ὅλον τε κινεῖσθαι καὶ ὑπὸ μηθενὸς τῶν ἔξωθεν ὅμοιόν ἐστιν ὥσπερ [r]ἂν εἴ τις τοῦ Δ E κινοῦντος τὸ E Z καὶ αὐτοῦ κινουμένου [s]ὑπολαμβάνοι τὸ [t]Δ E Z ὑφ' [v]αὑτοῦ κινεῖσθαι, διὰ τὸ μὴ συνορᾶν πότερον ὑπὸ ποτέρου κινεῖται, [w]πότερον
2 τὸ Δ E ὑπὸ τοῦ E Z [x]ἢ τὸ E Z ὑπὸ τοῦ Δ E. [y]Ετι τὸ ὑφ' [y]αὑτοῦ κινούμενον οὐδέποτε παύσεται κινούμενον τῷ ἑτερόν τι στῆναι κινούμενον. [z]Ανάγκη τοίνυν, εἴ τι [z]παύεται κινούμενον τῷ ἕτερόν τι στῆναι, [a]τοῦθ' ὑφ' ἑτέρου κινεῖσθαι. Τούτου γὰρ φανεροῦ [b]γινομένου ἀνάγκη πᾶν τὸ [c]κινούμενον

[z] ἄπειρος ἔσται ἡ K. [a] τὴν om. E. [b] οὐκ ἔστιν οὕτως F. [c] ἄπειρος ἡ μεταβολὴ I. [d] ἐνδέχοιτο K. [e] τῷ] ἐστιν ἕν τινι E, om. H.K. [f] οὖσαν τὴν αὐτὴν F. [g] εἶναι ἄπειρον H. [h] ἐστιν] ἄρα K. [i] ἡ κύκλῳ] ἡ κύκλῳ μία E, ἡ μία ἡ κύκλῳ F.H.K. [k] H] φυσικῆς ἀκροάσεως ζ^ον H, φυσικῶν ἕβδομον I, περὶ κινήσεως τῶν εἰς γ τὸ α α. ζη. E. [l] αὐτῷ F.H.K. [m] κινεῖται. Ἄλλο γὰρ ἔσται τὸ κινοῦν. Εἰ E.F. [n] ὃ—τὸ AB. om. I. [o] κινεῖται καθ' αὑτὸ ἀλλὰ μὴ F. [p] τῷ ante μὴ ponit H, om. E. [q] αὑτοῦ I, ου το E. [r] ἂν om. E. [s] ὑπολαμβάνει K. [t] Δ om. E. [v] ἑαυτοῦ F.H. [w] πότερον τὸ] πότερα τὸ E.H. [x] τὸ EZ] τὸ ζε K. [y] ἑαυτοῦ F.I. [z] παύσεται E. [a] τοῦθ'] αυτου E. [b] γενομένου E.I. [c] κινούμενον διαιρετὸν κινεῖσθαι E.

κινεῖσθαι ὑπό τινος. [1]Ἐπεὶ γὰρ εἴληπται τὸ Α Β κινούμενον, διαιρετὸν ἔσται· πᾶν γὰρ τὸ κινούμενον διαιρετὸν ἦν. Διῃρήσθω τοίνυν [d] ᾗ τὸ Γ. [1]Ἀνάγκη δὴ τοῦ [e] Β Γ ἠρεμοῦντος 3 ἠρεμεῖν καὶ τὸ Α Β. Εἰ γὰρ μή, εἰλήφθω κινούμενον. Τοῦ τοίνυν [e] Β Γ ἠρεμοῦντος κινοῖτο ἂν τὸ Γ Α. Οὐκ ἄρα καθ' αὑτὸ κινεῖται τὸ Α Β. [1]Ἀλλ' ὑπέκειτο καθ' αὑτὸ κινεῖσθαι πρῶτον. Δῆλον τοίνυν ὅτι τοῦ [f] Γ Β ἠρεμοῦντος ἠρεμήσει καὶ τὸ Β Α, καὶ τότε παύσεται κινούμενον. [1]Ἀλλ' [g] εἴ τι τῷ ἄλλο ἠρεμεῖν ἵσταται καὶ παύεται [h] κινούμενον, τοῦθ' ὑφ' ἑτέρου κινεῖται. Φανερὸν δὴ [i] ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται· διαιρετόν τε γάρ ἐστι πᾶν τὸ κινούμενον, καὶ τοῦ μέρους ἠρεμοῦντος ἠρεμήσει [k] καὶ τὸ ὅλον. [1]Ἐπεὶ δὲ [l] τὸ 4 κινούμενον πᾶν ὑπό τινος κινεῖται, ἀνάγκη καὶ τὸ κινούμενον πᾶν [m] ἐν τόπῳ κινεῖσθαι ὑπ' ἄλλου. Καὶ τὸ κινοῦν τοίνυν ὑφ' ἑτέρου, [n] ἐπειδὴ καὶ αὐτὸ κινεῖται, καὶ πάλιν τοῦτο ὑφ' ἑτέρου. [o] Οὐ δὴ εἰς ἄπειρον πρόεισιν, ἀλλὰ στήσεταί που καὶ ἔσται τι [p] ὃ πρώτως αἴτιον ἔσται τοῦ κινεῖσθαι. Εἰ γὰρ μή, [q] ἀλλ' εἰς ἄπειρον πρόεισιν, ἔστω τὸ μὲν Α ὑπὸ τοῦ Β κινούμενον, τὸ δὲ Β ὑπὸ τοῦ Γ, τὸ δὲ Γ ὑπὸ τοῦ Δ· καὶ τοῦτον δὴ τὸν τρόπον εἰς ἄπειρον προβαινέτω. [1]Ἐπεὶ οὖν ἅμα 5 τὸ κινοῦν καὶ αὐτὸ κινεῖται, δῆλον ὡς ἅμα κινήσεται τό τε Α καὶ [r] τὸ Β· κινουμένου [s] γὰρ τοῦ Β κινηθήσεται καὶ τὸ Α· καὶ τοῦ Β δὴ κινουμένου τὸ Γ καὶ τοῦ Γ τὸ Δ. [1]Ἔσται τοίνυν ἅμα ἥ τε τοῦ Α κίνησις [t] καὶ τοῦ Β καὶ τοῦ Γ καὶ τῶν λοιπῶν ἑκάστου. Καὶ λαβεῖν τοίνυν [v] αὐτῶν ἕκαστον δυνη- 6 σόμεθα. Καὶ γὰρ εἰ ἕκαστον [w] ὑφ' ἑκάστου κινεῖται, οὐθὲν ἧττον μία τῷ ἀριθμῷ [x] ἡ ἑκάστου κίνησις, καὶ οὐκ [y] ἄπειρον τοῖς ἐσχάτοις, ἐπειδήπερ τὸ κινούμενον πᾶν ἔκ τινος εἴς τι κινεῖται. [1]Ἡ γὰρ ἀριθμῷ συμβαίνει [z] τὴν αὐτὴν κίνησιν

[d] ᾗ] εἰς H. [e] γβ E. [f] βγ F.K. [g] εἴ τι] ὅτι K. [h] κινου E. [i] ὅτι] δὲ ὅτι E, διότι K. [k] καὶ ante τὸ om. F.H.I.K. [l] πᾶν τὸ κινούμενον F. [m] ὑπό τινος ἄλλου κινεῖσθαι ἐν τόπῳ I. [n] ἐπειδὴ—ἑτέρου om. E. [o] οὐ δὴ] οὐκ H. [p] ὃ om. E. [q] ἀλλ' om. H.K. et corr. F. [r] τὸ om. F. [s] γὰρ καὶ τοῦ E. [t] καὶ τοῦ β om. E.F.H.I.K. [v] αὐτῶν ἑκάστην E, ἕκαστον αὐτῶν F.H. [w] ὑφ' ἑκάστου ἀεὶ κινεῖται I, κινεῖται ὑφ' ἑκάστου H. [x] ἡ om. E. [y] ἄπειροι E, ἄπειρος H.I. [z] τὴν αὐτὴν] μίαν I.

7 εἶναι ἢ γένει ἢ εἴδει. [d]Ἀριθμῷ μὲν οὖν λέγω τὴν αὐτὴν κίνησιν τὴν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ [a]τῷ ἀριθμῷ ἐν τῷ αὐτῷ χρόνῳ τῷ ἀριθμῷ [b]γινομένην, οἷον ἐκ τοῦδε τοῦ λευκοῦ, ὅ ἐστιν ἓν [c]τῷ ἀριθμῷ, εἰς τόδε τὸ μέλαν κατὰ [d]τόνδε τὸν χρόνον, ἕνα ὄντα τῷ ἀριθμῷ· εἰ γὰρ κατ' [e]ἄλλον, οὐκέτι μία ἔσται τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει. Γένει δ' [f]ἡ αὐτὴ κίνησις ἡ ἐν τῇ αὐτῇ κατηγορίᾳ τῆς οὐσίας ἢ τοῦ γένους, εἴδει δὲ ἡ ἐκ τοῦ αὐτοῦ τῷ εἴδει [g]εἰς [h]ταὐτὸ τῷ εἴδει, οἷον ἡ ἐκ [i]τοῦ λευ-
8 κοῦ εἰς τὸ μέλαν ἢ ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ κακόν. Ταῦτα [k]δ' εἴρηται καὶ ἐν τοῖς πρότερον. Εἰλήφθω τοίνυν ἡ τοῦ Α κίνησις καὶ ἔστω ἐφ' οὗ τὸ Ε, καὶ ἡ τοῦ Β ἐφ' οὗ τὸ Ζ, καὶ ἡ τοῦ Γ Δ ἐφ' οὗ τὸ Η Θ, καὶ ὁ χρόνος ἐν ᾧ κινεῖται τὸ Α ὁ Κ. [l]Ὡρισμένης [l]δὴ τῆς κινήσεως [m]τοῦ Α, ὡρισμένος ἔσται καὶ ὁ χρόνος καὶ οὐκ ἄπειρος ὁ Κ. [d]Ἀλλ' ἐν τῷ αὐτῷ χρόνῳ ἐκινεῖτο τὸ Α καὶ τὸ Β καὶ τῶν λοιπῶν ἕκαστον.
9 [n]Συμβαίνει τοίνυν τὴν κίνησιν τὴν Ε Ζ Η Θ ἄπειρον οὖσαν ἐν ὡρισμένῳ χρόνῳ κινεῖσθαι τῷ Κ· ἐν ᾧ γὰρ τὸ Α ἐκινεῖτο, [o]καὶ τὰ τῷ Α [p]ἐφεξῆς ἅπαντα ἐκινεῖτο ἄπειρα ὄντα. [q]Ὥστ' ἐν τῷ αὐτῷ κινεῖται. Καὶ γὰρ ἤτοι ἴση [q]ἡ κίνησις ἔσται ἡ τοῦ Α [r]τῇ τοῦ Β, ἢ μείζων. Διαφέρει δ' οὐθέν· πάντως γὰρ τὴν ἄπειρον κίνησιν ἐν πεπερασμένῳ χρόνῳ συμβαίνει
10 κινεῖσθαι, τοῦτο δ' ἀδύνατον. Οὕτω μὲν οὖν [s]δόξειεν ἂν δείκνυσθαι τὸ ἐξ ἀρχῆς, [t]οὐ μὴν δείκνυταί γε διὰ τὸ μηθὲν ἄτοπον συμβαίνειν· ἐνδέχεται γὰρ ἐν πεπερασμένῳ χρόνῳ κίνησιν ἄπειρον εἶναι, μὴ τὴν αὐτὴν δὲ ἀλλ' ἑτέραν καὶ ἑτέραν πολλῶν κινουμένων [v]καὶ ἀπείρων, ὅπερ συμβαίνει καὶ τοῖς
11 νῦν. [d]Ἀλλ' εἰ τὸ κινούμενον πρώτως [w]κατὰ τόπον καὶ σωματικὴν κίνησιν ἀνάγκη ἅπτεσθαι ἢ συνεχὲς εἶναι τῷ κινοῦντι, καθάπερ ὁρῶμεν ἐπὶ πάντων τοῦτο συμβαῖνον· ἔσται γὰρ ἐξ

[a] τῷ ἀριθμῷ] τῶ αὐτῶ ἀριθμῶ E. [b] γινομένην om. E. [c] τῷ] τ' E. [d] τόνδε τὸν] τὸν τόνδε F, δὲ τὸν E.H. [e] ἄλλο E.H. [f] ἡ post δ' om. I. [g] εἰς] κατὰ F. [h] ταυτὸ] αὐτὸ H, τὸ αὐτὸ F. [i] τοῦ αὐτοῦ λευκοῦ E.I. [k] δ' εἴρηται] διήρηται E. [l] δὲ F.H.I.K. [m] τοῦ A] οὔσης F. [n] συμβαίνει δὲ τοίνυν I. [o] καὶ τὰ] κατὰ E. [p] ἐκινεῖτο ἐφεξῆς ἅπαντα H. [q] ἡ ante κ. om. H. [r] τῇ τοῦ B om. E. [s] ἂν δόξειεν E. [t] οὐ μὴν οὐ δείκνυται K. [v] καὶ ante ἀπ. om. H.I. et corr. F. [w] κατὰ τόπον καὶ om. E.

ἁπάντων ἓν τὸ πᾶν ἢ συνεχές. [x] Τὸ δὴ ἐνδεχόμενον εἰλήφθω, καὶ ἔστω [y] τὸ μὲν μέγεθος ἢ τὸ συνεχὲς ἐφ' οὗ τὸ ΑΒ [z] ΓΔ, ἡ δὲ τούτου κίνησις ἡ ΕΖΗΘ. [a] Διαφέρει δ' οὐθὲν ἢ 12
πεπερασμένον ἢ ἄπειρον· ὁμοίως γὰρ ἐν πεπερασμένῳ τῷ Κ κινηθήσεται ἢ ἄπειρον ἢ [b] πεπερασμένον. Τούτων [c] δ' ἑκάτερον [d] τῶν ἀδυνάτων. Φανερὸν οὖν ὅτι στήσεταί [e] ποτε καὶ οὐκ [f] εἰς ἄπειρον πρόεισι τὸ ἀεὶ ὑφ' ἑτέρου, ἀλλ' ἔσται τι ὃ πρῶτον κινηθήσεται. Μηδὲν δὲ [g] διαφερέτω τὸ ὑποτεθέντος τινὸς [h] τοῦτο δείκνυσθαι· τοῦ γὰρ ἐνδεχομένου τεθέντος οὐδὲν ἄτοπον ἔδει συμβαίνειν.

Τὸ δὲ πρῶτον κινοῦν, μὴ ὡς τὸ οὗ ἕνεκεν, ἀλλ' ὅθεν ἡ 2
ἀρχὴ τῆς κινήσεως, [i] ἐστὶν ἅμα τῷ κινουμένῳ. [v] Ἅμα δὲ λέγω, διότι [k] οὐθὲν [l] αὐτῶν μεταξύ ἐστιν· τοῦτο γὰρ [m] κοινὸν ἐπὶ παντὸς κινουμένου καὶ κινοῦντός ἐστιν. [1] Ἐπεὶ δὲ τρεῖς [n] εἰσὶ κινήσεις, ἥ τε κατὰ τόπον καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ [o] τὸ ποσόν, ἀνάγκη [p] καὶ τὰ κινούμενα τρία. [1] Ἡ μὲν [q] οὖν κατὰ [r] τόπον φορά, ἡ δὲ κατὰ τὸ ποιὸν ἀλλοίωσις, ἡ δὲ κατὰ τὸ ποσὸν αὔξησις καὶ φθίσις. Πρῶτον μὲν οὖν [s] ὑπὲρ τῆς φορᾶς [t] εἴπωμεν· αὕτη γὰρ πρώτη τῶν κινήσεών ἐστιν. [v] [v] Ἅπαν 2
δὴ τὸ φερόμενον ἢ ὑφ' [w] αὑτοῦ κινεῖται ἢ ὑπ' ἄλλου. [v] Ὅσα

[x] τὸ δὴ] τοῦτο δὴ F. [y] τὸ ante μὲν om. E. [z] ΓΔ om. E. [a] τοῦτο δ' οὐθὲν διαφέρει εἴτε πεπερασμένον εἴτε I. [b] πεπερασμένην E. [c] δὲ καθ' ἕτερον E. [d] τῶν ἀδυνάτων] ἀδύνατον F.H.K. [e] τότε E. [f] εἰς om. E. [g] διαφέρει E. [h] δείκνυσθαι τοῦτο H. [i] ἅμα τῷ κινουμένῳ ἐστιν F. [k] αὐτῶν οὐθὲν E.I. [l] μεταξὺ αὐτῶν F. [m] κοινῶς H.I.K. [n] εἰσὶν αἱ κινήσεις H.I. [o] τὸ ante ποσόν om. E. [p] καὶ om. I. [q] οὖν om. F. [r] τόπον—ἀλλοίωσις ἡ δὲ κατὰ τὸ om. pr. E. [s] περὶ F.H.I. [t] εἴπομεν K. [v] ἅπαν δὴ—πλὴν κατὰ συμβεβηκός (cap. 3. fin.)] Horum loco in libris plerisque est, quam infra posui, paraphrasis Themistii, velut in E.F.K.T, in Marciano 206 (f), in Oxoniensi collegii corporis Christi, in Regio 1866, in Vaticanis 152 (g), 249, 251, 935, 1028. Aristotelis verba prima (sect. 2. init.—cap. 3. fin.) soli habent Regii 1859 (b) et 1861 (c) et 2033, reliqua (sect. 10. ad cap. 3. fin.) plures. Miscent utrumque genus H.I.H[a].a, Baroccianus 79 (h), Marcianus cl. 4. c. 4, Regius 2032 (i), Vaticani 250 (d), 307, 1025 (e). [w] ἑαυτοῦ b.

[v] Ἅπαν δὴ τὸ φερόμενον [a] ἤτοι αὐτὸ ὑφ' [b] αὑτοῦ κινεῖται ἢ ὑφ' [c] ἑτέρου.

[a] ἤτοι] η το E. [b] ἑαυτοῦ f. [c] ἑτέρου γίνεται ἀλλοιουμένων τινῶν ταῦτα. Εἰ h.

μὲν οὖν αὐτὰ ὑφ' αὑτῶν κινεῖται, φανερὸν ἐν τούτοις ὅτι ἅμα τὸ κινούμενον καὶ τὸ κινοῦν ἐστίν· ἐνυπάρχει γὰρ αὐτοῖς τὸ
3 πρῶτον κινοῦν, ὥστ' οὐδέν ἐστιν ἀναμεταξύ. [v]Οσα δ' ὑπ' ἄλλου κινεῖται, τετραχῶς ἀνάγκη γίνεσθαι· [x]τέτταρα γὰρ εἴδη τῆς ὑπ' ἄλλου φορᾶς, ἕλξις, [y]ὦσις, ὄχησις, δίνησις. [v]Απασαι γὰρ αἱ κατὰ τόπον κινήσεις ἀνάγονται εἰς ταύτας· ἡ μὲν γὰρ ἔπωσις ὦσίς τίς ἐστιν, ὅταν τὸ ἀπ' αὐτοῦ κινοῦν
[z]ἐπακολουθοῦν ὠθῇ, ἡ δ' ἄπωσις, ὅταν μὴ ἐπακολουθῇ κινήσαν, ἡ δὲ ῥῖψις, ὅταν σφοδροτέραν ποιήσῃ τὴν ἀπ' αὐτοῦ κίνησιν τῆς κατὰ φύσιν φορᾶς, καὶ μέχρι τοσούτου φέρηται
4 ἕως ἂν κρατῇ ἡ κίνησις. Πάλιν ἡ δίωσις καὶ σύνωνις ἄπωσις καὶ ἕλξις εἰσίν· ἡ μὲν γὰρ δίωσις ἄπωσις (ἡ γὰρ ἀπ' αὐτοῦ ἢ ἀπ' ἄλλου ἐστὶν ἡ ἄπωσις), ἡ δὲ σύνωσις ἕλξις (καὶ γὰρ πρὸς αὐτὸ καὶ πρὸς ἄλλο ἡ ἕλξις). [v]Ωστε καὶ ὅσα τούτων εἴδη, οἷον σπάθησις καὶ κέρκισις· ἡ μὲν γὰρ σύνωσις, ἡ δὲ δίωσις. [r]Ομοίως δὲ καὶ αἱ ἄλλαι συγκρίσεις καὶ διακρίσεις· ἅπασαι γὰρ ἔσονται διώσεις ἢ συνώσεις, πλὴν ὅσαι ἐν γενέσει
5 καὶ φθορᾷ εἰσίν. [v]Αμα δὲ φανερὸν ὅτι οὐδ' ἔστιν ἄλλο τι

[x] τέτταρα γὰρ εἴδη] τετάρτης ἤδη b. [y] ὦσις om. c. [z] ἐπακόλουθον b.

Εἰ μὲν οὖν ὑφ' [c]αὑτοῦ, φανερὸν ὡς ἐν [d]ἑαυτῷ τοῦ κινοῦντος ὑπάρχοντος ἅμα τὸ κινοῦν καὶ [e]τὸ κινούμενον [f]ἔσται, καὶ οὐθὲν αὐτῶν
2 μεταξύ. Τὸ δ' ὑπ' ἄλλου κινούμενον τετραχῶς κινεῖται· αἱ γὰρ ὑφ' ἑτέρου κινήσεις [g]τέτταρές εἰσιν, ὦσις ἕλξις [h]ὄχησις δίνησις. Καὶ
3 γὰρ τὰς ἄλλας πάσας εἰς [i]ταύτας ἀνάγεσθαι συμβαίνει. Τῆς μὲν [k]οὖν ὤσεως τὸ μὲν ἔπωσις τὸ δ' ἄπωσίς ἐστιν. [v]Επωσις μὲν οὖν ἐστὶν ὅταν τὸ κινοῦν τοῦ κινουμένου μὴ [l]ἀπολείπηται, [m]ἄπωσις δὲ ὅταν τὸ [n]ἀπωθοῦν [o]ἀπολείπηται. [c]Η δὲ ὄχησις ἐν ταῖς τρισίν [p]ἐστι κινήσεσιν. Τὸ μὲν γὰρ ὀχούμενον οὐ καθ' αὑτὸ κινεῖται [q]ἀλλὰ κατὰ συμβεβηκός· τῷ γὰρ ἐν κινουμένῳ εἶναι ἢ ἐπὶ [r]κινουμένου κινεῖται. Τὸ δὲ ὀχοῦν κινεῖται ἢ [s]ὠθούμενον ἢ ἑλκόμενον ἢ δινούμενον. Φα-

[c] ἑαυτοῦ f. [d] αὐτῷ H.T.Ha.f.g.h. [e] τὸ om. f. [f] ἔσται· ἐνυπάρχει γὰρ αὐτοῖς τὸ πρώτως κινοῦν καὶ T. [g] τέσσαρες H.Ha.f.h. [h] ὄχησις καὶ δίνησις Ha f, δίνησις ὄχησις F.h. [i] ταῦτα F. [k] οὖν om. h. [l] ἀπολίπηται E.I.e.f. [m] ἄπωσις—ἀπολείπηται om. F. [n] ἀπῶσαν E. [o] ἀπολίπηται E.I.e. [p] ἔσται E.K. [q] ἀλλὰ—κινεῖται om. h. [r] κινουμένῳ E. [s] ὠθούμενον] ὀχούμενον Ha.

γένος κινήσεως ἢ σύγκρισις καὶ διάκρισις· ἅπασαι γὰρ διανέμονται εἴς τινας τῶν εἰρημένων. Ἔτι δ' ἡ μὲν [a] εἰσπνοὴ ἕλξις, ἡ δ' ἐκπνοὴ ὦσις. [b] Ὁμοίως δὲ καὶ ἡ πτύσις, καὶ ὅσαι ἄλλαι διὰ τοῦ σώματος ἢ ἐκκριτικαὶ ἢ ληπτικαὶ κινήσεις· αἱ μὲν γὰρ ἕλξεις εἰσίν, αἱ δ' ἀπώσεις. Δεῖ δὲ καὶ τὰς ἄλλας τὰς κατὰ τόπον ἀνάγειν· ἅπασαι γὰρ πίπτουσιν εἰς τέσσαρας ταύτας. Τούτων δὲ πάλιν ἡ [c] ὄχησις καὶ ἡ δίνησις εἰς 6
ἕλξιν καὶ ὦσιν. [d] Ἡ μὲν γὰρ [c] ὄχησις κατὰ τούτων τινὰ τῶν τριῶν τρόπων ἐστίν· τὸ μὲν γὰρ ὀχούμενον κινεῖται κατὰ συμβεβηκός, ὅτι ἐν κινουμένῳ ἐστὶν ἢ ἐπὶ κινουμένου τινός, τὸ δ' [e] ὀχοῦν [f] ὀχεῖ ἢ ἑλκόμενον ἢ ὠθούμενον ἢ δινούμενον, ὥστε κοινή ἐστιν ἁπασῶν τῶν τριῶν ἡ ὄχησις. [d] Ἡ δὲ δίνησις 7
σύγκειται ἐξ ἕλξεώς τε καὶ ὤσεως· ἀνάγκη γὰρ τὸ δινοῦν τὸ μὲν ἕλκειν τὸ δ' ὠθεῖν· τὸ μὲν γὰρ ἀφ' [g] αὑτοῦ τὸ δὲ πρὸς αὐτὸν ἄγει. Ὥστ' εἰ τὸ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα τῷ ὠθουμένῳ καὶ τῷ ἑλκομένῳ, φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος οὐδέν ἐστι μεταξύ. [h] Ἀλλὰ μὴν τοῦτο 8

[a] εἰσπνοὴ] πνοὴ b. [b] ὄχλησις c. [c] ὠθοῦν c. [d] ἔχει b. [e] ἑαυτοῦ c.

νερὸν οὖν ὅτι ἡ ὄχησις ἐν ταῖς τρισὶν [t] ἔσται κινήσεσιν. [u] Ἡ δ' ἕλξις 4
ἤτοι [v] ὅταν πρὸς [w] αὐτὸν ἢ πρὸς [x] ἕτερον [y] θάττων ᾖ [z] ἡ κίνησις ἡ τοῦ ἕλκοντος μὴ χωριζομένη [a] τῆς τοῦ ἑλκομένου. Καὶ [b] γὰρ καὶ πρὸς [c] αὐτόν ἐστιν [d] ἡ ἕλξις καὶ πρὸς ἕτερον. Καὶ αἱ λοιπαὶ δὲ 5
[e] ἕλξεις [f] αἱ αὐταὶ τῷ εἴδει εἰς [g] ταῦτα ἀναχθήσονται, οἷον ἡ εἴσπνευσις καὶ ἡ ἔκπνευσις καὶ ἡ πτύσις καὶ ὅσαι τῶν σωμάτων [h] ἢ ἐκκριτικαὶ ἢ ληπτικαί εἰσι, καὶ ἡ [i] σπάθησις [k] δὲ καὶ ἡ κέρκισις· τὸ μὲν γὰρ αὐτῶν σύγκρισις τὸ δὲ [l] διάκρισις. Καὶ πᾶσα [m] δὴ κίνησις ἡ κατὰ τόπον σύγκρισις καὶ διάκρισις ἐστιν. [n] Ἡ δὲ δίνησις σύγκει- 6
ται [n] ἐξ ἕλξεως καὶ ὤσεως. Τὸ μὲν γὰρ ὠθεῖ τὸ κινοῦν, τὸ δ' ἕλκει. Φανερὸν οὖν [o] ὡς [p] ἐπεὶ ἅμα τὸ ὠθοῦν καὶ τὸ ἕλκον τῷ [q] ὠθουμένῳ 7
καὶ ἑλκομένῳ ἐστίν, οὐθὲν μεταξὺ τοῦ [r] κινουμένου καὶ τοῦ κινοῦντος

[t] ἐστι F.H.I.Ha e.f. [u] ὅτε H. [w] αὐτὸν E.I.e: ceteri αὐτὸ. [x] θάτερον h. [y] θᾶττον K.T, ὅταν θάττων E.I.e. [z] ἡ prius om. E, alterum F. [a] τῆς om. H.I.T.Ha.e.f.h. [b] γὰρ] γὰρ καὶ Ha. [c] αὑτό H. [d] ἡ om. F.H.I.K.Ha.e.f.h. [e] ἕλξεις καὶ ὦσεις αἱ h. [f] αἱ ante αὐταὶ om. E. [g] ταύτας H.I.K.T.Ha.e.f, τὰς αὐτὰς h. [h] ἢ post σ. om. H.I.e.f. [i] σπάθισις H.T.Ha.e f.h. [k] δὲ om. F. [l] διάκρισις—σύγκρισις καὶ om. K. [m] δὴ] δὲ b, δ' ἡ h. [n] ante ἐξ omisi μὲν cum E.I.T.e. [o] ὅτι f. [p] ἐπεὶ E.I.e: ceteri εἴπερ. [q] ἑλκομένῳ καὶ ὠθουμένῳ E.F.I.K.T.Ha.e. [r] κινοῦντος καὶ τοῦ κινουμένου K.b.

δῆλον καὶ ἐκ τῶν ὁρισμῶν· ὧσις μὲν γάρ ἐστιν ἡ ἀφ' [e]αὑτοῦ ἢ ἀπ' ἄλλου πρὸς ἄλλο κίνησις, ἕλξις δὲ ἡ ἀπ' ἄλλου πρὸς αὑτὸ ἢ πρὸς ἄλλο, ὅταν [f]θᾶττον ἡ κίνησις ᾖ τοῦ ἕλκοντος, [g]ἡ χωρίζουσα ἀπ' ἀλλήλων τὰ συνεχῆ· οὕτω γὰρ συνεφέλ-
9 κεται θάτερον. Τάχα δὲ δόξειεν ἂν εἶναί τις ἕλξις καὶ ἄλλως· τὸ γὰρ ξύλον ἕλκει [h]τὸ πῦρ οὐχ οὕτως. Τὸ δ' οὐθὲν διαφέρει κινουμένου τοῦ ἕλκοντος ἢ μένοντος ἕλκειν· ὁτὲ μὲν γὰρ ἕλκει οὗ ἔστιν, ὁτὲ δὲ οὗ ἦν. [i]Ἀδύνατον δὲ ἢ ἀφ' [j]αὑτοῦ πρὸς ἄλλο ἢ ἀπ' ἄλλου πρὸς αὑτὸ κινεῖν μὴ ἁπτόμενον, ὥστε φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος οὐδέν
10 ἐστι μεταξύ. [k]Ἀλλὰ μὴν οὐδὲ τοῦ ἀλλοιουμένου καὶ τοῦ ἀλλοιοῦντος. Τοῦτο δὲ δῆλον ἐξ ἐπαγωγῆς· ἐν ἅπασι γὰρ συμβαίνει ἅμα εἶναι τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ ἀλλοιού-

[e] ἑαυτοῦ c. [f] θάττων b. [g] τῆς χωριζούσης b. [h] τὸ πῦρ om. b.c. [i] ἑαυτοῦ b.

8 ἐστίν. Τοῦτο δὲ δῆλον καὶ ἐκ τῶν [s]εἰρημένων· ἡ [t]μὲν γὰρ [v]ὧσις ἢ [w]ἀφ' [x]ἑαυτοῦ ἢ ἀπ' [y]ἄλλου πρὸς ἄλλο κίνησις, ἡ δ' ἕλξις [z]ἀπ' ἄλλου πρὸς αὑτὸ ἢ πρὸς ἄλλο, [a]ἔτι ἡ σύνωσις καὶ [b]ἡ δίωσις. [c]Ἡ δὲ [c]ῥῖψις ὅταν [d]θάττων ἡ κίνησις γένηται τῆς κατὰ φύσιν τοῦ [e]φερομένου σφοδροτέρας [f]γενομένης τῆς ὤσεως, καὶ μέχρι [g]τούτου [h]συμβαίνει φέρεσθαι [i]μέχρι [k]ἂν οὗ σφοδροτέρα [l]ᾖ ἡ κίνησις τοῦ [m]φε-
9 ρομένου. Φανερὸν [n]δὴ [o]ὅτι τὸ [p]κινούμενον καὶ τὸ κινοῦν ἅμα, καὶ οὐθὲν αὐτῶν [q]ἐστὶ μεταξύ. [r]Ἀλλὰ μὴν [s]οὐδὲ τοῦ ἀλλοιουμένου καὶ [t]τοῦ ἀλλοιοῦντος [v]οὐδέν ἐστι μεταξύ. Τοῦτο δὲ δῆλον ἐκ τῆς ἐπαγωγῆς. Ἐν ἅπασι γὰρ συμβαίνει ἅμα [w]εἶναι τὸ ἀλλοιοῦν ἔσχατον καὶ τὸ πρῶτον ἀλλοιούμενον. Τὸ γὰρ [x]ποιὸν ἀλλοιοῦται τῷ αἰσθητὸν εἶναι, αἰσθητὰ δ' ἐστὶν [y]οἷς διαφέρουσι τὰ σώματα ἀλλήλων, οἷον βαρύτης κουφότης, σκληρότης μαλακότης, ψόφος ἀψοφία, λευκότης [z]μελανότης, γλυκύτης πικρότης, ὑγρότης ξηρότης, [a]πυκνό-

[s] ὡρισμένων E.T, ὁρισμῶν F.Ha.g.h. [t] μὲν om. Ha. [v] ἄπωσις E. [w] ἐφ' Ha. [x] ἑαυτοῦ πρὸς ἄλλο ἢ h. [y] ἄλλου καὶ πρὸς T. [z] ἀπ'—δίωσις] ἤδη σύνωσις E. [a] ἔτι δ' ἡ g. [b] ἡ post καὶ addiderunt H.I.T.e.h. [c] ῥέψις E, ἕλξις h. [d] θᾶττον I.K.T.g. [e] φερομένου φορᾶς σφ. h. [f] γενησομένης E. [g] τούτου] τούτου γενομένου F.K.Ha.b.g. [h] συμφέρει γίνεσθαι K. [i] μέχρι E.f.g: ceteri μέχρις. [k] ἂν om. H.I K.T.Ha.e.f. [l] ᾖ] εἴη F.I.e, om. E. [m] φερ.] κινουμένου H. [n] δὴ] γὰρ δὴ g. [o] διότι K. [p] κινοῦν καὶ τὸ κινούμενον F. [q] ἐστὶ om. T. [r] ἀλλὰ—μεταξύ om. F. [s] οὐδὲ om. E. [t] τοῦ post καὶ om. K. [v] οὐδέν post μεταξὺ ponunt b.f, om. Ha. [w] εἶναι τὸ E: ceteri εἶναι τό τε. [x] ποιοῦν Ha. [y] οἷς om. E. [z] μελανία H.I.T. [a] πυκνότης μαλακότης μανότης Ha.

μενον ὑπὸ τῶν εἰρημένων. Ταῦτα γάρ ἐστι πάθη τῆς [k]ὑποκειμένης ποιότητος· ἢ γὰρ θερμαινόμενον ἢ γλυκαινόμενον ἢ πυκνούμενον ἢ ξηραινόμενον ἢ λευκαινόμενον ἀλλοιοῦσθαί φαμεν, [l]ὁμοίως τὸ ἄψυχον καὶ τὸ ἔμψυχον λέγοντες, καὶ πάλιν τῶν ἐμψύχων τά τε μὴ αἰσθητικὰ τῶν μερῶν καὶ αὐτὰς τὰς αἰσθήσεις. [d]Ἀλλοιοῦνται γάρ [m]πως καὶ αἱ αἰσθήσεις· ἡ γὰρ 11
αἴσθησις ἡ κατ' ἐνέργειαν κίνησίς ἐστι [n]διὰ σώματος, πασχούσης τι τῆς αἰσθήσεως. Καθ' ὅσα μὲν οὖν τὸ ἄψυχον ἀλλοιοῦται, καὶ τὸ ἔμψυχον, καθ' ὅσα δὲ τὸ ἔμψυχον, οὐ κατὰ [o]πάντα τὸ ἄψυχον· οὐ γὰρ ἀλλοιοῦται κατὰ τὰς αἰσθήσεις, καὶ τὸ μὲν λανθάνει, τὸ δ' οὐ λανθάνει πάσχον. Οὐδὲν [p]δὲ κωλύει

[k] εἰρημένης d. [l] ὁμοίως τε τὸ b.c. [m] πως om. H.Ha.d. [n] διὰ τοῦ σώματος b.c. [o] πάντα] ταῦτα πάντα b.c, πάντα καὶ Ha. [p] δὲ] γὰρ Ha, qui hinc redit ad paraphrasin.

της μανότης καὶ [b]τὰ μεταξὺ τούτων, [c]ὁμοίως δὲ καὶ τὰ ἄλλα τὰ ὑπὸ τὰς [d]αἰσθήσεις, ὧν ἐστὶ καὶ ἡ θερμότης καὶ [e]ἡ ψυχρότης καὶ ἡ λειότης καὶ [e]ἡ τραχύτης. Ταῦτα γάρ ἐστι [f]πάθη τῆς ὑποκειμένης ποιό- 10
τητος. Τούτοις γὰρ διαφέρουσι τὰ αἰσθητὰ τῶν σωμάτων ἢ κατὰ [g]τὸ τούτων [h]τι μᾶλλον καὶ ἧττον καὶ τῷ τούτων τι πάσχειν. Θερμαινόμενα γὰρ ἢ ψυχόμενα [i]ἢ γλυκαινόμενα [k]ἢ πικραινόμενα ἢ κατά [l]τι ἄλλο τῶν [m]προειρημένων ὁμοίως τά τε ἔμψυχα τῶν σωμάτων καὶ τὰ [n]ἄψυχα καὶ τῶν ἐμψύχων ὅσα τῶν μερῶν ἄψυχα. Καὶ [o]αὐταὶ δὲ αἱ αἰσθήσεις ἀλλοιοῦνται. Πάσχουσι γάρ· ἡ [p]γὰρ 11
ἐνέργεια [q]αὐτῶν κίνησίς ἐστι [r]διὰ σώματος πασχούσης τι τῆς αἰσθήσεως. Καθ' ὅσα μὲν οὖν [s]ἀλλοιοῦνται [t]τὰ ἄψυχα, καὶ τὰ ἔμψυχα κατὰ πάντα ταῦτα [v]ἀλλοιοῦνται· καθ' ὅσα δὲ τὰ ἔμψυχα [w]ἀλλοιοῦνται, κατὰ ταῦτα οὐκ [x]ἀλλοιοῦνται τὰ ἄψυχα. Κατὰ γὰρ τὰς αἰσθήσεις οὐκ [y]ἀλλοιοῦνται, [z]καὶ λανθάνει ἀλλοιούμενα [a]τὰ

[b] τὸ F. [c] ὁμοίως—ποιότητος rc. margo E. [d] αἰσθήσεις. Ἅπαν γὰρ σῶμα σώματος διαφέρει τοῖς αἰσθητοῖς ἢ (καὶ f. et Vaticanus 307) πλείοσιν ἢ ἐλάττοσιν ἢ τῷ μᾶλλον καὶ ἧττον τοῖς αὐτοῖς. Ἀλλὰ μὴν καὶ ἀλλοιοῦται τὸ ἀλλοιούμενον ὑπὸ τῶν προειρημένων (εἰρημένων b.f, et 307 et Parisiensis 1860, ἑτέρων Ha). ταῦτα γὰρ et quæ supra leguntur sect. 10. H.Ha.b.f, et 307 et 1860. [e] ἡ ante ψ. et τρ. om. I.e. [f] πάθη F.H.T.g.h. et margo E: ceteri πάθος. [g] τὸ om. e.h. et pr. E.I. [h] τι om. pr. I. [i] ἢ γλυκαινόμενα om. E. [k] ἢ πικραινόμενα om. T. [l] ἄλλο τι F.K.T.h. [m] προειρημένων ἀλλοιοῦσθαι φαμέν. Ὁμοίως margo F. [n] ἄψυχα λέγοντες καὶ τῶν ἐμψύχων πάλιν ὅσα I.e. [o] αὖται K. [p] γὰρ κατ' ἐνέργειαν I.e.h. [q] αὐτῶν] αἴσθησις I.e. [r] διὰ—αἰσθήσεως om. pr. E. [s] ἀλλοιοῦται F.E.h. [t] τὰ ante ἄψ. om. E. [v] ἀλλοιοῦται T.g.h. [w] ἀλλοιοῦνται F.T.g.h. [x] ἀλλοιοῦται F.h. [y] ἀλλοιοῦται E. [z] καὶ τὰ μὲν λανθάνει I.e. [a] τὰ—ἀλλοιούμενα] τὰ δ' οὐ λανθάνει. Ἔνια δὲ λανθάνει I.e.h.

καὶ τὸ ἔμψυχον λανθάνειν, ὅταν μὴ κατὰ τὰς αἰσθήσεις γί-
12 νηται ἡ ἀλλοίωσις. Εἴπερ οὖν ἀλλοιοῦται τὸ ἀλλοιούμενον
ὑπὸ τῶν αἰσθητῶν, ἐν ἅπασί [q]γε τούτοις φανερὸν ὅτι ἅμα
ἐστὶ τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον· τῷ
μὲν γὰρ συνεχὴς ὁ ἀήρ, τῷ δ' ἀέρι τὸ σῶμα. Πάλιν δὲ τὸ
μὲν χρῶμα τῷ φωτί, τὸ δὲ φῶς τῇ ὄψει. Τὸν αὐτὸν δὲ
τρόπον καὶ ἡ ἀκοὴ καὶ ἡ [r]ὄσφρησις· πρῶτον γὰρ κινοῦν πρὸς
τὸ κινούμενον ὁ ἀήρ. Καὶ ἐπὶ τῆς γεύσεως ὁμοίως· ἅμα γὰρ
13 τῇ γεύσει ὁ χυμός. [t]Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων [s]καὶ
ἀναισθήτων. [v]Ὥστ' οὐδὲν ἔσται μεταξὺ τοῦ [t]ἀλλοιουμένου
καὶ τοῦ ἀλλοιοῦντος. Οὐδὲ [v]μὴν τοῦ αὐξανομένου τε καὶ
[w]αὔξοντος· [x]αὐξάνει γὰρ τὸ πρῶτον αὔξον προσγινόμενον,
ὥστε [y]ἓν γίγνεσθαι τὸ ὅλον. Καὶ πάλιν φθίνει τὸ φθῖνον
[z]ἀπογινομένου τινὸς τῶν τοῦ φθίνοντος. [i]Ἀνάγκη οὖν συνεχὲς
εἶναι καὶ τὸ αὔξον καὶ τὸ φθῖνον, τῶν δὲ συνεχῶν οὐδὲν μεταξύ.

q γε om. d. r ὄσφρησις τῷ πρῶτον κινοῦντι· τὸ γὰρ πρῶτον κινοῦν H.d. s καὶ τῶν ἀναισθήτων H.d. t ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου H.d. v μὲν b. w αὔξαντος c, αὐξάνοντος H.d. x αὔξει d. y ἓν om. H.d. z ἀπογινομένου—φθῖνον om. d.

ἄψυχα. Οὐθὲν [b]δὲ κωλύει καὶ τὰ ἔμψυχα [c]λανθάνειν ἀλλοιούμενα,
ὅταν μὴ κατὰ τὰς αἰσθήσεις συμβαίνῃ τὸ τῆς ἀλλοιώσεως [d]αὐτοῖς.
12 Εἴπερ οὖν αἰσθητὰ μὲν τὰ πάθη, διὰ δὲ τούτων ἡ ἀλλοίωσις, [e]τοῦτό
[f]γε φανερόν, ὅτι τὸ πάσχον καὶ τὸ [g]πάθος ἅμα, [h]καὶ τούτων οὐθέν
ἐστι μεταξύ. [i]Τῷ μὲν γὰρ [k]ὁ ἀὴρ συνεχής, τῷ δ' ἀέρι συνάπτει
τὸ σῶμα. Καὶ [l]ἡ μὲν ἐπιφάνεια πρὸς τὸ φῶς, τὸ δὲ φῶς [m]πρὸς
τὴν ὄψιν. [n]Ὁμοίως δὲ καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις πρὸς τὸ κινοῦν
[n]αὐτὰς πρῶτον. Τὸν αὐτὸν [o]δὲ τρόπον ἅμα καὶ ἡ γεῦσις καὶ ὁ
13 χυμός ἐστιν. [p]Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων [q]καὶ τῶν [r]ἀναι-
σθήτων. Καὶ τὸ [s]αὐξανόμενον δὲ καὶ τὸ αὔξον· [t]πρόσθεσις γάρ
τις ἡ αὔξησις, ὥσθ' ἅμα τό τ' [v]αὐξανόμενον καὶ τὸ αὔξον. Καὶ ἡ
φθίσις δέ· τὸ γὰρ τῆς φθίσεως αἴτιον ἀφαίρεσίς τις. Φανερὸν δὲ

b δὲ] γὰρ Ha. c λανθάνει δὲ ἀλλοιούμενα E. d αὐτῆς F.I. e τούτοις E. f γε] γε δὴ F.K.T.Ha.g.h, om. E. g πάθος] ποιοῦν h. h καὶ τούτων—τρόπον ἅμα om. pr. F. i τῷ] αὐτῷ h, om. E. k ὁ ante μὲν ponit E, om. T. l ἡ μὲν ἐπιφάνεια] τὸ μὲν χρῶμα K. m πρὸς] τὸ πρὸς I.e. n αὐτὰ E.I.K.T.Ha.e.h. o δὲ om. h. p ὡσαύτως—ἀναισθήτων om. pr. E. q καὶ ἐπὶ τῶν h. r αἰσθητῶν K.g. et margo E. s αὐξόμενον Ha. t πρόσθεσις—αὔξον om. h. et pr. F. v αὐξόμενον Ha.

Φανερὸν οὖν ὅτι τοῦ κινουμένου καὶ τοῦ κινοῦντος πρώτου καὶ ἐσχάτου πρός [a]τι κινούμενον οὐδέν ἐστιν ἀνὰ μέσον.

[v]Ὅτι δὲ τὸ ἀλλοιούμενον ἅπαν ἀλλοιοῦται ὑπὸ τῶν αἰ- 3
σθητῶν, [b]καὶ ἐν μόνοις ὑπάρχει τούτοις ἀλλοίωσις ὅσα καθ' αὑτὰ λέγεται πάσχειν ὑπὸ τῶν αἰσθητῶν, ἐκ τῶνδε [c]θεωρητέον. Τῶν γὰρ ἄλλων μάλιστ' ἄν τις ὑπολάβοι ἔν τε τοῖς σχήμασι καὶ [d]ἐν ταῖς μορφαῖς [e]καὶ ἐν ταῖς ἕξεσι καὶ ταῖς τούτων λήψεσι καὶ ἀποβολαῖς ἀλλοίωσιν ὑπάρχειν· ἐν [f]οὐδετέροις δ' ἔστιν. Τὸ μὲν γὰρ σχηματιζόμε- 2
νον [g]καὶ ῥυθμιζόμενον ὅταν ἐπιτελεσθῇ, οὐ λέγομεν ἐκεῖνο ἐξ οὗ ἐστίν, οἷον τὸν ἀνδριάντα χαλκὸν ἢ τὴν πυραμίδα κηρὸν ἢ τὴν κλίνην ξύλον, ἀλλὰ [h]παρωνυμιάζοντες [i]τὸ μὲν χαλκοῦν, τὸ δὲ κήρινον, τὸ δὲ ξύλινον. Τὸ δὲ πεπονθὸς καὶ ἠλλοιωμένον προσαγορεύομεν· [k]ὑγρὸν γὰρ καὶ θερμὸν

[a] τι] τὸ b.c.d. [b] καὶ ἐν—αἰσθητῶν om. c. [c] θεωρήσωμεν d. [d] ἐν ante ταῖς μ. om. H.d. [e] καὶ ἕξ.] ἢ ἕξ. H.d, καὶ ἐν ἕξ. c. [f] οὐδετέραις H.d. [g] καὶ ῥυθμιζόμενον om. b.c. [h] παρωνομιάζοντες b. [i] τὸ μὲν χ. τὸ] τὸν μὲν χ. τὸν c.d. [k] ξηρὸν γὰρ καὶ ὑγρὸν καὶ σκληρὸν καὶ θερμὸν b.c.d.

ὡς τοῦ κινοῦντος ἐσχάτου καὶ τοῦ κινουμένου πρώτου οὐθέν ἐστι μεταξύ, [w]ἀνὰ [x]μέσον τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου.

[v]Ὅτι δὲ [y]τὰ ἀλλοιούμενα [z]ἀλλοιοῦνται πάντα ὑπὸ [a]τῶν αἰσθη- 14
τῶν, καὶ [b]μόνων τούτων ἐστὶν ἀλλοίωσις [c]ὅσα καθ' αὑτὰ [d]λέγεται πάσχειν ὑπὸ τούτων, ἐκ τῶνδε θεωρήσωμεν. [e]Τῶν γὰρ ἄλλων μά-
λιστ' [f]ἄν τις ὑπολάβοι [g]ἔν τε τοῖς σχήμασι καὶ ταῖς μορφαῖς καὶ ταῖς ἕξεσι καὶ ταῖς [h]τούτων ἀποβολαῖς καὶ λήψεσιν [i]ἀλλοίωσιν ὑπάρχειν. [k]Δοκεῖ [l]γὰρ ὑπάρχειν τὸ τῆς ἀλλοιώσεως, οὐκ ἔστι δ' 15
οὐδ' ἐν τούτοις, [m]ἀλλὰ γίνεται [n]τὸ σχῆμα ἀλλοιουμένων τινῶν ταῦτα· πυκνουμένης γὰρ ἢ μανουμένης ἢ θερμαινομένης ἢ ψυχο-
μένης τῆς ὕλης. Ἀλλοίωσις δὲ οὐκ ἔστιν. Ἐξ οὗ μὲν γὰρ ἡ μορφὴ τοῦ ἀνδριάντος, οὐ λέγομεν τὴν μορφήν, οὐδ' ἐξ οὗ τὸ σχῆμα τῆς πυραμίδος ἢ τῆς κλίνης, ἀλλὰ [o]παρωνυμιάζοντες τὸ [p]μὲν [q]χαλ-

[w] ἀνὰ—κινουμένου om. I.e.h. [x] μέσου H[a]. [y] τὰ om. E. [z] ἀλλοιοῦται E. [a] τῶν] πασῶν H[a]. [b] ἐν μόνοις τούτοις I.e.h. [c] ὅσα] ἢ ὅσα E. [d] λέγεται πάσχειν] πάσχει E. [e] τῶν μὲν γὰρ H[a]. [f] ἄν τις ὑπολάβοι om. E.e. et pr. I. [g] ἔν τε om. E. [h] τούτων δὲ ἀποβολαῖς I. [i] ἀλλοίωσιν ὑπάρχειν om. E.F.K.T.II[a] e.g.h. et pr. I. [k] δοκεῖ om. h. [l] γὰρ om. E.e.h. et pr. I. [m] ἀλλὰ γίνεται om. I.e.h, qui posthac ut supra. [n] τὸ σχῆμα om. E.F.K.T.H[a].g. [o] παρωνυμίζοντες g, παρονομάζοντες h. [p] μὲν] μὲν γὰρ T. [q] χαλκὸν I.

καὶ σκληρὸν τὸν χαλκὸν [l]λέγομεν καὶ τὸν κηρόν. Καὶ
οὐ μόνον οὕτως, ἀλλὰ καὶ τὸ ὑγρὸν καὶ τὸ θερμὸν χαλ-
κὸν [m]λέγομεν, ὁμωνύμως τῷ πάθει προσαγορεύοντες τὴν
3 ὕλην. [v]Ὥστ' εἰ [n]κατὰ μὲν τὸ σχῆμα τὴν μορφὴν [o]οὐ λέ-
γεται τὸ γεγονὸς ἐν ᾧ ἐστὶ τὸ σχῆμα, κατὰ δὲ τὰ πάθη
καὶ τὰς ἀλλοιώσεις λέγεται, φανερὸν ὅτι οὐκ ἂν εἶεν αἱ γενέ-
σεις [p]αὗται ἀλλοιώσεις. [q]Ἔτι δὲ καὶ [q]εἰπεῖν οὕτως ἄτοπον
4 ἂν δόξειεν, [r]ἠλλοιῶσθαι τὸν ἄνθρωπον ἢ τὴν οἰκίαν ἢ ἄλλο
ὁτιοῦν τῶν γεγενημένων· ἀλλὰ [t]γίνεσθαι μὲν ἴσως ἕκαστον
ἀναγκαῖον ἀλλοιουμένου τινός, οἷον τῆς ὕλης πυκνουμένης ἢ
μανουμένης ἢ θερμαινομένης ἢ ψυχομένης, οὐ μέντοι τὰ γινό-
μενά [v]γε [w]ἀλλοιοῦται, οὐδ' ἡ γένεσις αὐτῶν ἀλλοίωσίς
ἐστιν. [x]Ἀλλὰ μὴν οὐδ' αἱ ἕξεις οὔθ' αἱ τοῦ σώματος οὔθ'
5 αἱ τῆς ψυχῆς ἀλλοιώσεις. Αἱ μὲν γὰρ ἀρεταὶ αἱ δὲ κακίαι
τῶν ἕξεων· οὐκ ἔστι δὲ οὔτε ἡ ἀρετὴ οὔτε ἡ κακία ἀλλοίωσις,

[l] καὶ τὸν κηρὸν λέγομεν I.d.e.h. [m] λέγομεν—ὕλην] ὁμωνύμως λέγοντες τῷ πάθει H.d. et pr. I, ὁμωνύμως λέγοντες τὴν ὕλην τῷ πάθει h. [n] μὲν κατὰ H. [o] οὐ] μὴ H. [p] αὗται om. H. [q] οὕτως εἰπεῖν H. [r] ante ἠλλοιῶσθαι omisi ἢ cum H. ἀλλοιοῦσθαι b.c, ἠλλοιῶσθαι post ἄνθρωπον I.e. [t] γενέσθαι H.b.c. [v] γε om. I.d. [w] ἀλλοιοῦνται I.b.e.h. [x] ἀλλὰ—ἀλλοιώσεις om. c.

κοῦν τὸ δὲ κήρινον τὸ δὲ ξύλινον τὸ δ' ἀλλοιούμενον λέγομεν· τὸν
γὰρ χαλκὸν ὑγρὸν εἶναι λέγομεν ἢ [r]θερμὸν ἢ σκληρόν, καὶ οὐ
μόνον οὕτως, ἀλλὰ καὶ τὸ [s]ὑγρὸν καὶ τὸ θερμὸν χαλκόν, [t]ὁμωνύ-
16 μως λέγοντες τῷ πάθει τὴν ὕλην. Ἐπεὶ οὖν ἐξ οὗ μὲν [v]ἡ μορφὴ
καὶ τὸ σχῆμα [w]καὶ τὸ γεγονὸς ὁμωνύμως οὐ λέγεται τοῖς ἐξ ἐκείνου σχήμασι, τὸ δ' ἀλλοιούμενον τοῖς πάθεσιν ὁμωνύμως λέγεται,
17 φανερὸν ὡς ἐν μόνοις τοῖς αἰσθητοῖς ἡ ἀλλοίωσις. [x]Ἔτι καὶ ἄλλως ἄτοπον. Τὸ γὰρ λέγειν τὸν ἄνθρωπον [x]ἠλλοιῶσθαι ἢ τὴν
οἰκίαν λαβοῦσαν τέλος γελοῖον, εἰ τὴν τελείωσιν τῆς [y]οἰκίας τὸν
[z]θριγκὸν ἢ τὴν κεραμίδα φήσομεν ἀλλοίωσιν εἶναι, θριγκουμένης
τῆς οἰκίας ἢ κεραμιδουμένης [a]ἀλλοιοῦσθαι τὴν οἰκίαν. Δῆλον δὴ
18 ὅτι τὸ τῆς ἀλλοιώσεως οὐκ ἔστιν ἐν τοῖς [b]γινομένοις. Οὐδὲ γὰρ ἐν
[c]ταῖς ἕξεσιν. Αἱ γὰρ ἕξεις ἀρεταὶ [d]καὶ κακίαι, ἀρετὴ δὲ [e]πᾶσα

[r] φαμεν θερμὸν E. [s] θερμὸν καὶ τὸ ὑγρὸν K.h. [t] ὁμωνύμως δὲ λέγοντες E. [v] ἡ om. E. [w] καὶ om. E.h. [x] ἀλλοιοῦσθαι Ha. [y] οἰκίας ἢ τὸν F.h. [z] θριγγὸν et θριγγουμένης F.T.g.h. [a] ἀλλοιῶσθαι F. [b] γιν.] ἀλλοιουμένοις h. [c] ἐν ταῖς om. E. [d] καὶ] ἢ h. [e] πᾶσα om. T.

ἀλλ' ἡ μὲν ἀρετὴ τελείωσίς [y] τις (ὅταν [z] γὰρ λάβῃ τὴν [a] ἑαυτοῦ ἀρετήν, τότε λέγεται [b] τέλειον ἕκαστον· τότε [c] γὰρ μάλιστά ἐστι τὸ κατὰ φύσιν, ὥσπερ κύκλος τέλειος, ὅταν μάλιστα γένηται [d] κύκλος βέλτιστος), ἡ δὲ κακία φθορὰ [e] τούτου καὶ ἔκστασις. Ὥσπερ οὖν οὐδὲ τὸ τῆς οἰκίας [f] τε- 6
λείωμα λέγομεν [g] ἀλλοίωσιν (ἄτοπον γὰρ εἰ ὁ θριγκὸς καὶ ὁ κέραμος ἀλλοίωσις, ἢ [h] εἰ [i] θριγκουμένη [k] καὶ κεραμουμένη ἀλλοιοῦνται ἀλλὰ μὴ τελειοῦνται [l] ἡ οἰκία), τὸν [m] αὐτὸν τρόπον καὶ ἐπὶ τῶν [n] ἀρετῶν καὶ τῶν κακιῶν [o] καὶ τῶν ἐχόντων ἢ λαμβανόντων· αἱ μὲν γὰρ τελειώσεις αἱ δὲ ἐκστάσεις εἰσίν, ὥστ' οὐκ ἀλλοιώσεις. [p] Ἔτι δὲ καί φαμεν [q] ἁπά- 7
σας [r] εἶναι τὰς ἀρετὰς ἐν τῷ πρός τι πῶς ἔχειν. Τὰς μὲν γὰρ τοῦ σώματος, οἷον ὑγίειαν καὶ εὐεξίαν, ἐν κράσει καὶ συμμετρίᾳ [s] θερμῶν καὶ ψυχρῶν τίθεμεν, ἢ [t] αὐτῶν πρὸς αὐτὰ τῶν ἐντὸς [v] ἢ πρὸς τὸ περιέχον· ὁμοίως δὲ καὶ τὸ κάλλος καὶ τὴν ἰσχὺν καὶ τὰς ἄλλας ἀρετὰς καὶ κακίας. Ἑκάστη

[y] τις] τις ἐστιν bc. [z] γὰρ om. c. [a] αὐτοῦ H.I.e. [b] ἕκαστον τέλειον I.e.h. [c] γὰρ] γὰρ καὶ I.e. [d] κύκλος καὶ ὅταν βέλτιστος H.I.e. [e] τούτου] τε d. [f] τελέωμα H.e.h. [g] ἀλλοιώσεις H.I. [h] εἰ] ἡ H.I.e.h. [i] θριγγουμένη H.c.h, qui et θριγγός. [k] καὶ] ἢ I, ἢ ἡ d.e.h. [l] ἡ om. H.I.e.h. [m] αὐτὸν δὲ τρόπον h. [n] ἀρετῶν καὶ ἐπὶ τῶν κακιῶν H.I.e.h, κακιῶν καὶ τῶν ἀρετῶν d. [o] καὶ ἐπὶ τῶν ἐχ. H.h. [p] ἔτι] ἀλλὰ γένεσις ἔτι d. [q] πάσας I.e.h. [r] εἶναι om. I.d.e.h. [s] ψυχρῶν ἢ θερμῶν H.I.e.h. [t] αὐτῶν I.b.d.e.h: ceteri αὐτὰ. [v] ἢ] καὶ H.

καὶ κακία τῶν πρός τι, καθάπερ ἡ μὲν ὑγίεια [f] θερμῶν καὶ ψυχρῶν συμμετρία τις ἢ τῶν ἐντὸς ἢ πρὸς τὸ περιέχον. Ὁμοίως δὲ καὶ τὸ κάλλος καὶ [g] ἡ ἰσχὺς τῶν πρός τι. Διαθέσεις γάρ [h] τινες [i] τοῦ βελτίστου πρὸς τὸ ἄριστον, λέγω δὲ τὸ βέλτιστον τὶ σῶζον καὶ [k] διατιθὲν περὶ τὴν φύσιν. Ἐπεὶ οὖν αἱ μὲν ἀρεταὶ καὶ [l] αἱ κακίαι τῶν 19
πρός τι, ταῦτα δὲ οὔτε [m] γενέσεις εἰσὶν οὔτε γένεσις αὐτῶν οὐδ' ὅλως [n] ἀλλοίωσις, φανερὸν [o] ὡς οὐκ ἔστιν ὅλως τὸ τῆς ἀλλοιώσεως [p] περὶ τὰς ἕξεις. [q] Οὐδὲ δὴ περὶ τὰς [r] τῆς ψυχῆς ἀρετὰς καὶ κακίας. 20
Ἡ μὲν γὰρ ἀρετὴ τελείωσίς [s] τις (ἕκαστον γὰρ [t] τότε [v] μάλιστα τέ-

[f] ψυχρῶν καὶ θερμῶν T.g. [g] ἡ om. E. [h] τινος T. [i] τὸ βέλτιστον E: ceteri τοῦ βελτίστου. [k] διατιθὲν καὶ περὶ h. [l] αἱ om. K. [m] γενέσεις et οὔτε om. E, εἰσὶν post γένεσις posito. Pro quo ἐστὶν T. [n] ἀλλοίωσις—ὅλως om. pr. E. [o] ὡς] οὖν ὡς h. [p] παρὰ T. [q] οὐδὲ δὴ] οὐ E, οὐ γὰρ δὴ K. [r] ἀρετὰς τῆς ψυχῆς Ha. [s] τι h. [t] τότε] τὸ K. [v] μάλιστα om. h, post ἐστιν ponit K.

γάρ ἐστι [w] τῷ πρός τι πῶς ἔχειν, καὶ περὶ τὰ οἰκεῖα πάθη εὖ ἢ κακῶς διατίθησι τὸ ἔχον· οἰκεῖα δ' ὑφ' ὧν γίγνεσθαι
8 καὶ φθείρεσθαι πέφυκεν. [1]Ἐπεὶ οὖν τὰ πρός τι οὔτε αὐτά [x] ἐστιν ἀλλοιώσεις, οὔτε [y] αὐτῶν ἐστὶν ἀλλοίωσις οὐδὲ γένεσις [z] οὐθ' ὅλως μεταβολὴ οὐδεμία, φανερὸν ὅτι οὔθ' αἱ ἕξεις οὔθ' αἱ τῶν ἕξεων ἀποβολαὶ καὶ λήψεις ἀλλοιώσεις εἰσίν, ἀλλὰ γίγνεσθαι μὲν ἴσως αὐτὰς καὶ φθείρεσθαι ἀλλοιουμένων τινῶν ἀνάγκη, καθάπερ καὶ τὸ εἶδος καὶ τὴν μορφήν, οἷον θερμῶν καὶ ψυχρῶν ἢ ξηρῶν καὶ ὑγρῶν, ἢ ἐν οἷς τυγ-
9 χάνουσιν οὖσαι πρώτοις. Περὶ ταῦτα γὰρ ἑκάστη λέγεται κακία καὶ ἀρετή, ὑφ' ὧν ἀλλοιοῦσθαι πέφυκε τὸ ἔχον· ἡ μὲν γὰρ ἀρετὴ ποιεῖ [a] ἢ ἀπαθὲς ἢ [b] ὡς δεῖ παθητικόν, ἡ δὲ κακία [c] παθητικὸν ἢ ἐναντίως ἀπαθές. [1]Ὁμοίως δὲ καὶ ἐπὶ τῶν τῆς ψυχῆς ἕξεων· ἅπασαι γὰρ καὶ αὗται [d] τῷ πρός τι πῶς ἔχειν, καὶ αἱ μὲν ἀρεταὶ [e] τελειώσεις, αἱ δὲ κακίαι ἐκστάσεις. [f] [1]Ἔτι ἡ μὲν ἀρετὴ εὖ [g] διατίθησι πρὸς τὰ οἰκεῖα πάθη, ἡ δὲ κακία κακῶς. [v]Ὥστ' οὐδ' αὗται ἔσονται ἀλλοιώ-
10 σεις· οὐδὲ δὴ [h] αἱ ἀποβολαὶ καὶ αἱ λήψεις αὐτῶν. Γίνεσθαι δ' αὐτὰς ἀναγκαῖον ἀλλοιουμένου τοῦ αἰσθητικοῦ μέρους. [i] [1]Ἀλλοιοῦται δ' ὑπὸ τῶν αἰσθητῶν· ἅπασα γὰρ [k] ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας τὰς σωματικάς, αὗται δὲ ἢ ἐν

w τὸ d.h. x εἰσὶν h. y ἐστιν αὐτῶν H. z οὔθ' ὅλως οὐδὲ μετ. b.c. a ἢ post ποιεῖ addiderunt H.I.e.h. b ὡς δεῖ] ὡδὶ H.I.e.h. c παθητικὸν μὲν ἐναντίως καὶ ἀπαθές b.c. d τὸ h. e τελειώσεις εἰσὶν αἱ H.I.e.h. f ἔτι δὲ ἡ b.c. g διατίθησι τὸ ἔχον πρὸς I.e.h. h αἱ] καὶ c, om. I. i ἀλλοιωθήσεται b.c. k ἡ om. H.

λειόν ἐστιν, [w] ὅταν τύχῃ τῆς οἰκείας ἀρετῆς, καὶ μάλιστα κατὰ φύσιν, καθάπερ ὁ κύκλος τότε [x] μάλιστα κατὰ φύσιν ἐστίν, ὅταν μάλιστα κύκλος ᾖ), ἡ δὲ [y] κακία φθορὰ τούτων καὶ ἔκστασις. Γίνεται μὲν οὖν ἀλλοιουμένου τινὸς καὶ ἡ λῆψις τῆς ἀρετῆς καὶ ἡ τῆς κακίας ἀποβολή, ἀλλοίωσις μέντοι τούτων οὐδέτερον. [1]Ὅτι δ' ἀλλοιοῦταί τι, δῆλον. [1]Ἡ μὲν γὰρ ἀρετὴ ἤτοι ἀπάθειά τις ἢ παθητικὸν ὡδί, ἡ δὲ κακία [z] παθητικὸν ἢ ἐναντία πάθησις τῇ ἀρετῇ.
21 Καὶ τὸ ὅλον τὴν [a] ἠθικὴν ἀρετὴν ἐν ἡδοναῖς καὶ λύπαις [b] εἶναι συμ-

w ὅταν om. E. x μάλιστα om. h. y κακία φθορὰ] παραφορὰ E. z παθητικὴ K. a ἠθικὴν] οἰκείαν g. b εἶναι om. h.

τῷ πράττειν ἢ ἐν τῷ μεμνῆσθαι ἢ ἐν τῷ ἐλπίζειν. Αἱ μὲν οὖν ἐν τῇ πράξει κατὰ τὴν αἴσθησίν εἰσιν, ὥσθ' ὑπ' αἰσθητοῦ τινὸς [l] κινεῖσθαι, αἱ δ' ἐν τῇ μνήμῃ καὶ [m] ἐν τῇ ἐλπίδι ἀπὸ [n] ταύτης· ἢ γὰρ οἷα ἔπαθον μεμνημένοι ἥδονται, ἢ ἐλπίζοντες οἷα [o] μέλλουσιν. [v]Ωστ' ἀνάγκη πᾶσαν τὴν τοιαύτην ἡδονὴν ὑπὸ τῶν αἰσθητῶν γίγνεσθαι. [t]Ἐπεὶ δ' ἡδονῆς καὶ 11
λύπης ἐγγιγνομένης καὶ ἡ κακία καὶ ἡ ἀρετὴ ἐγγίνεται (περὶ ταύτας γάρ εἰσιν), αἱ δ' ἡδοναὶ καὶ [p] αἱ λῦπαι ἀλλοιώσεις τοῦ [q] αἰσθητικοῦ, φανερὸν ὅτι ἀλλοιουμένου τινὸς ἀνάγκη [r] καὶ ταύτας ἀποβάλλειν καὶ λαμβάνειν. [s v]Ωσθ' ἡ μὲν γένεσις αὐτῶν μετ' ἀλλοιώσεως, [t] αὐταὶ δ' οὐκ εἰσὶν ἀλλοιώσεις. [t]Ἀλλὰ μὴν [v] οὐδ' [w] αἱ τοῦ [x] νοητικοῦ μέρους ἕξεις ἀλλοιώ- 12
σεις, οὐδ' ἔστιν αὐτῶν γένεσις. Πολὺ γὰρ [y] μάλιστα τὸ ἐπιστῆμον ἐν τῷ πρός τι πῶς ἔχειν λέγομεν. [u]Ἔτι δὲ καὶ φανερὸν ὅτι οὐκ ἔστιν αὐτῶν γένεσις. [z]Τὸ γὰρ κατὰ δύναμιν ἐπιστῆμον [a] οὐδὲν αὐτὸ κινηθὲν ἀλλὰ τῷ ἄλλο ὑπάρξει γίνεται ἐπιστῆμον. [v]Οταν γὰρ γένηται τὸ κατὰ μέρος, ἐπισταταί πως [b] τῇ καθόλου [c] τὸ ἐν μέρει. Πάλιν δὲ 13

[l] *κινεῖσθαι* om. H.I.e.h. [m] *ἐν* post *καὶ* om. b.c. [n] *ταύτης εἰσίν· ἢ* H.b.c. [o] *μένουσιν* H. [p] *αἱ* ante λ. om. H.I.e.h. [q] *αἰσθητικοῦ εἰσι* φ. d. [r] *καὶ* om. d. [s] *ὥσθ'*] *ἔτι* c. [t] *αὕτη δ' οὐκ ἔστιν ἀλλοίωσις* b. c. [v] *οὐδ'—μέρους*] *οὐδὲ τῷ νοητικῷ μέρει αἱ* I.e.i. [w] *αἱ* om. c, post *μέρους* ponit h. [x] *νοητοῦ* b.c. [y] *μάλιστα* om. I.e.h.i. [z] *τὸ γὰρ* b.c: ceteri *ὅτι τὸ*. [a] *οὐδὲν*] *οὐδὲ* I.e.i, *οὐκ* d. [b] *τῇ* b.c, *τῷ* d: ceteri *τὰ*. [c] *τὸ* c, *τὲ* b, *τὰ* d: ceteri *τῷ*.

*βέβηκεν· ἢ γὰρ κατ' ἐνέργειαν τὸ τῆς ἡδονῆς ἢ διὰ [c] μνήμην ἢ ἀπὸ τῆς ἐλπίδος. [d]Εἰ μὲν [e] οὖν κατ' ἐνέργειαν, αἴσθησις τὸ αἴτιον, [f] εἰ δὲ διὰ [g] μνήμην ἢ [h] δι' ἐλπίδα, [i] ἀπὸ ταύτης· ἢ γὰρ [k] οἷα ἐπάθομεν [l] μεμνημένοις [m] τὸ τῆς ἡδονῆς [n] ἢ οἷα πεισόμεθα ἐλπίζουσιν. 'Αλλὰ μὴν οὐδὲ τῷ διανοητικῷ μέρει τῆς ψυχῆς [o] ἡ ἀλλοίωσις. Τὸ 22
γὰρ ἐπιστῆμον μάλιστα τῶν πρός τι λέγεται. Τοῦτο [p] δὲ δῆλον· κατ' οὐδεμίαν γὰρ δύναμιν [q] κινηθεῖσιν ἐγγίνεται τὸ τῆς ἐπιστήμης, ἀλλ' ὑπάρξαντός τινος· ἐκ γὰρ τῆς κατὰ μέρος ἐμπειρίας τὴν καθό-*

[c] *μνήμην* E: ceteri *μνήμης*. [d] *εἰ*] *ἡ* E.*h*. [e] *οὖν*] *γὰρ* Ha. [f] *εἰ*] *ἡ h*. [g] *μνήμην h*: ceteri *μνήμης*. [h] *δι' ἐλπίδος* F.Ha, *τὴν ἐλπίδα* E. [i] *ἀπὸ*] *τὸ ἀπὸ h*. [k] *οἷα* om. *h*. [l] *μεμνημένοι h*. [m] *τὸ* addidit E. [n] *ἢ οἷα*] *ποῖα* E. [o] *ἡ* om. E. [p] *δὲ* om. E. [q] *κινηθεῖσιν ἡμῖν γίνεται h*.

τῆς χρήσεως καὶ τῆς ἐνεργείας οὐκ ἔστι γένεσις, εἰ μή τις καὶ τῆς [d] ἀναβλέψεως καὶ τῆς ἀφῆς [e] οἴεται γένεσιν [f] εἶναι, καὶ τὸ ἐνεργεῖν ὅμοιον τούτοις. [t]Ἡ δ' ἐξ ἀρχῆς λῆψις τῆς ἐπιστήμης γένεσις [g] οὐκ [h] ἔστιν· [i] τῷ γὰρ [k] ἠρεμῆσαι καὶ στῆναι τὴν διάνοιαν ἐπίστασθαι καὶ φρονεῖν [l] λέγομεν. Εἰς δὲ τὸ ἠρεμεῖν οὐκ ἔστι γένεσις· ὅλως γὰρ [m] οὐδεμιᾶς μετα-
14 βολῆς, καθάπερ εἴρηται πρότερον. [u]Ετι δ' ὥσπερ [n] ὅταν ἐκ τοῦ μεθύειν ἢ καθεύδειν ἢ νοσεῖν εἰς τἀναντία μεταστῇ τις, οὗ φαμεν ἐπιστήμονα γεγονέναι πάλιν (καίτοι [o] ἀδύνατος ἦν τῇ ἐπιστήμῃ χρῆσθαι πρότερον), οὕτως οὐδ' ὅταν ἐξ ἀρχῆς λαμβάνῃ τὴν ἕξιν· τῷ γὰρ καθίστασθαι τὴν ψυχὴν ἐκ τῆς [p] φυσικῆς [q] ταραχῆς φρόνιμόν τι [r] γίνεται καὶ [s] ἐπιστῆμον.
15 Διὸ καὶ τὰ παιδία οὔτε μανθάνειν [t] δύναται οὔτε κατὰ τὰς αἰσθήσεις ὁμοίως [v] κρίνειν τοῖς πρεσβυτέροις· πολλὴ γὰρ ἡ

[d] ἀναβλ. τε καὶ b. [e] οἴοιτο H.I.e.h. [f] εἶναι· τὸ γὰρ οἴεσθαι καὶ H.I.e.h. [g] οὐκ] μὲν οὐκ H.e.h, μὲν οὖν οὐκ I. [h] ἔστιν] ἔστιν οὐδ' ἀλλοίωσις b.c. [i] τὸ c.d. [k] ἠρεμίσαι I.e. [l] λεγόμεθα b.c. [m] οὐδεμία μεταβολὴ H.I.e.h. [n] ὅταν om. h. [o] ἀδύνατον ἦ c. [p] ἠθικῆς c. [q] ἀρετῆς b.c. [r] γένηται c. [s] ἐπιστητὸν e.h. [t] δύνανται H.b.c. [v] κρίνει I.e.

23 λου λαμβάνομεν ἐπιστήμην. Οὐδὲ δὴ [r] ἡ ἐνέργεια γένεσις, εἰ μή τις [s] καὶ τὴν ἀνάβλεψιν καὶ τὴν ἀφὴν γενέσεις [t] φησίν· τοιοῦτον γὰρ ἡ ἐνέργεια. Ἡ δὲ ἐξ ἀρχῆς λῆψις τῆς ἐπιστήμης οὐκ ἔστι γένεσις οὐδ' ἀλλοίωσις· [v] τῷ γὰρ ἠρεμίζεσθαι καὶ καθίστασθαι τὴν
24 ψυχὴν ἐπιστήμων γίνεται καὶ φρόνιμος. Καθάπερ [w] οὖν οὐδ' ὅταν καθεύδων ἐγερθῇ τις ἢ μεθύων παύσηται ἢ νοσῶν καταστῇ, γέγονεν ἐπιστήμων· [x] καίτοι πρότερον οὐκ [y] ἐδύνατο [z] χρῆσθαι καὶ κατα τὴν ἐπιστήμην ἐνεργεῖν, [a] ἀλλ' ἀπαλλαγείσης τῆς ταραχῆς καὶ [b] εἰς κατάστασιν ἐλθούσης τῆς διανοίας ὑπῆρξεν ἡ δύναμις ἡ πρὸς τὴν τῆς ἐπιστήμης χρείαν. [c] Τοιοῦτον δή τι γίνεται καὶ τὸ ἐξ ἀρχῆς ἐν τῇ τῆς ἐπιστήμης [d] ὑπαρχῇ· τῆς γὰρ ταραχῆς ἠρεμία τις [e] καὶ
25 κατάστασις. Οὐδὲ δὴ τὰ παιδία [f] δύναται μαθεῖν οὐδὲ [g] κρίνειν ταῖς αἰσθήσεσιν ὁμοίως τοῖς πρεσβυτέροις. Πολλὴ γὰρ ἡ ταραχὴ

[r] ἡ om. E. [s] καὶ post τις om. h. [t] φήσει K.Ha. [v] τὸ g.h. [w] οὖν om. T.h [x] καὶ τὸ πρ. E. [y] ἠδύνατο Ha.h. [z] χρησθῆναι E. [a] ἀλλ'] εἶτα E. [b] εἰς ἐρημίαν καὶ κατάστασιν E. an ἠρεμίαν? [c] τοιοῦτο E. [d] ἀπαρχῇ h. [e] καὶ] ἡ T. [f] δύνανται h, δύναταί τι F. [g] κρίνειν Ha, κοινωνεῖν E.

ταραχὴ καὶ ἡ κίνησις. Καθίσταται [w] δὲ καὶ [x] ἠρεμίζεται [y] πρὸς ἔνια μὲν ὑπὸ τῆς φύσεως αὐτῆς, πρὸς ἔνια δ' ὑπ' ἄλλων, ἐν ἀμφοτέροις δὲ ἀλλοιουμένων τινῶν τῶν ἐν [z] τῷ σώματι, καθάπερ ἐπὶ τῆς [a] ἐγέρσεως καὶ [b] τῆς ἐνεργείας, ὅταν νήφων γένηται καὶ ἐγερθῇ. Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι τὸ ἀλλοιοῦσθαι καὶ ἡ ἀλλοίωσις ἔν τε τοῖς αἰσθητοῖς γίνεται [c] καὶ ἐν τῷ αἰσθητικῷ [d] μέρει τῆς ψυχῆς, ἐν ἄλλῳ δ' οὐδενὶ πλὴν κατὰ [e] συμβεβηκός.

4 [1]Απορήσειε δ' ἄν τις πότερόν ἐστι κίνησις πᾶσα πάσῃ συμβλητὴ ἢ οὔ. Εἰ δή ἐστι πᾶσα συμβλητὴ καὶ [f] ὁμοταχὲς τὸ [g] ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενον, ἔσται περιφερής τις [h] ἴση εὐθεία, καὶ μείζων δὴ καὶ ἐλάττων. [11]Ετι ἀλλοίωσις καὶ [i] φορά τις [k] ἴση, ὅταν ἐν ἴσῳ χρόνῳ τὸ μὲν [l] ἀλλοιωθῇ τὸ δ' ἐνεχθῇ. [11]Εσται ἄρα [m] ἴσον πάθος μήκει. [1]Αλλ' ἀδύνατον. [1]Αλλ' [n] ἄρα ὅταν [o] ἐν ἴσῳ ἴσον κινηθῇ, τότε ἰσοταχές· ἴσον δ' οὐκ [p] ἔστι [q] πάθος μήκει. [v]Ωστ' οὐκ ἔστιν ἀλλοίωσις φορᾷ ἴση οὐδ' ἐλάττων. [v]Ωστ' οὐ πᾶσα συμβλητή. [1]Επὶ 2 δὲ τοῦ κύκλου καὶ [r] τῆς εὐθείας πῶς συμβήσεται; [11]Ατοπόν [s] τε γάρ, εἰ μὴ ἔστι κύκλῳ ὁμοίως [t] τουτὶ κινεῖσθαι καὶ τοῦτο

[w] δὲ] γὰρ I.e.h. [x] ἠρεμίζει b.c. [y] πρὸς—αὐτῆς om. b.c. [z] τῷ om. c.d. [a] χρήσεως H.I.b.c.e., χρίσεως h. [b] τῆς om. I.d.e.h. [c] καὶ ἢ ἐν b.c. [d] μορίῳ b.c. [e] post συμβεβηκός h. πυκνουμένου γὰρ ἢ μαινομένου ἢ θερμαινομένου τῆς ὕλης. ἀλλ. (sec. 15.)—πλὴν κατὰ συμβεβηκός (hujusce cap. fin.) ea varietate cui appositum *h.* margo γράφεται τοῦτο καὶ ἄλλως ἕως τοῦ ἀπορήσειε δ' ἄν τις. [f] ὁμοιοταχὲς E.I. [g] ἐν τῷ ἴσῳ F. [h] ἴση καὶ εὐθεία K. [i] φθορά E. [k] ἴση] καὶ H. [l] ἀλλοιωθῇ τι τὸ F.K. [m] ἴσον τὸ πάθος F. [n] ἄρα om. corr. F. [o] ἴσον ἐν ἴσῳ I. [p] ἔσται I. [q] πάθος πᾶν μήκει F. et corr. K. [r] τῆς om. F. [s] τε om. H. [t] τουτὶ F.

περὶ [h] αὐτὰ καὶ ἡ κίνησις. Καθίσταται δὲ καὶ παύεται τῆς ταραχῆς τοτὲ μὲν ὑπὸ τῆς φύσεως τοτὲ δ' ὑπ' [i] ἄλλων. Ἐν ἀμφοτέροις δὲ τούτοις ἀλλοιοῦσθαί τι συμβαίνει, καθάπερ ὅταν ἐγερθῇ καὶ γένηται νήφων πρὸς τὴν ἐνέργειαν. Φανερὸν οὖν ὅτι τὸ τῆς ἀλλοιώσεως ἐν τοῖς αἰσθητοῖς καὶ [k] ἐν τῷ αἰσθητικῷ μέρει τῆς ψυχῆς, ἐν ἄλλῳ δ' οὐθενὶ πλὴν κατὰ συμβεβηκός.

[h] ταῦτα E. [i] ἀλλήλων E.g. [k] ἐν ante τῷ om. F.*h.*

ἐπὶ τῆς εὐθείας, ἀλλ' εὐθὺς ἀνάγκη ἢ θᾶττον ἢ βραδύτερον, ὥσπερ [v] εἰ κάταντες, τὸ δ' ἄναντες. [w] Ἔτι [x] οὐδὲν διαφέρει οὐδ' ἐν τῷ λόγῳ, εἴ τις [y] φήσειεν [z] ἀνάγκην εἶναι θᾶττον εὐθὺς [a] ἢ βραδύτερον κινεῖσθαι· ἔσται γὰρ μείζων καὶ ἐλάττων ἡ περιφερὴς τῆς εὐθείας, ὥστε καὶ ἴση. Εἰ γὰρ ἐν τῷ Α χρόνῳ [b] τὸ μὲν τὴν Β [c] διῆλθε τὸ δὲ [d] τὴν Γ, μείζων ἂν εἴη ἡ Β τῆς Γ· οὕτω γὰρ τὸ θᾶττον ἐλέγετο. Οὐκοῦν καὶ εἰ ἐν ἐλάττονι ἴσον, θᾶττον· ὥστ' [e] ἔσται τι μέρος τοῦ Α ἐν ᾧ [f] τὸ Β τοῦ κύκλου [g] τὸ ἴσον δίεισι, καὶ τὸ Γ ἐν ὅλῳ τῷ Α τὴν Γ. Ἀλλὰ μὴν εἰ ἔστι [h] συμβλητά, [i] συμβαίνει τὸ ἄρτι ῥηθέν, ἴσην [k] εὐθεῖαν εἶναι κύκλῳ. Ἀλλ' οὐ [l] συμβλητά· οὐδ' ἄρα αἱ κινήσεις. Ἀλλ' ὅσα μὴ [m] ὁμώνυμα, [n] πάντα [o] συμβλητά. Οἷον διὰ τί οὐ [p] συμβλητόν, πότερον ὀξύτερον τὸ γραφεῖον ἢ ὁ οἶνος ἢ ἡ νήτη; [q] [v] Ὅτι [r] ὁμώνυμα, οὐ [s] συμβλητά· ἀλλ' ἡ [t] νήτη [v] τῇ παρανήτῃ συμβλητόν, ὅτι [w] ταὐτὸ [x] σημαίνει τὸ ὀξὺ ἐπ' ἀμφοῖν. Ἆρ' οὖν οὐ ταὐτὸν τὸ ταχὺ ἐνταῦθα κἀκεῖ; πολὺ δ' ἔτι ἧττον ἐν ἀλλοιώσει καὶ φορᾷ. [t] Ἢ πρῶτον μὲν τοῦτο οὐκ ἀληθές, ὡς εἰ μὴ ὁμώνυμα συμβλητά. Τὸ γὰρ πολὺ ταὐτὸ σημαίνει ἐν ὕδατι [y] καὶ ἀέρι, καὶ οὐ συμβλητά. Εἰ δὲ μή, τό γε διπλάσιον ταὐτό (δύο γὰρ πρὸς ἕν), καὶ οὐ συμβλητά. [t] Ἢ καὶ ἐπὶ τούτων ὁ αὐτὸς λόγος· καὶ γὰρ [z] τὸ πολὺ ὁμώνυμον. Ἀλλ' ἐνίων καὶ οἱ λόγοι ὁμώνυμοι, οἷον εἰ λέγοι τις ὅτι τὸ πολὺ [a] τὸ τοσοῦτον καὶ [b] ἔτι [c] ἄλλο [d] τὸ τοσοῦτον, καὶ τὸ ἴσον ὁμώνυμον, καὶ τὸ ἓν δέ, εἰ ἔτυχεν, εὐθὺς ὁμώνυμον. Εἰ δὲ τοῦτο,

[v] εἰ] ἂν εἰ F. [w] ἔτι om. E.K. [x] οὐδ' ἐν om. F. [y] φήσει K, φησὶν E. [z] ἀνάγκη E.K. [a] ἢ om. E. [b] τὸ μὲν om. E. et pr. K. [c] διελήλυθε H.I. διῆλθε—ἡ B om. E. [d] τὴν—ἡ B om. pr. K. [e] ἔσται om. K. [f] τὸ ante B om. E.K. [g] τὸ ἴσον δίεισι τὸ ἴσον pr. F: om. τὸ ἴσον E.H.I.K. [h] ξυμβλητὰ F.K. [i] συμβαίνει —συμβλητά om. pr. F. [k] εἶναι εὐθεῖαν H. [l] ξυμβλητὰ K. [m] συνώνυμα E.H. [n] ἅπαντα H. [o] ἀσύμβλητα H.I. [p] συμβλητὸν τὸ πότερον E. [q] ὅτι] ὅτι γὰρ F.H.I. [r] ὁμώνυμον E.I.K. [s] συμβλητὸν K, ξυμβλητὰ F.H.I. [t] νήττη F. [v] τῇ om. E. [w] τὸ αὐτὸ E.F.I.K. [x] συμβαίνει E.F.K. [y] καὶ ἐν ἀέρι H. [z] τὸ] καὶ τὸ F. [a] τὸ post πολὺ om. E.K. [b] ἔτι] εἰ τι E. [c] ἀλλὰ H.I. [d] τὸ om. E. τὸ τοσοῦτον om. F.

[e] καὶ τὰ δύο, ἐπεὶ διὰ τί τὰ μὲν συμβλητὰ τὰ δ' οὔ, εἴπερ
[f] ἦν μία φύσις; ἢ ὅτι ἐν [g] ἄλλῳ πρώτῳ δεκτικῷ. [h]Ο μὲν 7
οὖν ἵππος καὶ ὁ κύων συμβλητά, πότερον λευκότερον· ἐν ᾧ
γὰρ πρώτῳ, [h] τὸ αὐτό, ἡ ἐπιφάνεια· [i] καὶ [j] κατὰ μέγεθος
ὡσαύτως. [k]Ὕδωρ δὲ [k] καὶ φωνὴ οὔ· ἐν ἄλλῳ γάρ. [l]Η δῆλον
ὅτι ἔσται [l] οὕτω γε πάντα [m] ἓν ποιεῖν, [n] ἐν ἄλλῳ δὲ ἕκαστον
φάσκειν εἶναι, καὶ ἔσται ταὐτὸν ἴσον καὶ γλυκὺ καὶ λευκόν,
ἀλλ' [o] ἄλλο ἐν [p] ἄλλῳ. [q]Ἔτι δεκτικὸν οὐ τὸ τυχόν ἐστιν, 8
ἀλλ' [q] ἓν ἑνὸς τὸ πρῶτον. [r]Ἀλλ' ἆρα οὐ μόνον [r] δεῖ τὰ
συμβλητὰ μὴ ὁμώνυμα εἶναι ἀλλὰ καὶ μὴ ἔχειν διαφοράν,
μήτε ὃ [s] μήτ' ἐν ᾧ; Λέγω δὲ οἷον χρῶμα [t] ἔχει διαίρεσιν.
Τοιγαροῦν [v] οὐ συμβλητὸν κατὰ τοῦτο, οἷον πότερον [w] κε-
χρωμάτισται μᾶλλον, μὴ κατά τι χρῶμα, ἀλλ' ᾗ χρῶμα,
[x] ἀλλὰ κατὰ τὸ λευκόν. Οὕτω [y] καὶ περὶ κίνησιν ὁμοταχὲς 9
τὸ ἐν ἴσῳ χρόνῳ [z] κινηθὲν ἴσον [a] τοσονδί· [b] εἰ δὴ τοῦ μήκους
ἐν [c] τῳδὶ τὸ μὲν ἠλλοιώθη τὸ δ' ἠνέχθη, ἴση [d] ἄρα [e] αὕτη ἡ
ἀλλοίωσις καὶ ὁμοταχὴς τῇ φορᾷ; [f]Ἀλλ' ἄτοπον. Αἴτιον
δ' ὅτι ἡ κίνησις ἔχει εἴδη, ὥστ' εἰ τὰ [f] ἐν ἴσῳ χρόνῳ [g] ἐνε-
χθέντα ἴσον μῆκος ἰσοταχῇ ἔσται, ἴση ἡ εὐθεῖα καὶ [h] ἡ περι-
φερής. Πότερον οὖν αἴτιον, [i] ὅτι ἡ φορὰ γένος ἢ ὅτι [k] ἡ 10
γραμμὴ γένος; [l]Ὁ μὲν γὰρ [l] χρόνος ἀεὶ [m] ἄτομος τῷ εἴδει.
[n]Η ἅμα [n] κἀκεῖνα εἴδει διαφέρει; Καὶ γὰρ ἡ φορὰ [o] εἴδη ἔχει,
ἂν ἐκεῖνο ἔχῃ εἴδη ἐφ' οὗ κινεῖται. [q]Ἔτι δ' [r] ἐὰν ᾧ, οἷον
[s] εἰ πόδες, βάδισις, [t] εἰ πτέρυγες, πτῆσις. [u]Η οὔ, ἀλλὰ τοῖς

[e] καὶ] κα E. [f] ἦν om. I. [g] ἄλλῳ τρόπῳ πρώτῳ E. [h] τῷ αὐτῷ I. [i] καὶ om. E.K. [j] κατὰ τὸ μέγεθος F.H.I. [k] καὶ ἡ φωνὴ F. [l] γε οὕτω F. [m] ποιεῖν ἓν K. [n] ἐν om. K. [o] ἄλλο om. F.H. I.K. [p] ἄλλῳ] ἄλλῳ καὶ ἄλλῳ I. [q] ἓν om. E.K. [r] δεῖ] δὴ H. [s] μήτε τὸ ἐν F. [t] ἔχει διαφορὰν ἢ διαίρεσιν H. [v] οὐ om. E. [w] κέχρωσται H. [x] ἀλλὰ] ἀλλ' ἢ E, ἀλλ' ἢ H. [y] καὶ om. H. [z] κινεῖσθαι E.I.K. [a] τοσόνδε F.H. [b] εἰ δὴ] ἐπεὶ H, om. F. [c] τωδὶ εἰ δὲ τὸ F. [d] ἄρα om. pr. F. [e] αὐτὴ K. [f] ἐν τῷ ἴσῳ F. [g] κινηθέντα μῆκος ἴσον H. [h] ἡ post καὶ om. F. [i] ὅτι ἔστιν ἡ E.I.K. [k] ἡ om. E.K. [l] χρόνος ὁ αὐτὸς ἀεὶ F. [m] ἄτομος ἓν δὲ τῷ K. [n] ἐκεῖνα F, om. K. [o] εἴδη ἔχῃ H. [q] ἔτι] ὅτε E.F.K. [r] ἐὰν δι' οὗ corr. I, ἂν δι' οὗ K, ἐν ᾧ F. [s] εἰ] οἱ I. [t] εἰ δὲ πτ. E.I.K.

σχήμασιν ἡ φορὰ ἄλλη, ὥστε τὰ ἐν ἴσῳ [v] χρόνῳ [w] ταὐτὸ μέγεθος κινούμενα ἰσοταχῆ· τὸ αὐτὸ [x] δὲ [y] ἀδιάφορον εἴδει καὶ κινήσει [z] ἀδιάφορον· ὥστε τοῦτο σκεπτέον, τίς διαφορὰ
11 κινήσεως. Καὶ σημαίνει [a] ὁ λόγος οὗτος ὅτι τὸ γένος οὐχ ἕν τι, ἀλλὰ παρὰ τοῦτο λανθάνει πολλά, εἰσί [b] τε τῶν ὁμωνυμιῶν αἱ μὲν πολὺ ἀπέχουσαι, [c] αἱ δὲ ἔχουσαί [d] τινα ὁμοιότητα, αἱ δ' ἐγγὺς ἢ γένει ἢ ἀναλογίᾳ, διὸ [e] οὐ δοκοῦσιν ὁμωνυμίαι εἶναι οὖσαι. [f] Πότε οὖν ἕτερον τὸ εἶδος, ἐὰν [g] ταὐτὸ ἐν ἄλλῳ, ἢ [h] ἂν ἄλλο ἐν ἄλλῳ; καὶ τίς ὅρος; ἢ τῷ κρινοῦμεν ὅτι [i] ταὐτὸν τὸ λευκὸν καὶ τὸ γλυκὺ ἢ ἄλλο; ὅτι [k] ἐν
12 ἄλλῳ φαίνεται ἕτερον; ἢ ὅτι ὅλως οὐ [l] ταὐτό; Περὶ δὲ [m] δὴ ἀλλοιώσεως, πῶς [n] ἔσται ἰσοταχὴς ἑτέρᾳ ἑτέρα; Εἰ δή ἐστι τὸ ὑγιάζεσθαι ἀλλοιοῦσθαι, [o] ἔστι τὸν μὲν ταχὺ τὸν δὲ βραδέως ἰαθῆναι, [p] καὶ ἅμα τινάς, ὥστ' [q] ἔστιν ἀλλοίωσις ἰσοταχής· ἐν ἴσῳ γὰρ χρόνῳ ἠλλοιώθη. [r] Ἀλλὰ τί ἠλλοιώθη; Τὸ γὰρ ἴσον [r] οὐκ [s] ἔσται ἐνταῦθα λεγόμενον, ἀλλ' ὡς ἐν τῷ [t] ποσῷ ἰσότης, ἐνταῦθα ὁμοιότης. [r] Ἀλλ' [v] ἔστω ἰσοταχὲς τὸ ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ μεταβάλλον. Πότερον [w] οὖν ἐν
13 ᾧ τὸ πάθος ἢ τὸ πάθος δεῖ συμβάλλειν; [r] Ἐνταῦθα μὲν δὴ [x] ὅτι ὑγίεια ἡ αὐτή, ἔστι λαβεῖν [y] ὅτι οὔτε μᾶλλον οὔτε ἧττον ἀλλ' ὁμοίως ὑπάρχει. [r] Ἐὰν δὲ τὸ πάθος ἄλλο [z] ᾖ, οἷον ἀλλοιοῦται τὸ λευκαινόμενον [a] καὶ τὸ ὑγιαζόμενον, τούτοις οὐδὲν τὸ αὐτὸ οὐδ' ἴσον οὐδ' ὅμοιον, ἢ [b] ἤδη ταῦτα εἴδη ποιεῖ ἀλλοιώσεως, καὶ οὐκ ἔστι μία [c] ὥσπερ [d] οὐδ' αἱ φοραί. [v] Ὥστε ληπτέον [e] πόσα εἴδη ἀλλοιώσεως καὶ πόσα φορᾶς.

[v] χρόνῳ om. E.H.K. [w] τὸ αὐτὸ F.H. [x] δὲ] δὲ καὶ E.K. [y] διάφορον F.K. [z] ἀδιάφορον εἴδει ὥστε F. [a] ὁ] γε ὁ F. [b] δὲ F. [c] αἱ δὲ ἔχουσαι om. E. [d] ὁμοιότητά τινα H. [e] οὐδὲ I. [f] πότερον K. [g] ταυτὸν H, ταῦτα K. [h] ἂν om. I.K. [i] ταυτὸν καὶ γλυκὺ καὶ λευκὸν H. [k] ἐν ἄλλῳ om. H. [l] ταυτὸν H.I. [m] δὴ om. K. [n] ἐστὶν F.K. [o] ἔστι δὲ τὸν F.H.I. [p] καὶ] ἔστι δὲ καὶ I. [q] ἔσται H. [r] οὐκέτι H. [s] ἔσται F.H.K. [t] ποσῷ ἡ ἰσότης H. [v] ἔστω τὸ τὸ αὐτὸ μεταβάλλον τὸ ἐν ἴσῳ χρόνῳ ἰσοταχές H, et omisso τὸ altero et tertio F, omissis τὸ αὐτὸ et τὸ tertio K. [w] οὖν om. H. [x] ὅτι] ἡ F. [y] ὅτι] ἢ ὅτι F. [z] ᾖ οἷον] ποῖον E. [a] καὶ] ἢ F. [b] εἴδη pr. I, om. corr. F. [c] ὥσπερ om. K. [d] οὐδὲ φορά F. [e] πόσα om. K.

Εἰ μὲν οὖν τὰ κινούμενα εἴδει διαφέρει, ὧν εἰσὶν αἱ κινήσεις 14
καθ' [f]αὐτὰ καὶ μὴ κατὰ συμβεβηκός, καὶ αἱ κινήσεις εἴδει
διοίσουσιν· εἰ δὲ γένει, γένει, εἰ δ' ἀριθμῷ, ἀριθμῷ. [g]Ἀλλὰ
δὴ πότερον εἰς τὸ πάθος δεῖ βλέψαι, ἐὰν [h]ᾖ ταὐτὸν ἢ
ὅμοιον, [i]εἰ ἰσοταχεῖς αἱ [k]ἀλλοιώσεις, [l]ἢ εἰς τὸ ἀλλοιούμε-
νον, οἷον εἰ τοῦ μὲν [m]τοσονδὶ λελεύκανται τοῦ δὲ [m]τοσονδί;
ἢ εἰς ἄμφω, καὶ ἡ αὐτὴ μὲν ἢ ἄλλη [n]τῷ πάθει, [o]εἰ τὸ
αὐτό, ἴση δ' ἢ ἄνισος, εἰ ἐκεῖνο ἄνισον. Καὶ ἐπὶ γενέσεως 15
[p]δὲ καὶ φθορᾶς τὸ αὐτὸ σκεπτέον. Πῶς ἰσοταχὴς ἡ γένε-
σις; Εἰ ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ καὶ ἄτομον, [q]οἷον ἄνθρωπος
ἀλλὰ μὴ ζῷον· [r]θάττων [s]δ', εἰ ἐν ἴσῳ ἕτερον· οὐ γὰρ ἔχο-
μέν [t]τινα δύο, [v]ἐν οἷς ἡ ἑτερότης ὡς [w]ἡ ἀνομοιότης. [x]Καὶ
εἰ ἔστιν ἀριθμὸς ἡ οὐσία, πλείων καὶ ἐλάττων ἀριθμὸς
[y]ὁμοειδής, ἀλλ' ἀνώνυμον τὸ κοινόν, καὶ τὸ ἑκάτερον [[z]ποιόν·
τὸ μὲν ποιόν,] ὥσπερ τὸ πλεῖον πάθος ἢ τὸ ὑπερέχον μᾶλ-
λον, τὸ δὲ ποσὸν μεῖζον.

[1]Ἐπεὶ δὲ τὸ κινοῦν [a]κινεῖ τι ἀεὶ καὶ ἕν τινι καὶ μέχρι του· 5
λέγω δὲ τὸ μὲν ἕν τινι, ὅτι ἐν χρόνῳ, τὸ δὲ μέχρι του, ὅτι
ποσόν τι μῆκος· [b]ἀεὶ γὰρ ἅμα κινεῖ [c]καὶ [d]κεκίνηκεν, ὥστε
ποσόν τι ἔσται ὃ ἐκινήθη, καὶ ἐν ποσῷ. Εἰ δὴ τὸ μὲν Α 2
τὸ κινοῦν, τὸ δὲ Β τὸ κινούμενον, ὅσον δὲ κεκίνηται μῆκος τὸ
Γ, ἐν ὅσῳ [e]δὲ ὁ χρόνος ἐφ' οὗ Δ, ἐν δὴ τῷ ἴσῳ χρόνῳ ἡ
[f]ἴση δύναμις [g]ἡ ἐφ' [h]οὗ [i]Α [k]τὸ ἥμισυ τοῦ Β [l]διπλασίαν
[m]τῆς Γ [n]κινήσει, τὴν δὲ τὸ Γ ἐν τῷ ἡμίσει τοῦ Δ· οὕτω
γὰρ ἀνάλογον ἔσται. Καὶ εἰ ἡ αὐτὴ δύναμις τὸ αὐτὸ ἐν

[f] *αὐτὸ* F. [g] *ᾖ* om. E. [h] *εἰ*] *ᾗ* F, *ἢ* E.K, om. I. [i] *ἀλλοιώ-*
σεις ἢ εἰς τὸ om. pr. E. [k] *ἢ εἰς τὸ ἀλλοιούμενον* om. pr. K. [l] *τοι-*
ονδὶ E.H.K. [m] *τὸ πάθος* K. [n] *εἰ*] *εἴη* E, *εἰ εἴη* K. [o] *αὐτὸ αὐτὸ*
ἴση E. [p] *δὲ* om. E.K. [q] *οἷον*] *οἷον εἰ* I. [r] *θᾶττον* E.K. [s] *δὴ εἰ*
ἐν ἀνίσῳ· οὐ E.K. [t] *τι* E.F.H.K. [v] *ἐν οἷς* om. E.H.I.K. [w] *ἡ*]
εἰ F. [x] *καὶ*] *ἢ* H.I.K, om. E. [y] *ὁμοιοειδὴς* F.K. [z] *ποῖον τὸ μὲν*
ποῖον om. E.F.H.I.K. [a] *κινεῖται ἀεὶ* E, *κινεῖ τε ἀεί τι* F. [b] *ἀεὶ*]
εἰ E.K. [c] *καὶ* om. K. [d] *κεκίνηται* H. [e] *δὲ χρόνῳ ἐφ' ᾧ* K. [f] *ἴση*
om. H.I. [g] *ἡ* om. E.K. [h] *ὧ* F. H. [i] A] *τὸ α* F.H.I.K. [k] *τὸ*]
τὸ μὲν I. [l] *διπλασιάσαν* E. [m] *τῆς*] *τῆς τοῦ* I. [n] *κινήσει τὴν ζ*
τὴν H.I.

[o] τῳδὶ τῷ χρόνῳ τοσήνδε κινεῖ, καὶ τὴν ἡμίσειαν ἐν τῷ [p] ἡμίσει καὶ ἡ ἡμίσεια ἰσχὺς τὸ ἥμισυ κινήσει ἐν τῷ ἴσῳ χρόνῳ
3 τὸ ἴσον. Οἷον τῆς Α δυνάμεως [q] ἔστω ἡμίσεια ἡ τὸ Ε καὶ τοῦ Β τὸ Ζ ἥμισυ· ὁμοίως δὴ ἔχουσι καὶ [r] ἀνάλογον [s] ἡ ἰσχὺς πρὸς τὸ βάρος, ὥστε ἴσον ἐν ἴσῳ χρόνῳ κινήσουσιν. Καὶ εἰ τὸ Ε τὸ Ζ κινεῖ ἐν τῷ Δ τὴν Γ, [t] οὐκ [v] ἀνάγκη ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἐφ' οὗ [w] Ε τὸ διπλάσιον τοῦ Ζ κινεῖν τὴν
4 ἡμίσειαν τῆς Γ. Εἰ [x] δὴ [y] τὸ [z] Α τὴν [a] τὸ Β [b] κινήσει ἐν τῷ Δ [c] ὅσην [d] ἡ τὸ Γ, τὸ ἥμισυ τοῦ Α τὸ ἐφ' ᾧ [e] Ε τὴν [f] τὸ Β οὐ κινήσει ἐν τῷ χρόνῳ ἐφ' [g] ᾧ Δ, οὐδ' ἕν τινι τοῦ Δ [h] τῆς Γ, [i] ἢ ἀνάλογον πρὸς τὴν ὅλην [k] τὴν Γ, ὡς τὸ Α πρὸς τὸ [l] Ε· ὅλως γὰρ εἰ ἔτυχεν οὐ κινήσει οὐδέν· [m] οὐ γὰρ εἰ
[n] ἡ ὅλη ἰσχὺς τοσήνδε [o] ἐκίνησεν, ἡ ἡμίσεια [p] οὐ κινήσει οὔτε
[q] ποσὴν οὔτ' ἐν ὁποσῳοῦν· [r] εἰς γὰρ ἂν κινοίη τὸ πλοῖον, εἴπερ ἥ [s] τε τῶν [t] νεωλκῶν τέμνεται ἰσχὺς εἰς τὸν ἀριθμὸν
5 καὶ τὸ μῆκος, ὃ πάντες ἐκίνησαν. Διὰ τοῦτο ὁ [v] Ζήνωνος λόγος οὐκ [w] ἀληθής, ὡς ψοφεῖ [x] τῆς κέγχρου ὁτιοῦν μέρος· οὐδὲν γὰρ κωλύει μὴ κινεῖν τὸν ἀέρα ἐν μηδενὶ χρόνῳ [y] τοῦτον ὃν ἐκίνησεν [z] ἐμπεσὼν [a] ὁ ὅλος μέδιμνος. Οὐδὲ [b] δὴ τοσοῦτον μόριον, ὅσον ἂν κινήσειε τοῦ ὅλου, εἰ εἴη καθ' αὑτὸ τοῦτο, [c] οὐ κινεῖ. Οὐδὲ γὰρ οὐδέν ἐστιν ἀλλ' ἢ [d] δυνάμει ἐν
6 τῷ ὅλῳ. Εἰ δὲ τὰ [e] δύο, ἑκατέρον [f] δὲ [g] τῶνδε ἑκάτερον

[o] τῳδὶ τῷ] τῶ διττῶ E. [p] ἡμίσει χρόνῳ κινήσει καὶ I. [q] ἔστω ἡ ἡμίσεια ἡ τὸ H, ἔστω ἡμίσεια ἡ τοῦ E, ἔστω ἥμισυ τὸ K. [r] ἀναλόγως H. [s] ἡ om. E.K. [t] οὐκ om. E.K. [v] ἀναγκαῖον E.F.K. [w] E] τὸ ε pr. F. [x] δὲ E.K. [y] τὸ Α] τὴν τὸ α pr. F. [z] α κινεῖ τὴν K. [a] τὸ om. E.I.K. [b] κινεῖ H, om. K. [c] ὅση E.H.K. [d] ἡ om. I. [e] E] τὸ ε H.I. [f] τὸ I. [g] ᾧ] τὸ δ E.I.K. [h] τῆς] τις τῆς K. [i] ἢ om. F, ἢ—Γ. om. E.K. [k] τὴν post ὅλην om. F. [l] E] ς E, simile quid K. [m] οὐ γὰρ εἰ] εἰ γὰρ F.K. [n] ἡ] εἴη K, om. E. [o] κίνησιν ἢ ἡ K. [p] οὐ om. H.I.K. [q] ποσὸν H.I. [r] εἰς] εἰ E. [s] τε om. K. [t] νεωολκῶν E.K. [v] ζήνων ὡς λόγος I. [w] ἀληθὲς K. [x] τοῦ E.I. [y] τοῦτον om. F. [z] πεσὼν H. [a] ὁ om. H, post ὅλος ponit K. [b] δὴ] δὴ τὸ H.I. [c] οὐ κινεῖ· οὐδὲ γὰρ om. E.K. [d] δυνάμει om. H. [e] δύο] δύο καὶ F. [f] δὲ om. E.F.H.K. et pr. I. [g] τῶνδε] τῶνδε καὶ K, τῶνδε καὶ εἰς E.

[h] κινεῖ τοσόνδε ἐν τοσῷδε, καὶ συντιθέμεναι αἱ δυνάμεις τὸ σύνθετον ἐκ τῶν βαρῶν τὸ ἴσον κινήσουσι μῆκος καὶ ἐν ἴσῳ χρόνῳ· ἀνάλογον γάρ. [f]Ἆρ' οὖν οὕτω καὶ [i]ἐπ' ἀλλοιώσεως καὶ ἐπ' αὐξήσεως; Τὶ μὲν γὰρ τὸ αὔξον, τὶ δὲ τὸ [k]αὐξανόμενον, ἐν ποσῷ [l]δὲ χρόνῳ καὶ ποσὸν τὸ μὲν αὔξει τὸ δὲ αὐξάνεται. Καὶ τὸ ἀλλοιοῦν καὶ τὸ ἀλλοιούμενον ὡσαύτως 7 τὶ καὶ ποσὸν κατὰ τὸ μᾶλλον καὶ ἧττον [m]ἠλλοίωται, καὶ ἐν ποσῷ χρόνῳ, ἐν [n]διπλασίῳ [o]διπλάσιον, [p]καὶ τὸ διπλάσιον ἐν διπλασίῳ· τὸ δ' ἥμισυ ἐν ἡμίσει [q]χρόνῳ, ἢ ἐν ἡμίσει ἥμισυ ἢ ἐν ἴσῳ διπλάσιον. Εἰ δὲ τὸ ἀλλοιοῦν ἢ αὔξον τὸ τοσόνδε ἐν τῷ [r]τοσῷδε [s]ἢ αὔξει ἢ ἀλλοιοῖ, οὐκ [t]ἀνάγκη καὶ τὸ ἥμισυ ἐν ἡμίσει [v]καὶ ἐν ἡμίσει [w]τὸ ἥμισυ, ἀλλ' [x]οὐδέν, εἰ ἔτυχεν, ἀλλοιώσει ἢ αὐξήσει, ὥσπερ καὶ ἐπὶ τοῦ βάρους.

[y]Θ.

Πότερον [z]δὲ γέγονέ [a]ποτε κίνησις οὐκ οὖσα πρότερον, καὶ φθείρεται πάλιν οὕτως [b]ὥστε κινεῖσθαι μηδέν, ἢ οὔτ' ἐγένετο οὔτε φθείρεται, ἀλλ' ἀεὶ ἦν καὶ ἀεὶ ἔσται, καὶ τοῦτ' ἀθάνατον καὶ ἄπαυστον ὑπάρχει τοῖς οὖσιν, οἷον ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσιν; Εἶναι [c]μὲν οὖν κίνησιν πάντες φασὶν οἱ περὶ φύσεώς τι λέγοντες διὰ τὸ κοσμοποιεῖν καὶ περὶ γενέσεως [d]καὶ φθορᾶς εἶναι τὴν θεωρίαν πᾶσαν αὐτοῖς, ἣν ἀδύνατον ὑπάρχειν μὴ κινήσεως οὔσης. [f]Ἀλλ' [e]ὅσοι μὲν ἀπείρους [f]τε κόσμους [g]εἶναί φασι, καὶ τοὺς 2 μὲν γίγνεσθαι τοὺς δὲ φθείρεσθαι [h]τῶν κόσμων, ἀεί φασιν εἶναι κίνησιν (ἀναγκαῖον γὰρ τὰς γενέσεις καὶ [i]τὰς φθορὰς εἶναι μετὰ κινήσεως αὐτῶν)· ὅσοι δ' ἕνα ἢ μὴ ἀεί, καὶ περὶ

[h] ἐκίνει H.I. ἐκίνει τὸ K, κινεῖ τὸ E. [i] ἐπ' ante ἀλλ. om. H.I. [k] αὐξόμενον F. [l] δὲ ante χρ. om. E.K. [m] ἠλλοίωνται F.K. [n] διπλασίονι K, om. E. [o] διπλάσιον om. K. [p] καὶ] κατὰ I. [q] χρ. ἢ] χρ. καὶ H. [r] τοσωδὶ H. [s] ἢ ante αὐξ. om. E.F.K. [t] ἀναγκαῖον F. [v] καὶ ἐν ἡμίσει] ἢ καὶ F. [w] τὸ om. F.K. [x] οὐδὲ F. [y] Tit. Θ] περὶ κινήσεως τῶν εἰς γ τὸ γ E, φυσικῆς ἀκρόασεως ἡ΄ H. [z] δὲ om. K. [a] ποτε om. E. [b] ὥστε om. E. [c] μὲν] μὴ E. [d] καὶ περὶ φθορᾶς K. [e] ὁπόσοι F.H.I. [f] τε om. F.K. [g] εἶναι om. K. [h] τὸν κόσμον I. [i] τὰς om. F.

3 τῆς κινήσεως ὑποτίθενται κατὰ λόγον. Εἰ [k] δὴ ἐνδέχεταί ποτε [l] μηδὲν κινεῖσθαι, διχῶς ἀνάγκη [m] τοῦτο συμβαίνειν· ἢ γὰρ ὡς [t] Ἀναξαγόρας λέγει (φησὶ γὰρ ἐκεῖνος, ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι), ἢ ὡς [t] Ἐμπεδοκλῆς ἐν μέρει [n] κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν, κινεῖσθαι μὲν ὅταν ἡ φιλία ἐκ πολλῶν ποιῇ τὸ ἓν ἢ τὸ νεῖκος πολλὰ ἐξ ἑνός, ἠρεμεῖν δ' ἐν τοῖς μεταξὺ χρόνοις, λέγων οὕτως,

— [o] ἠμὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι,
[p] ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσιν.
τῇ μὲν γίγνονταί τε, καὶ οὔ σφισιν ἔμπεδος αἰών·
[q] ἦ δὲ τάδ' ἀλλάσσοντα [r] διαμπερὲς οὐδαμὰ λήγει,
ταύτῃ [s] δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.

4 [t] Δεῖ γὰρ ὑπολαβεῖν λέγειν αὐτὸν ᾗ δὲ τάδ' ἐνθένδε τὰ ἀλλάσσοντα. Σκεπτέον [v] δὴ περὶ [w] τούτων πῶς ἔχει· πρὸ ἔργου γὰρ οὐ μόνον πρὸς τὴν περὶ φύσεως θεωρίαν ἰδεῖν τὴν ἀλήθειαν, ἀλλὰ καὶ πρὸς τὴν μέθοδον [x] τὴν περὶ τῆς ἀρχῆς τῆς πρώτης. [t] Ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν διωρισμένων ἡμῖν ἐν 5 τοῖς φυσικοῖς πρότερον. Φαμὲν δὴ τὴν κίνησιν εἶναι [y] ἐντελέχειαν τοῦ κινητοῦ ᾗ κινητόν. [t] Ἀναγκαῖον ἄρα ὑπάρχειν τὰ πράγματα [z] τὰ δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν. [a] Καὶ χωρὶς δὲ τοῦ τῆς κινήσεως ὁρισμοῦ, πᾶς ἂν ὁμολογήσειεν ἀναγκαῖον εἶναι κινεῖσθαι τὸ δυνατὸν κινεῖσθαι καθ' ἑκάστην κίνησιν, οἷον ἀλλοιοῦσθαι μὲν τὸ ἀλλοιωτόν, φέρεσθαι δὲ [b] τὸ κατὰ τόπον μεταβλητόν, ὥστε [c] δεῖ πρότερον καυστὸν εἶναι πρὶν [d] κάεσθαι καὶ καυστικὸν πρὶν κάειν. Οὐκοῦν καὶ ταῦτα ἀναγκαῖον ἢ γενέσθαι ποτὲ οὐκ ὄντα ἢ 6 ἀΐδια εἶναι. Εἰ μὲν τοίνυν ἐγένετο τῶν [e] κινητῶν ἕκαστον,

[k] δὲ K. [l] μὴ K. [m] τοῦτο om. H. [n] κινεῖσθαι post μέρει om. E. [o] ἦ μὲν F.H.I.K. [p] ἦ δὲ F.H.I. [q] τὰ διαλλάσσοντα F, τάδ' ἀλλάσσοντα K. [r] διαμπερὲς om. H. [s] δ' om. H. [t] δεῖ—ἀλλάσσοντα] τὸ γὰρ ᾗ δὲ (τῆδε F.I.) τάδ' ἀλλάσσοντα (διαλάσσοντα I.) ἐνθένδε ἐκεῖσε λέγειν αὐτὸν ὑποληπτέον F.H.I. [v] δὲ E. [w] τούτου H.I.K. [x] τὴν ante περὶ om. F. [y] ἐντ.] ἐνέργειαν E.K. [z] τὰ om. K. [a] καὶ om. H. [b] τὸ post τόπον ponit H, om. K. [c] δὴ E. [d] καίεσθαι H. [e] κινητικῶν K.

[f] ἀναγκαῖον πρότερον τῆς ληφθείσης ἄλλην γενέσθαι μεταβολὴν καὶ κίνησιν, καθ' ἣν ἐγένετο τὸ δυνατὸν κινηθῆναι ἢ κινῆσαι. Εἰ δ' ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης, ἄλογον μὲν φαίνεται καὶ αὐτόθεν ἐπιστήσασιν, οὐ μὴν ἀλλὰ μᾶλλον ἔτι [g] προϊοῦσι [h] τοῦτο συμβαίνειν ἀναγκαῖον. Εἰ γὰρ τῶν μὲν κινητῶν ὄντων τῶν δὲ κινητικῶν [i] ὁτὲ μὲν [k] ἔσται [l] τι πρῶτον κινοῦν, τὸ δὲ κινούμενον, ὁτὲ δ' οὐθέν, ἀλλ' [m] ἠρεμεῖ, [n] ἀναγκαῖον τοῦτο μεταβάλλειν πρότερον· [o] ἦν γάρ τι αἴτιον τῆς ἠρεμίας· ἡ γὰρ ἠρέμησις στέρησις [p] τῆς κινήσεως. [v]Ωστε πρὸ τῆς πρώτης μεταβολῆς ἔσται μεταβολὴ προτέρα. [q] Τὰ μὲν γὰρ κινεῖ μοναχῶς, τὰ δὲ [r] καὶ τὰς ἐναντίας κινήσεις, οἷον τὸ μὲν πῦρ θερμαίνει, ψύχει δ' οὔ, ἡ δ' ἐπιστήμη δοκεῖ τῶν ἐναντίων εἶναι μία. Φαίνεται μὲν οὖν [s] κἀκεῖ [t] τι εἶναι ὁμοιότροπον· τὸ γὰρ ψυχρὸν θερμαίνει στραφέν πως καὶ ἀπελθόν, ὥσπερ καὶ ἁμαρτάνει ἑκὼν ὁ ἐπιστήμων, ὅταν ἀνάπαλιν χρήσηται τῇ ἐπιστήμῃ. [1] Ἀλλ' οὖν ὅσα γε δυνατὰ ποιεῖν [v] καὶ πάσχειν ἢ κινεῖν, τὰ δὲ κινεῖσθαι, οὐ πάντως δυνατά ἐστιν, ἀλλ' ὡδὶ ἔχοντα καὶ πλησιάζοντα ἀλλήλοις. [v]Ωσθ' ὅταν [w] πλησιάσῃ, κινεῖ, τὸ δὲ κινεῖται, καὶ ὅταν ὑπάρξῃ ὡς [x] εἶναι τὸ μὲν [y] κινητικὸν τὸ δὲ κινητόν. Εἰ τοίνυν μὴ ἀεὶ ἐκινεῖτο, δῆλον ὡς οὐχ οὕτως εἶχον [z] ὡς δυνάμενα τὸ μὲν κινεῖσθαι τὸ δὲ κινεῖν, ἀλλ' [a] ἔδει μεταβάλλειν θάτερον αὐτῶν· ἀνάγκη γὰρ ἐν τοῖς πρός τι τοῦτο συμβαίνειν, οἷον εἰ μὴ ὂν διπλάσιον νῦν διπλάσιον, [b] μεταβάλλειν, [c] εἰ μὴ ἀμφότερα, θάτερον. [v]Εσται [d] ἄρα τις προτέρα μεταβολὴ τῆς πρώτης. Πρὸς δὲ τούτοις τὸ πρότερον καὶ ὕστερον πῶς ἔσται χρόνου μὴ ὄντος; ἢ [e] ὁ χρόνος μὴ οὔσης κινήσεως; Εἰ δή [f] ἐστιν ὁ

[f] ἀνάγκη H, om. E. [g] προάγουσιν E, προάγουσι (supra positis ιου) H. [h] ἀναγκαῖον τοῦτο συμβαίνειν F. [i] ὅτι E. [k] ἔστι F. [l] τι] τὸ pr. F. [m] ἠρεμεῖν I. [n] ἀναγκαῖον] δεῖ F.H.I, ἀναγκαῖον δεῖ K. [o] ἦν om. E. [p] τῆς ante κ. om. F.H.I.K. [q] τὰ μὲν] τῷ μὲν K. [r] καὶ om. H. [s] καὶ εκεῖ F.H.I.K. [t] τι om. E. [v] καὶ] ἢ E K. [w] πλησιάζῃ F.H.I. [x] εἶναι] ἦν E. [y] κινητὸν τὸ δὲ κινητικόν F. [z] ὡς] ὡς μὴ I. et pr. F, ὡς ἦν E.K. [a] ἔδει μεταβάλλειν] μετέβαλεν E, μετέβαλλεν K. [b] μεταβάλλει H.K. [c] εἰ] καὶ εἰ I. [d] τις ἄρα I. [e] ὁ om. K. [f] ὁ χρόνος ἐστὶν F.H.I.K.

χρόνος [g] κινήσεως ἀριθμὸς ἢ κίνησίς τις, εἴπερ ἀεὶ χρόνος ἐστίν, ἀνάγκη καὶ κίνησιν ἀΐδιον εἶναι. [1] Ἀλλὰ μὴν περί γε χρόνου ἔξω ἐνὸς ὁμονοητικῶς ἔχοντες φαίνονται [h] πάντες·
12 [i] ἀγένητον γὰρ εἶναι λέγουσιν. Καὶ διὰ [k] τοῦτο Δημόκριτός [l] γε δείκνυσιν ὡς ἀδύνατον [m] ἅπαντα γεγονέναι· [n] τὸν γὰρ χρόνον [o] ἀγένητον εἶναι. Πλάτων δ' αὐτὸν γεννᾷ μόνος· ἅμα [p] μὲν γὰρ [q] αὐτὸν τῷ οὐρανῷ γεγονέναι, τὸν δ' οὐρανὸν
13 γεγονέναι φησίν. Εἰ [r] οὖν ἀδύνατόν ἐστι [s] καὶ εἶναι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν, τὸ δὲ νῦν ἐστὶ μεσότης τις, [t] καὶ ἀρχὴν καὶ τελευτὴν ἔχον [v] ἅμα, ἀρχὴν μὲν τοῦ ἐσομένου [w] χρόνου, τελευτὴν δὲ τοῦ [x] παρελθόντος, ἀνάγκη [y] ἀεὶ εἶναι χρόνον· τὸ γὰρ ἔσχατον τοῦ τελευταίου ληφθέντος χρόνου ἔν τινι τῶν νῦν [z] ἔσται· οὐδὲν γὰρ [a] ἔστι [b] λαβεῖν ἐν τῷ χρόνῳ [c] παρὰ τὸ νῦν. [v] Ὥστ' ἐπεί ἐστιν ἀρχή [d] τε καὶ τελευτὴ τὸ νῦν, ἀνάγκη αὐτοῦ ἐπ' ἀμφότερα εἶναι [e] ἀεὶ χρόνον.
[1] Ἀλλὰ μὴν εἴγε χρόνον, φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνη-
14 σιν, εἴπερ ὁ χρόνος πάθος τι κινήσεως. [r] Ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ ἄφθαρτον εἶναι τὴν κίνησιν· καθάπερ [f] γὰρ ἐπὶ τοῦ [g] γενέσθαι κίνησιν συνέβαινε προτέραν [h] εἶναί τινα μεταβολὴν τῆς πρώτης, οὕτως ἐνταῦθα ὑστέραν τῆς τελευταίας· οὐ γὰρ ἅμα [i] παύεται κινούμενον καὶ κινητὸν ὄν, οἷον [k] καόμενον καὶ καυστὸν [l] ὄν (ἐνδέχεται [m] γὰρ καυστὸν εἶναι μὴ [n] καόμενον), οὐδὲ [o] κινητικὸν καὶ κινοῦν. Καὶ τὸ [p] φθαρτὸν [q] δὲ δεήσει φθαρῆναι, ὅταν [r] φθείρηται· καὶ τὸ τούτου φθαρτικὸν πάλιν ὕστερον· καὶ γὰρ ἡ φθορὰ μεταβολή τις ἐστίν.

[g] ἀριθμὸς κινήσεως F. [h] πάντες· om. H. [i] ἀγέννητον F.K. [k] τούτου E.H. [l] τε F.H.I. [m] ἅπαν E. [n] τὸν—εἶναι om. pr. F. [o] ἀγ. εἶναι] ἀγέννητον γεγονέναι K, ἀδύνατον γεγονέναι H.I. et rc. F. [p] μὲν om. I.K. [q] αὐτὸν om. E.K. [r] οὖν] δὲ E. [s] καὶ om. F.H.I. [t] καὶ ante ἀρχὴν om. F.H.I. [v] ἅμα] ἀλλ' E. [w] χρόνου om. F. [x] παρελθυθότος F.H.I. [y] ἀεὶ om. H. [z] ἔστιν F. [a] ἔσται E. [b] ἐν τῷ χρόνῳ λαμβάνειν F.H.I. [c] παρὰ τὸ] παρὰ τὸν E. [d] τε om. F.H. [e] ἀεὶ om. E.K. [f] γὰρ om. I. [g] γενέσθαι καὶ κίνησιν E. [h] τινὰ εἶναι F.H.I.K. [i] παύσεται F.H.I. [k] καιόμενον E.K. [l] ὄν om. K. [m] γὰρ] γὰρ καὶ F. [n] καιόμενον E.K. [o] κινητὸν pr. I. [p] φθαρτικὸν E.K. [q] δὴ E.I. [r] φθείρῃ K, φθαρῇ E.

Εἰ δὴ [s] ταῦτ' [t] ἀδύνατα, δῆλον ὡς ἔστιν ἀΐδιος κίνησις, ἀλλ' 15
οὐχ ὁτὲ μὲν ἦν ὁτὲ δ' οὔ· καὶ γὰρ ἔοικε τὸ οὕτω λέγειν
πλάσματι μᾶλλον. [t] Ὁμοίως δὲ καὶ τὸ λέγειν ὅτι πέφυκεν
οὕτως καὶ [v] ταύτην δεῖ [w] νομίζειν εἶναι ἀρχήν, ὅπερ ἔοικεν
[t] Ἐμπεδοκλῆς ἂν εἰπεῖν, ὡς τὸ κρατεῖν καὶ κινεῖν ἐν μέρει τὴν
φιλίαν καὶ τὸ νεῖκος [x] ὑπάρχει τοῖς πράγμασιν ἐξ ἀνάγκης,
ἠρεμεῖν δὲ τὸν μεταξὺ χρόνον. Τάχα δὲ καὶ οἱ μίαν ἀρχὴν
ποιοῦντες, [y] ὥσπερ [t] Ἀναξαγόρας, οὕτως ἂν εἴποιεν. [t] Ἀλλὰ 16
μὴν οὐδέν γε ἄτακτον τῶν φύσει καὶ κατὰ φύσιν· [z] ἡ γὰρ
φύσις αἰτία [a] πᾶσι τάξεως. Τὸ δ' ἄπειρον πρὸς τὸ ἄπειρον
οὐδένα λόγον ἔχει· τάξις δὲ πᾶσα [b] λόγος. Τὸ δ' ἄπειρον
χρόνον ἠρεμεῖν, εἶτα κινηθῆναί ποτε, τούτου [c] δὲ μηδεμίαν
εἶναι διαφοράν, ὅτι νῦν μᾶλλον ἢ πρότερον, μηδ' αὖ τινὰ
τάξιν ἔχειν, [d] οὐκέτι φύσεως ἔργον. [t] Ἡ γὰρ ἁπλῶς ἔχει τὸ 17
φύσει, [e] καὶ οὐχ ὁτὲ μὲν οὕτως ὁτὲ δ' ἄλλως, οἷον τὸ πῦρ
ἄνω φύσει φέρεται καὶ οὐχ ὁτὲ μὲν ὁτὲ δὲ οὔ· ἢ λόγον ἔχει
τὸ μὴ ἁπλοῦν. Διόπερ [f] βέλτιον [g] ὡς [t] Ἐμπεδοκλῆς, κἂν εἴ
τις [h] ἕτερος εἴρηκεν οὕτως ἔχειν, ἐν μέρει τὸ πᾶν ἠρεμεῖν καὶ
κινεῖσθαι πάλιν· τάξιν γὰρ ἤδη τιν' ἔχει τὸ τοιοῦτον. [t] Ἀλλὰ 18
καὶ τοῦτο δεῖ τὸν λέγοντα μὴ [i] φάναι μόνον, ἀλλὰ καὶ τὴν
αἰτίαν αὐτοῦ λέγειν, καὶ μὴ τίθεσθαι μηδὲν μηδ' ἀξιοῦν
ἀξίωμ' ἄλογον, ἀλλ' [k] ἢ ἐπαγωγὴν ἢ ἀπόδειξιν φέρειν· αὐτὰ
μὲν [l] γὰρ οὐκ αἴτια [l] τὰ ὑποτεθέντα, οὐδὲ τοῦτ' ἦν τὸ φιλό-
τητι ἢ νείκει εἶναι, ἀλλὰ τῆς μὲν τὸ συνάγειν, τοῦ δὲ τὸ
διακρίνειν. Εἰ δὲ [m] προσοριεῖται τὸ ἐν μέρει, λεκτέον ἐφ' 19
ὧν οὕτως, ὥσπερ [n] ὅτι ἔστι τι [o] ὃ συνάγει τοὺς ἀνθρώπους, ἡ
φιλία, καὶ φεύγουσιν οἱ ἐχθροὶ ἀλλήλους· τοῦτο γὰρ ὑποτί-
θεται καὶ ἐν τῷ ὅλῳ [p] εἶναι· φαίνεται γὰρ ἐπί τινων οὕτως.

[s] τοῦτ' F.H. [t] ἀδύνατον F.H.I. [v] δεῖ ταύτην E, ταύτην δεῖν F. [w] εἶναι νομίζειν E. [x] ὑπάρχειν F.K. [y] ὥσπερ καὶ ἀναξ. F. H.I. [z] ἡ] εἰ pr. F. [a] τάξεως πᾶσι H. [b] λόγω H. [c] δὴ E. [d] οὐκ ἔστι K. [e] καὶ om. F.H.I.K. [f] βέλτιον] ἄμεινον K. [g] ὡς] ὡς ὁ H. [h] ἕτερος οὕτως εἴρηκεν οὕτως F. [i] ἀποφάναι F.H.I. [k] ἢ] ἀεὶ I. [l] γὰρ et τὰ om. E. [m] προσδιοριεῖται K. [n] ὅτι] τι E. [o] ὃ συνάγει] τὸ συνάγον F.H. [p] εἶναι om. I.

20 Τὸ δὲ καὶ [q] δι' ἴσων χρόνων [r] δεῖται λόγου τινός. [v]Ολως δὲ τὸ νομίζειν ἀρχὴν εἶναι ταύτην ἱκανήν, [s] ὅτι ἀεὶ [t] ἢ ἔστιν οὕτως ἢ γίγνεται, οὐκ ὀρθῶς [v] ἔχει ὑπολαβεῖν, [w] ἐφ' ὃ Δημόκριτος ἀνάγει τὰς περὶ φύσεως αἰτίας, [x] ὡς οὕτω καὶ [y] τὸ πρότερον [z] ἐγίνετο· τοῦ δὲ ἀεὶ οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν, λέγων
21 ἐπί τινων ὀρθῶς, [a] ὅτι δ' ἐπὶ πάντων, οὐκ ὀρθῶς. Καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας, ἀλλ' ὅμως ἐστί [b] τι τῆς [c] ἀϊδιότητος ταύτης ἕτερον αἴτιον· τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν ἕτερον αἴτιον ἀϊδίων οὐσῶν. [v]Οτι μὲν [d] οὖν οὐδεὶς [e] ἦν χρόνος οὐδ' ἔσται ὅτε [f] κίνησις οὐκ ἦν ἢ οὐκ ἔσται, εἰρήσθω τοσαῦτα.

2 Τὰ δ' ἐναντία τούτοις οὐ χαλεπὸν λύειν. Δόξειε δ' ἂν ἐκ τῶν τοιῶνδε σκοποῦσιν ἐνδέχεσθαι μάλιστα κίνησιν εἶναί ποτε μὴ οὖσαν ὅλως, πρῶτον μὲν ὅτι οὐδεμία ἀΐδιος μεταβολή· μεταβολὴ γὰρ [g] ἅπασα πέφυκεν ἔκ τινος εἴς τι, ὥστε ἀνάγκη
[h] πάσης μεταβολῆς εἶναι πέρας τἀναντία ἐν οἷς γίγνεται, εἰς
2 ἄπειρον δὲ κινεῖσθαι μηδέν. [v]Ετι ὁρῶμεν ὅτι δυνατὸν κινηθῆναι μήτε κινούμενον μήτ' ἔχον ἐν [i] ἑαυτῷ μηδεμίαν κίνησιν, οἷον ἐπὶ τῶν ἀψύχων, ὧν οὔτε μέρος οὐδὲν οὔτε τὸ ὅλον κινούμενον ἀλλ' ἠρεμοῦν κινεῖταί ποτε. Προσῆκε δὲ ἢ ἀεὶ
3 [k] κινεῖσθαι ἢ μηδέποτε, εἴπερ μὴ γίνεται οὐκ οὖσα. Πολὺ δὲ [l] μάλιστα τὸ τοιοῦτον ἐπὶ τῶν ἐμψύχων [m] εἶναι φανερόν· οὐδεμιᾶς γὰρ [n] ἐν ἡμῖν [o] ἐνούσης κινήσεως ἐνίοτε, ἀλλ' ἡσυχάζοντες [p] ὅμως κινούμεθά ποτε, καὶ ἐγγίνεται ἐν ἡμῖν ἐξ ἡμῶν
[q] αὐτῶν ἀρχὴ κινήσεως [r] ἐνίοτε, κἂν μηθὲν ἔξωθεν κινήσῃ. Τοῦτο γὰρ ἐπὶ τῶν ἀψύχων οὐχ ὁρῶμεν ὁμοίως, ἀλλ' ἀεὶ [s] κινεῖ τι [t] αὐτὰ τῶν ἔξωθεν ἕτερον· τὸ δὲ ζῷον αὐτό φαμεν
[v] ἑαυτὸ κινεῖν. [v]Ωστ' εἴπερ ἠρεμεῖ ποτὲ πάμπαν, ἐν ἀκινήτῳ

q δι' om. E. r δεῖται καὶ λόγου H. s εἴτι K. t ἢ ante ἔστιν om. E.K. v ἔχειν E. w εἰς K. x ὅτι E. y τὰ πρότερα K. z ἐγένετο H. a ὅτι—ὀρθῶς om. E. b τι om. K. c ἰδιότητος E. d οὖν] τοίνυν F.H. e ἦν corr. E. f κίνησις ἢ οὐκ H.K. g πᾶσα K. h ἀπάσης H.I. i αὐτῷ K. k γίγνεσθαι E. l τὸ τοιοῦτον μάλιστα I. m εἶναι] ἐστὶ F.H. n ἐν ἡμῖν om. F.H. o οὔσης F. p ὁμοίως E. q αὐτῶν om. E. r ἐνίοτε om. E.K. s κινεῖ post τι H, post αὐτὰ F. t αὐτὰ om. I. v αὐτὸ I.

κίνησις ἂν [w]γένοιτο ἐξ αὐτοῦ καὶ οὐκ ἔξωθεν. Εἰ δ' [x]ἐν 4
ζῴῳ τοῦτο δυνατὸν γενέσθαι, τί κωλύει [y]τὸ αὐτὸ συμβῆναι
καὶ [z]κατὰ τὸ πᾶν; Εἰ γὰρ ἐν μικρῷ κόσμῳ [a]γίνεται, [b]καὶ
ἐν μεγάλῳ· καὶ εἰ ἐν τῷ κόσμῳ, [c]κἂν τῷ ἀπείρῳ, εἴπερ ἐνδέ-
χεται κινεῖσθαι τὸ ἄπειρον καὶ ἠρεμεῖν ὅλον. Τούτων δὴ τὸ
μὲν πρῶτον λεχθέν, τὸ μὴ τὴν αὐτὴν ἀεὶ καὶ μίαν τῷ ἀριθμῷ
εἶναι τὴν κίνησιν τὴν εἰς [d]τὰ ἀντικείμενα, ὀρθῶς λέγεται.
Τοῦτο μὲν γὰρ ἴσως ἀναγκαῖον, εἴπερ μὴ ἀεὶ μίαν καὶ τὴν 5
αὐτὴν εἶναι δυνατὸν τὴν τοῦ αὐτοῦ καὶ ἑνὸς κίνησιν· λέγω δ'
οἷον πότερον τῆς μιᾶς χορδῆς εἷς καὶ ὁ αὐτὸς φθόγγος, ἢ
[e]ἀεὶ ἕτερος, ὁμοίως [f]ἐχούσης καὶ κινουμένης. [g]Ἀλλ' ὅμως
ὁποτέρως [g]ποτ' ἔχει, οὐδὲν κωλύει τὴν αὐτὴν εἶναί τινα τῷ
συνεχῆ εἶναι καὶ ἀΐδιον· δῆλον δ' ἔσται μᾶλλον ἐκ τῶν
ὕστερον. Τὸ δὲ κινεῖσθαι μὴ κινούμενον οὐδὲν ἄτοπον, [h]ἐὰν 6
ὁτὲ μὲν ᾖ τὸ [i]κινῆσαν ἔξωθεν, ὁτὲ δὲ μή. [k]Τοῦτο μέντοι
πῶς ἂν εἴη, ζητητέον, λέγω δὲ ὥστε τὸ αὐτὸ ὑπὸ τοῦ αὐτοῦ
κινητικοῦ ὄντος ὁτὲ μὲν κινεῖσθαι ὁτὲ δὲ μή· οὐδὲν γὰρ ἄλλ'
ἀπορεῖ ὁ τοῦτο λέγων ἢ διὰ τί οὐκ ἀεὶ τὰ μὲν ἠρεμεῖ τῶν
ὄντων τὰ δὲ κινεῖται. Μάλιστα δ' ἂν δόξειε τὸ τρίτον ἔχειν 7
ἀπορίαν, ὡς ἐγγιγνομένης οὐκ ἐνούσης πρότερον κινήσεως, τὸ
συμβαῖνον [l]ἐπὶ τῶν ἐμψύχων· ἠρεμοῦν γὰρ πρότερον μετὰ
ταῦτα βαδίζει, κινήσαντος τῶν ἔξωθεν οὐδενός, ὡς δοκεῖ.
Τοῦτο δ' ἐστὶ ψεῦδος. [t]Ὁρῶμεν [m]γὰρ ἀεί τι κινούμενον ἐν 8
τῷ ζῴῳ τῶν συμφύτων· [n]τούτου δὲ τῆς κινήσεως οὐκ αὐτὸ τὸ
ζῷον αἴτιον, ἀλλὰ τὸ περιέχον ἴσως. Αὐτὸ δέ φαμεν [o]ἑαυτὸ
κινεῖν οὐ πᾶσαν κίνησιν, ἀλλὰ τὴν κατὰ τόπον. Οὐδὲν οὖν 9
κωλύει, μᾶλλον [p]δ' ἴσως ἀναγκαῖον, [q]τῷ σώματι πολλὰς
ἐγγίγνεσθαι κινήσεις ὑπὸ τοῦ περιέχοντος, τούτων δ' [r]ἐνίας

[w] γίγνοιτο E.H.I. [x] ἐν om. E. [y] τὸ] τοῦτο τὸ E. [z] τὸ κατὰ E. [a] γίγνεσθαι H.I. [b] καὶ ἐν] κἂν E. [c] κἂν] καὶ F, καὶ ἐν I.H.K. [d] τὰ] τ' I, om. F. [e] ἀεὶ om. I. [f] ἠχούσης corr. H. [g] ποτ'] πως H, om. F. [h] ἂν E.K. [i] κινῆσον H. [k] τοῦτο—δὲ μή om. H, in margine ponit F. [l] ὑπὸ I. [m] γὰρ δὴ αἰεί K. [n] τούτων E. [o] αὐτὸ F.H.I, αὐτὸ K. [p] ἴσως δ' F. [q] τῷ] ἐν μὲν τῷ E.K. τῷ σώματι post κινήσεις F. [r] ἔνια K.

τὴν διάνοιαν ἢ τὴν ὄρεξιν κινεῖν, [t] ἐκείνην δὲ τὸ ὅλον ἤδη ζῷον κινεῖν, [v] ὁποῖον συμβαίνει περὶ τοὺς ὕπνους· αἰσθητικῆς μὲν γὰρ οὐδεμιᾶς ἐνούσης κινήσεως, ἐνούσης μέντοι τινός, ἐγείρεται [w] τὰ ζῷα [x] πάλιν. [1]Αλλὰ γὰρ φανερὸν ἔσται καὶ περὶ τούτων ἐκ τῶν ἑπομένων.

3 [1]Αρχὴ δὲ τῆς σκέψεως [y] ἔσται ἥπερ καὶ περὶ τῆς λεχθείσης ἀπορίας, διὰ τί [z] ποτε ἔνια τῶν ὄντων ὁτὲ μὲν κινεῖται ὁτὲ δὲ ἠρεμεῖ πάλιν. [1]Ανάγκη [a] δ' ἤτοι [b] πάντα ἠρεμεῖν ἀεί, ἢ πάντ' ἀεὶ κινεῖσθαι, ἢ τὰ μὲν κινεῖσθαι τὰ δ' ἠρεμεῖν, καὶ πάλιν τούτων ἤτοι τὰ μὲν κινούμενα κινεῖσθαι ἀεὶ τὰ δ' ἠρεμοῦντα ἠρεμεῖν, ἢ πάντα πεφυκέναι ὁμοίως [c] κινεῖσθαι καὶ ἠρεμεῖν, ἢ τὸ λοιπὸν ἔτι καὶ τρίτον· ἐνδέχεται γὰρ τὰ μὲν ἀεὶ τῶν ὄντων ἀκίνητα εἶναι, τὰ δ' ἀεὶ κινούμενα, τὰ δ' ἀμφο-
2 τέρων μεταλαμβάνειν. [v]Οπερ ἡμῖν λεκτέον ἐστίν· τοῦτο γὰρ ἔχει λύσιν [d] τε πάντων ἀπορουμένων, καὶ τέλος ἡμῖν ταύτης τῆς πραγματείας ἐστίν. Τὸ μὲν οὖν πάντ' ἠρεμεῖν, καὶ τούτου ζητεῖν λόγον [e] ἀφέντας τὴν αἴσθησιν, ἀρρωστία τίς ἐστι διανοίας, καὶ περὶ ὅλου τινὸς ἀλλ' οὐ περὶ μέρους ἀμφισβήτησις· οὐδὲ μόνον πρὸς [f] τὸν φυσικόν, ἀλλὰ πρὸς [g] πάσας τὰς ἐπιστήμας ὡς εἰπεῖν καὶ πάσας τὰς δόξας διὰ τὸ
3 κινήσει χρῆσθαι πάσας. [1]Ετι δ' αἱ περὶ τῶν ἀρχῶν ἐνστάσεις, ὥσπερ ἐν τοῖς περὶ τὰ μαθήματα λόγοις οὐδέν [h] εἰσι πρὸς [i] τὸν [k] μαθηματικόν, ὁμοίως δὲ καὶ [l] ἐπὶ τῶν ἄλλων, [m] οὕτως [n] οὐδὲ περὶ τοῦ νῦν ῥηθέντος πρὸς [o] τὸν φυσικόν·
4 ὑπόθεσις γὰρ ὅτι ἡ φύσις ἀρχὴ [p] τῆς κινήσεως. Σχεδὸν δέ [q] τι καὶ τὸ φάναι [r] πάντα κινεῖσθαι ψεῦδος μέν, ἧττον δὲ [s] τούτου παρὰ τὴν μέθοδον· ἐτέθη μὲν γὰρ ἡ φύσις ἐν τοῖς φυσικοῖς ἀρχὴ καθάπερ κινήσεως καὶ ἠρεμίας, ὁμοίως δὲ φυσι-

[t] ἐκείνη K. [v] οἷον E. [w] τὰ] πάντα τὰ E. [x] πάλιν om. E. [y] ἔσται om. E. [z] ποτε om. F. [a] δὴ ἤτοι F.K, δή τοι H. [b] πάντα καὶ ἠρεμεῖν F. [c] κινεῖσθαι om. pr. F. [d] πάντων τε F.H.I. [e] ἀφέντα K. [f] τὸ H.I. [g] ἁπάσας E.K. [h] ἐστιν E. [i] τὸ F.I, τὰ K. [k] μαθητικὸν E, μαθηματικὰ K. [l] περὶ F. [m] οὕτως om. K. [n] οὐδὲν H. [o] τὸ I. [p] τῆς] τις H.I. [q] τι om. E.F.H.K. [r] κινεῖσθαι πάντα E.K. [s] τοῦτο F.H.I, om. H.

κὸν ἡ κίνησις· [t] καὶ φασί τινες κινεῖσθαι τῶν ὄντων οὐ τὰ μὲν τὰ δ' οὔ, ἀλλὰ πάντα καὶ ἀεί, ἀλλὰ λανθάνειν τοῦτο τὴν ἡμετέραν αἴσθησιν. Πρὸς οὓς καίπερ οὐ διορίζοντας ποίαν 5
κίνησιν λέγουσιν, ἢ [v] πάσας, οὐ χαλεπὸν ἀπαντῆσαι· οὔτε γὰρ αὐξάνεσθαι οὔτε φθίνειν οἷόν τε συνεχῶς, ἀλλ' [w] ἔστι καὶ τὸ μέσον. [u]Εστι δ' ὅμοιος [x] ὁ λόγος τῷ περὶ [y] τοῦ τὸν σταλαγμὸν κατατρίβειν καὶ τὰ ἐκφυόμενα τοὺς λίθους διαιρεῖν· οὐ γὰρ εἰ τοσόνδε [z] ἐξέωσεν ἢ ἀφεῖλεν ὁ σταλαγμός, καὶ τὸ ἥμισυ ἐν ἡμίσει χρόνῳ [a] πρότερον· ἀλλ' ὥσπερ ἡ νεωλκία, καὶ οἱ σταλαγμοὶ οἱ [b] τοσοιδὶ [c] τοσονδὶ κινοῦσι, τὸ δὲ μέρος αὐτῶν ἐν οὐδενὶ χρόνῳ τοσοῦτον. Διαιρεῖται μὲν οὖν 6
τὸ ἀφαιρεθὲν εἰς πλείω, ἀλλ' οὐδὲν αὐτῶν ἐκινήθη χωρίς, ἀλλ' [d] ἅμα. Φανερὸν οὖν ὡς οὐκ ἀναγκαῖον ἀεί τι ἀπιέναι, [e] ὅτι διαιρεῖται ἡ φθίσις εἰς ἄπειρα, ἀλλ' ὅλον ποτὲ ἀπιέναι. [f]Ομοίως δὲ καὶ ἐπ' ἀλλοιώσεως [f] ὁποιασποτοῦν· οὐ γὰρ εἰ μεριστὸν εἰς [g] ἄπειρον τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις, ἀλλ' ἀθρόα γίνεται πολλάκις, ὥσπερ ἡ πῆξις. [u]Ετι 7
ὅταν [h] τις νοσήσῃ, ἀνάγκη χρόνον γενέσθαι ἐν ᾧ ὑγιασθήσεται, καὶ μὴ ἐν [i] πέρατι χρόνου μεταβάλλειν· [k] ἀνάγκη δὲ εἰς ὑγίειαν μεταβάλλειν καὶ [l] μὴ εἰς ἄλλο μηθέν. [v]Ωστε τὸ φάναι συνεχῶς ἀλλοιοῦσθαι λίαν ἐστὶ τοῖς φανεροῖς ἀμφισβητεῖν. Εἰς τοὐναντίον γὰρ ἡ ἀλλοίωσις· [m] ὁ δὲ λίθος οὔτε σκληρότερος γίνεται οὔτε μαλακώτερος. Κατά τε τὸ φέρεσθαι θαυμαστὸν εἰ λέληθεν ὁ λίθος κάτω φερόμενος ἢ μένων ἐπὶ τῆς γῆς. [u]Ετι δ' ἡ γῆ καὶ τῶν ἄλλων ἕκαστον ἐξ 8
ἀνάγκης μένουσι [n] μὲν ἐν τοῖς οἰκείοις τόποις, [o] κινοῦνται δὲ βιαίως ἐκ τούτων· εἴπερ οὖν ἕνι' [p] αὐτῶν ἐστὶν ἐν τοῖς οἰκείοις τόποις, ἀνάγκη μηδὲ κατὰ τόπον πάντα κινεῖσθαι. [v]Οτι

[t] καὶ ante φασί om. E. [v] πᾶσαν I. [w] ἔστι καὶ τὸ μέσον om. E. [x] ὁ om. E. [y] τοῦ om. I. [z] ἔωσεν F.H.I.K. [a] πρότερον om. H. [b] τοσοίδε F.H. [c] τοσόνδε F.H.I.K. [d] ἅμα ὅλον φανερὸν H. [e] ὅτι —ἀπιέναι om. I. [f] ὁποιασοῦν F.H.I.K. [g] ἄπειρα E.K. [h] τι νοσήσῃ E, νοσήσῃ τι F.H, νοσήσῃ τις I.K. [i] πέρασι F. et corr. K. [k] ἀνάγκη δὲ εἰς] καὶ E. ἀνάγκη—μεταβάλλειν om. pr. F. [l] μὴ om. F.H.I.K. [m] ὅ τε F.I.K. [n] μὲν om. F. [o] κινεῖται F.H.I. [p] ἐστὶν αὐτῶν K.

μὲν [q] οὖν ἀδύνατον ἢ ἀεὶ πάντα κινεῖσθαι ἢ ἀεὶ πάντα ἠρεμεῖν, ἐκ τούτων καὶ [r] ἄλλων τοιούτων πιστεύσειεν ἄν τις.
9 [1]Αλλὰ μὴν [s] οὐδὲ τὰ μὲν ἀεὶ ἐνδέχεται ἠρεμεῖν, τὰ δ' ἀεὶ κινεῖσθαι, ποτὲ δ' ἠρεμεῖν καὶ ποτὲ κινεῖσθαι μηδέν. Λεκτέον δ' ὅτι ἀδύνατον, ὥσπερ ἐπὶ τῶν εἰρημένων πρότερον, καὶ ἐπὶ τούτων· ὁρῶμεν [t] γὰρ ἐπὶ τῶν αὐτῶν γιγνομένας τὰς εἰρημένας μεταβολάς. Καὶ πρὸς τούτοις ὅτι μάχεται τοῖς φανεροῖς ὁ ἀμφισβητῶν· οὔτε γὰρ [v] ἡ αὔξησις οὔθ' ἡ βίαιος [w] ἔσται κίνησις, εἰ μὴ κινήσεται παρὰ φύσιν ἠρεμοῦν πρότε-
10 ρον. Γένεσιν οὖν ἀναιρεῖ καὶ φθορὰν οὗτος ὁ λόγος. Σχεδον [x] δὲ καὶ τὸ κινεῖσθαι γίνεσθαί τι καὶ φθείρεσθαι δοκεῖ πᾶσιν· εἰς ὃ μὲν γὰρ μεταβάλλει, γίνεται τοῦτο ἢ ἐν τούτῳ, [y] ἐξ οὗ δὲ μεταβάλλει, φθείρεται τοῦτο ἢ ἐντεῦθεν. [v]Ωστε
11 δῆλον ὅτι τὰ μὲν κινεῖται, τὰ δ' ἠρεμεῖ ἐνίοτε. Τὸ δὲ πάντα ἀξιοῦν ὁτὲ μὲν ἠρεμεῖν ὁτὲ δὲ κινεῖσθαι, τοῦτ' ἤδη συναπτέον πρὸς τοὺς πάλαι λόγους. [1]Αρχὴν δὲ πάλιν ποιητέον ἀπὸ τῶν νῦν διορισθέντων, τὴν αὐτὴν ἥνπερ ἠρξάμεθα πρότερον.
[z]Η γάρ τοι πάντα [a] ἠρεμεῖ, ἢ πάντα κινεῖται, ἢ τὰ μὲν
12 ἠρεμεῖ τὰ δὲ κινεῖται τῶν ὄντων. Καὶ εἰ τὰ μὲν ἠρεμεῖ τὰ δὲ [b] κινεῖται, ἀνάγκη ἤτοι πάντα ὁτὲ μὲν ἠρεμεῖν ὁτὲ δὲ [c] κινεῖσθαι, ἢ τὰ μὲν ἀεὶ ἠρεμεῖν τὰ δ' ἀεὶ κινεῖσθαι αὐτῶν, τὰ δ' ὁτὲ μὲν ἠρεμεῖν ὁτὲ δὲ κινεῖσθαι. [v]Οτι [d] μὲν τοίνυν οὐχ οἷόν τε πάντ' ἠρεμεῖν, εἴρηται μὲν καὶ πρότερον, [e] εἴπωμεν δὲ καὶ νῦν. Εἰ γὰρ [f] καὶ κατ' ἀλήθειαν οὕτως ἔχει, καθάπερ [g] φασί τινες εἶναι τὸ ὂν ἄπειρον καὶ ἀκίνητον, ἀλλ' [h] οὔτι φαίνεταί γε κατὰ τὴν αἴσθησιν, ἀλλὰ [i] κινεῖσθαι πολλὰ τῶν ὄντων.
13 Εἴπερ οὖν ἐστὶ δόξα ψευδὴς ἢ ὅλως δόξα, [k] καὶ κίνησίς [l]ἐστι,

[q] οὖν οὐ δυνατὸν H.I. [r] τοιούτων ἄλλων F. [s] οὔτε F.H.I. [t] γὰρ καὶ ἐπὶ E. [v] ἡ post γὰρ om. F.H.I.K. [w] ἐστι F. [x] δὲ om. F. [y] ἐξ—τοῦτο om. pr. K. [z] ἤτοι γὰρ K. [a] κινεῖται ἢ πάντα ἠμεμεῖ F. [b] κινεῖται τῶν ὄντων ἀνάγκη F.H.I.K. [c] κινεῖσθαι. Καὶ πάλιν τούτων ἢ τὰ μὲν κινούμενα κινεῖται ἀεὶ τὰ δ' ἠρεμοῦντα ἠρεμεῖ, ἢ ὁμοίως πάντα ὁτὲ μὲν ἠρεμεῖ ὁτὲ δὲ κινεῖται. Οτι margo K. [d] μὲν οὖν τοίνυν H.I. [e] ειπων E. [f] καὶ post γὰρ om. K. [g] τινές φασιν F.H.I.K [h] οὔτοι I. [i] κινεῖται F.H.I. [k] καὶ] εἰ H. [l] ἐστι κἂν] ἐστι καὶ H.K.

κἂν εἰ φαντασία, κἂν [m] εἰ ὁτὲ μὲν οὕτως δοκεῖ [n] εἶναι ὁτὲ δ' ἑτέρως· ἡ γὰρ φαντασία καὶ ἡ δόξα κινήσεις τινὲς [o] εἶναι δοκοῦσιν. [4]Αλλὰ τὸ μὲν περὶ [p] τούτου σκοπεῖν, καὶ ζητεῖν λόγον [q] ὧν βέλτιον ἔχομεν ἢ λόγου δεῖσθαι, κακῶς κρίνειν ἐστὶ τὸ βέλτιον καὶ [r] τὸ χεῖρον καὶ [r] τὸ πιστὸν καὶ τὸ μὴ πιστὸν καὶ ἀρχὴν καὶ μὴ ἀρχήν. [t]Ομοίως δὲ ἀδύνατον καὶ τὸ 14
πάντα κινεῖσθαι, ἢ τὰ μὲν [s] ἀεὶ κινεῖσθαι τὰ δ' [t] ἀεὶ ἠρεμεῖν. Πρὸς ἅπαντα γὰρ ταῦτα [v] ἱκανὴ μία πίστις· ὁρῶμεν γὰρ ἔνια ὁτὲ μὲν κινούμενα ὁτὲ δ' ἠρεμοῦντα. [w]Ωστε φανερὸν ὅτι ἀδύνατον ὁμοίως τὸ πάντα ἠρεμεῖν καὶ τὸ πάντα κινεῖσθαι συνεχῶς τῷ τὰ μὲν ἀεὶ κινεῖσθαι τὰ δ' ἠρεμεῖν ἀεί. Λοιπὸν οὖν [w] θεωρῆσαι πότερον πάντα τοιαῦτα οἷα κινεῖσθαι καὶ ἠρεμεῖν, ἢ ἔνια μὲν οὕτως, ἔνια δ' ἀεὶ ἠρεμεῖ, ἔνια δ' ἀεὶ κινεῖται· τοῦτο γὰρ δεικτέον ἡμῖν.

Τῶν δὴ κινούντων καὶ κινουμένων τὰ μὲν κατὰ συμβεβηκὸς 4
κινεῖ καὶ κινεῖται, τὰ δὲ καθ' [x] αὑτά, κατὰ συμβεβηκὸς μὲν [y] οἷον ὅσα τε τῷ ὑπάρχειν τοῖς κινοῦσιν ἢ κινουμένοις καὶ [z] τὰ κατὰ μόριον, τὰ δὲ καθ' [a] αὑτά, ὅσα μὴ τῷ ὑπάρχειν τῷ κινοῦντι ἢ [b] τῷ κινουμένῳ, μηδὲ τῷ μόριόν τι αὐτῶν κινεῖν ἢ κινεῖσθαι. Τῶν δὲ καθ' [c] αὑτὰ [d] τὰ μὲν ὑφ' [e] ἑαυτοῦ τὰ δ' 2
ὑπ' ἄλλου, καὶ τὰ μὲν φύσει τὰ δὲ βίᾳ καὶ παρὰ φύσιν· τό τε γὰρ αὐτὸ ὑφ' [f] αὑτοῦ κινούμενον φύσει κινεῖται, οἷον ἕκαστον τῶν ζῴων· κινεῖται γὰρ τὸ ζῷον αὐτὸ ὑφ' αὑτοῦ, ὅσων [g] δ' ἡ ἀρχὴ ἐν αὐτοῖς τῆς κινήσεως, ταῦτα φύσει φαμὲν κινεῖσθαι. Διὸ τὸ μὲν ζῷον ὅλον φύσει [h] αὐτὸ [i] ἑαυτὸ κινεῖ, τὸ 3
[k] μέντοι σῶμα ἐνδέχεται καὶ φύσει καὶ παρὰ φύσιν κινεῖσθαι· [l] διαφέρει γὰρ ὁποίαν τε [m] ἂν κίνησιν κινούμενον τύχῃ καὶ ἐκ ποίου στοιχείου συνεστηκός. [n] Καὶ τῶν ὑπ' ἄλλου κινου-

[m] εἰ ante ὁτὲ om. F. [n] εἶναι om. K. [o] εἶναι om. H.I. [p] τούτων F, τοῦ I. [q] ὧν om. E. [r] τὸ ante χεῖρον et ante πιστὸν om. E. [s] ἀεὶ om. H. [t] ἠρεμεῖν ἀεί H.I. [v] μία ἱκανὴ F.H.I. [w] θεωρητέον F.H.I. [x] αὐτὸ F.H. [y] οἷον om. pr. K. [z] τὰ post καὶ om. E. et pr. K. [a] ἑαυτὰ H.I. [b] τῷ post ἢ om. E.I. [c] ἑαυτὰ F.H. [d] τὰ—ἑαυτοῦ om. E, τὰ om. K. [e] αὐτοῦ I. [f] ἑαυτοῦ H.I. [g] δ'] τε K. [h] αὐτὸ om. I. [i] αὑτὸ F.I.K. [k] μέντοι] δὲ K. [l] διαφέροι H. [m] ἂν om. F.H.I.K. [n] καὶ ante τῶν om. E.

μένων τὰ μὲν φύσει [o] κινεῖται τὰ δὲ παρὰ φύσιν, παρὰ φύσιν
4 μὲν οἷον τὸ γεηρὰ ἄνω καὶ τὸ πῦρ κάτω. [1] Ἔτι [p] δὲ τὰ μόρια
τῶν ζῴων πολλάκις κινεῖται παρὰ φύσιν, παρὰ τὰς θέσεις
καὶ τοὺς τρόπους τῆς κινήσεως· καὶ μάλιστα τὸ ὑπό τινος
κινεῖσθαι τὸ κινούμενον ἐν τοῖς παρὰ φύσιν κινουμένοις ἐστὶ
5 φανερὸν διὰ τὸ δῆλον εἶναι ὑπ' ἄλλου κινούμενον. Μετὰ δὲ
τὰ παρὰ φύσιν [q] τῶν κατὰ φύσιν τὰ αὐτὰ ὑφ' αὑτῶν, οἷον
[r] τὰ ζῷα· οὐ γὰρ τοῦτ' ἄδηλον, εἰ ὑπό τινος κινεῖται, ἀλλὰ
πῶς δεῖ διαλαβεῖν αὐτοῦ τὸ κινοῦν καὶ τὸ κινούμενον· ἔοικε
[s] γὰρ ὥσπερ ἐν τοῖς πλοίοις καὶ τοῖς μὴ φύσει συνισταμέ-
νοις, οὕτω καὶ ἐν τοῖς ζῴοις εἶναι διῃρημένον τὸ κινοῦν καὶ
6 τὸ κινούμενον, καὶ οὕτω τὸ ἅπαν αὐτὸ αὑτὸ [t] κινεῖν. Μά-
λιστα δ' ἀπορεῖται τὸ λοιπὸν τῆς εἰρημένης τελευταίας διαι-
ρέσεως· τῶν γὰρ ὑπ' ἄλλου κινουμένων τὰ μὲν παρὰ φύ-
σιν ἐθήκαμεν κινεῖσθαι, τὰ δὲ λείπεται [v] ἀντιθεῖναι ὅτι
φύσει. Ταῦτα δ' ἐστὶν ἃ τὴν ἀπορίαν παράσχοι ἂν ὑπὸ
τίνος κινεῖται, οἷον τὰ κοῦφα καὶ [w] τὰ βαρέα. Ταῦτα
[x] γὰρ εἰς [y] μὲν τοὺς ἀντικειμένους [z] τόπους βίᾳ κινεῖται, εἰς
δὲ τοὺς οἰκείους, τὸ μὲν κοῦφον ἄνω τὸ δὲ βαρὺ κάτω, φύσει·
τὸ δ' ὑπὸ τίνος οὐκέτι φανερόν, ὥσπερ ὅταν κινῶνται παρὰ
7 φύσιν. Τό τε γὰρ αὐτὰ ὑφ' αὑτῶν φάναι ἀδύνατον· ζωτι-
κόν τε γὰρ τοῦτο καὶ τῶν ἐμψύχων ἴδιον, καὶ ἱστάναι ἂν
[a] ἐδύνατο [b] αὐτά· λέγω δ' οἷον, εἰ τοῦ βαδίζειν αἴτιον αὑτῷ,
καὶ τοῦ μὴ βαδίζειν, ὥστ' [c] ἐπεὶ ἐπ' αὐτῷ τὸ ἄνω φέρεσθαι
8 τῷ πυρί, δῆλον ὅτι ἐπ' αὐτῷ καὶ [d] τὸ κάτω. [2] Ἄλογον δὲ
καὶ τὸ μίαν κίνησιν κινεῖσθαι [e] μόνην ὑφ' αὑτῶν, εἴγε αὐτὰ
ἑαυτὰ κινοῦσιν. [3] Ἔτι πῶς ἐνδέχεται [f] συνεχές τι καὶ συμ-
φυὲς αὐτὸ [g] ἑαυτὸ κινεῖν; [†] Ἡι γὰρ ἓν καὶ συνεχὲς μὴ ἁφῇ,
[h] ταύτῃ ἀπαθές· ἀλλ' ᾗ κεχώρισται, ταύτῃ τὸ μὲν πέφυκε

[o] κινεῖσθαι K. [p] δὲ καὶ τὰ K. [q] τῶν κατὰ φύσιν om. pr. E. [r] τὰ om. E. [s] γὰρ] γὰρ τάχα F. et rc. K. [t] κινεῖ H.I. [v] τιθεῖναι E, ἀντιτι-
θέναι K. [w] τὰ post καὶ om. H. [x] γὰρ] γὰρ ἂν F. et rc. K. [y] μὲν om. H.I. [z] βίᾳ κινεῖται τόπους I. [a] δύναιτο F. [b] αὐτὰ F, αυτο
αυτο E, αὐτὸ ἑαυτὸ K. [c] εἰ E.K. [d] τὸ ante κάτω om. E. [e] μόνον K,
om. I. [f] συμφύες τι καὶ συνεχὲς I. [g] αὐτὸ F.I. [h] ταύτῃ—
κεχώρισται om. pr. E.

ποιεῖν τὸ δὲ πάσχειν. Οὔτ' ἄρα τούτων οὐθὲν αὐτὸ ἑαυτὸ 9
κινεῖ (i συμφυῆ γάρ), οὔτ' ἄλλο συνεχὲς οὐδέν, ἀλλ' ἀνάγκη
k διῃρῆσθαι τὸ κινοῦν ἐν ἑκάστῳ πρὸς τὸ κινούμενον, οἷον ἐπὶ
τῶν ἀψύχων ὁρῶμεν, ὅταν κινῇ τι τῶν ἐμψύχων l αὐτά.
Ἀλλὰ συμβαίνει καὶ m ταῦτα ὑπό τινος n ἀεὶ κινεῖσθαι·
γένοιτο δ' o ἂν φανερὸν διαιροῦσι τὰς αἰτίας. Ἔστι δὲ καὶ 10
ἐπὶ τῶν κινούντων λαβεῖν τὰ εἰρημένα· τὰ μὲν γὰρ παρὰ
φύσιν αὐτῶν κινητικά ἐστιν, οἷον ὁ μοχλὸς οὐ φύσει τοῦ
βάρους κινητικός, τὰ δὲ φύσει, οἷον τὸ ἐνεργείᾳ θερμὸν κινη-
τικὸν τοῦ δυνάμει θερμοῦ. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων
τῶν τοιούτων. Καὶ κινητὸν δ' ὡσαύτως φύσει τὸ δυνάμει 11
ποιὸν ἢ ποσὸν ἢ ποῦ, ὅταν ἔχῃ τὴν ἀρχὴν τὴν τοιαύτην ἐν
p αὑτῷ καὶ μὴ κατὰ συμβεβηκός· εἴη γὰρ q ἂν τὸ r αὐτὸ καὶ
s ποιὸν καὶ ποσόν, ἀλλὰ θατέρῳ θάτερον συμβέβηκε καὶ οὐ
καθ' αὑτὸ ὑπάρχει. Τὸ δὴ πῦρ καὶ ἡ γῆ t κινοῦνται ὑπό
τινος βίᾳ μέν, ὅταν παρὰ φύσιν, φύσει δ', ὅταν εἰς v τὰς
w αὑτῶν x ἐνεργείας δυνάμει ὄντα. Ἐπεὶ δὲ τὸ δυνάμει 12
πλεοναχῶς λέγεται, τοῦτ' αἴτιον τοῦ μὴ φανερὸν εἶναι ὑπὸ
τίνος τὰ τοιαῦτα κινεῖται, οἷον τὸ πῦρ ἄνω καὶ ἡ γῆ κάτω.
Ἔστι δὲ δυνάμει ἄλλως ὁ μανθάνων ἐπιστήμων καὶ ὁ ἔχων
ἤδη καὶ μὴ y θεωρῶν. Ἀεὶ δ', ὅταν ἅμα τὸ ποιητικὸν καὶ 13
z τὸ παθητικὸν ὦσι, γίνεται a ἐνίοτε ἐνεργείᾳ τὸ δυνατόν,
οἷον τὸ μανθάνον ἐκ δυνάμει ὄντος ἕτερον γίνεται δυνάμει.
Ὁ γὰρ ἔχων ἐπιστήμην μὴ θεωρῶν δὲ δυνάμει b ἐστὶν ἐπι-
στήμων πως, ἀλλ' οὐχ ὡς καὶ πρὶν μαθεῖν. Ὅταν δ' οὕτως 14
ἔχῃ, ἐάν c τι μὴ κωλύῃ, ἐνεργεῖ καὶ θεωρεῖ, ἢ ἔσται ἐν τῇ
ἀντιφάσει d καὶ ἀγνοίᾳ. Ὁμοίως δὲ ταῦτ' ἔχει καὶ ἐπὶ τῶν
φυσικῶν· τὸ γὰρ ψυχρὸν δυνάμει θερμόν, ὅταν δὲ e μετα-

i συμφυὴς E. k διαιρεῖσθαι H. l αὐτά om. E. m αὐτὰ H.
n ἀεὶ om. I. o ἂν om. F. p ἑαυτῷ H.I. q ἂν om. F. r αὐτὸ
καὶ] αὐτὸ κατὰ F. s ποσὸν καὶ ποιὸν F.I. t κινεῖται F. v τὴν F.
w ἑαυτῶν K. x ἐνέργειαν F. y θ.] ἐνεργῶν E. z τὸ om. E.
a ἐνίοτε om. I. et pr. F. b ἐστὶν om. H. c μήτι K. d καὶ ἐν
ἀγνοίᾳ H. e μεταβάλλῃ H.

βάλῃ, ἤδη πῦρ, καίει [f] δέ, [g] ἂν μή τι [h] κωλύῃ καὶ ἐμποδίζῃ.
15 [r] Ὁμοίως δ' ἔχει καὶ περὶ τὸ βαρὺ [i] καὶ κοῦφον· [k] τὸ γὰρ
κοῦφον γίνεται ἐκ βαρέος, οἷον ἐξ ὕδατος ἀήρ· τοῦτο γὰρ
δυνάμει πρῶτον, καὶ ἤδη κοῦφον, καὶ ἐνεργήσει [l] γ' εὐθύς,
[m] ἂν μή τι κωλύῃ. [t] Ἐνέργεια δὲ τοῦ κούφου τὸ ποῦ εἶναι
16 καὶ ἄνω, κωλύεται [n] δ', ὅταν [o] ἐν τῷ ἐναντίῳ τόπῳ ᾖ. Καὶ
τοῦθ' ὁμοίως ἔχει καὶ ἐπὶ τοῦ ποσοῦ καὶ [p] ἐπὶ τοῦ ποιοῦ.
Καίτοι τοῦτο [q] ζητεῖται, διὰ τί ποτε κινεῖται εἰς τὸν [r] αὑτῶν
τόπον τὰ [s] κοῦφα καὶ τὰ βαρέα. Αἴτιον δ' ὅτι πέφυκέ ποι,
καὶ τοῦτ' ἐστὶ τὸ κούφῳ [t] καὶ βαρεῖ εἶναι, τὸ μὲν τῷ [v] ἄνω
17 τὸ δὲ τῷ κάτω διωρισμένον. Δυνάμει δ' ἐστὶ κοῦφον καὶ
βαρὺ [w] πολλαχῶς, ὥσπερ εἴρηται· ὅταν [x] τε γὰρ ᾖ ὕδωρ,
δυνάμει [y] γέ πώς ἐστι κοῦφον, καὶ ὅταν ἀήρ, ἔστιν [z] ἔτι
δυνάμει· ἐνδέχεται [a] γὰρ [b] ἐμποδιζόμενον μὴ ἄνω εἶναι, ἀλλ'
[c] ἐὰν ἀφαιρεθῇ τὸ ἐμποδίζον, ἐνεργεῖ καὶ ἀεὶ ἀνωτέρω [d] γί-
18 νεται. [r] Ὁμοίως δὲ καὶ τὸ ποιὸν εἰς τὸ ἐνεργείᾳ εἶναι μετα-
βάλλει· εὐθὺς γὰρ θεωρεῖ τὸ ἐπιστῆμον, [e] ἂν μή τι κωλύῃ.
19 Καὶ τὸ ποσὸν ἐκτείνεται, ἐὰν μή τι κωλύῃ. [r] Ὁ δὲ τὸ ὑφι-
στάμενον καὶ κωλῦον κινήσας ἔστι [f] μὲν ὡς [g] κινεῖ ἔστι δ' ὡς
οὔ, οἷον ὁ τὸν κίονα ὑποσπάσας ἢ [h] ὁ τὸν λίθον ἀφελὼν ἀπὸ
τοῦ ἀσκοῦ [i] ἐν τῷ ὕδατι· κατὰ συμβεβηκὸς γὰρ κινεῖ, ὥσπερ
καὶ [k] ἡ ἀνακλασθεῖσα σφαῖρα οὐχ ὑπὸ τοῦ τοίχου ἐκινήθη
ἀλλ' ὑπὸ τοῦ βάλλοντος. [v] Ὅτι μὲν τοίνυν οὐδὲν τούτων
αὐτὸ [l] κινεῖ ἑαυτό, δῆλον. [t] Ἀλλὰ κινήσεως ἀρχὴν ἔχει, οὐ
20 τοῦ κινεῖν οὐδὲ τοῦ ποιεῖν, ἀλλὰ τοῦ πάσχειν. Εἰ δὴ πάντα
τὰ κινούμενα ἢ φύσει κινεῖται ἢ παρὰ φύσιν καὶ βίᾳ, καὶ τά

[f] δὴ E. [g] ἐὰν H. [h] κωλύση καὶ ἐμποδίση F.H.I. [i] καὶ τὸ κοῦφον K. [k] τὸ γὰρ κοῦφον om. E. et pr. K. [l] γ' om. F. [m] ἐὰν F.H.I.K. [n] δ' om. E. [o] ἐν τῷ om. pr. K. [p] ἐπὶ τοῦ ante ποιοῦ om. F. [q] ζητει E. [r] αὐτὸν E.F. [s] κοῦφά τε καὶ βαρέα H. [t] καὶ] ἢ H. [v] κάτω τὸ δὲ τῷ ἄνω F.H. [w] πλεοναχῶς F.H. [x] τε om. H. et pr. K. [y] γέ] δέ F, om. H. [z] ἔτι] ὡς ἔτι H. [a] γὰρ om. E. [b] ἐμποτιζόμενον E. [c] ἂν K. [d] φέρεται F.H. [e] ἐὰν F.H.I.K. [f] μὲν om. E.F.I.K. [g] κινεῖται pr. F. [h] ὁ om. F.K. [i] ἐν δὲ τῷ E. [k] ἡ om. F. [l] ἑαυτὸ κινεῖ F.

τε βία [m] καὶ παρὰ φύσιν πάντα ὑπό τινος καὶ ὑπ' ἄλλου, τῶν δὲ φύσει πάλιν τά θ' ὑφ' αὑτῶν κινούμενα ὑπό τινος κινεῖται καὶ τὰ μὴ ὑφ' αὑτῶν, οἷον [n] τὰ κοῦφα καὶ τὰ βαρέα (ἢ γὰρ ὑπὸ τοῦ γεννήσαντος καὶ ποιήσαντος κοῦφον ἢ βαρύ, ἢ ὑπὸ τοῦ τὰ ἐμποδίζοντα καὶ κωλύοντα λύσαντος), ἅπαντα [o] ἂν τὰ κινούμενα ὑπό τινος κινοῖτο.

Τοῦτο δὲ διχῶς· ἢ γὰρ οὐ δι' [p] αὐτὸ τὸ κινοῦν, [q] ἀλλὰ 5
δι' ἕτερον ὃ κινεῖ τὸ κινοῦν, ἢ δι' αὐτό, καὶ τοῦτο ἢ πρῶτον μετὰ τὸ ἔσχατον ἢ διὰ πλειόνων, οἷον ἡ βακτηρία κινεῖ τὸν λίθον καὶ κινεῖται ὑπὸ τῆς χειρὸς κινουμένης ὑπὸ τοῦ ἀνθρώπου, οὗτος δ' οὐκέτι τῷ ὑπ' ἄλλου κινεῖσθαι. Ἀμφω [r] δὴ 2
κινεῖν φαμέν, καὶ τὸ τελευταῖον καὶ τὸ πρῶτον τῶν κινούντων, ἀλλὰ μᾶλλον τὸ πρῶτον· ἐκεῖνο γὰρ κινεῖ τὸ τελευταῖον, ἀλλ' οὐ τοῦτο τὸ πρῶτον, καὶ ἄνευ μὲν τοῦ πρώτου τὸ τελευταῖον οὐ κινήσει, ἐκεῖνο δ' ἄνευ τούτου, οἷον ἡ βακτηρία οὐ κινήσει μὴ [s] κινοῦντος τοῦ ἀνθρώπου. Εἰ δὴ ἀνάγκη 3
πᾶν τὸ κινούμενον ὑπό τινός [t] τε κινεῖσθαι, καὶ ἢ [v] ὑπὸ κινουμένου ὑπ' ἄλλου ἢ μή, καὶ εἰ μὲν ὑπ' ἄλλου κινουμένου, ἀνάγκη τι εἶναι κινοῦν ὃ οὐχ ὑπ' ἄλλου πρῶτον, εἰ δὲ [w] τοιοῦτο τὸ πρῶτον, οὐκ ἀνάγκη θάτερον (ἀδύνατον γὰρ εἰς ἄπειρον ἰέναι τὸ κινοῦν καὶ [x] τὸ κινούμενον ὑπ' ἄλλου αὐτό· τῶν γὰρ [y] ἀπείρων οὐκ ἔστιν οὐδὲν πρῶτον)—εἰ οὖν ἅπαν μὲν τὸ κινούμενον ὑπό [z] τινος κινεῖται, τὸ δὲ πρῶτον κινοῦν κινεῖται μέν, οὐχ ὑπ' ἄλλου δέ, ἀνάγκη αὐτὸ ὑφ' [a] αὑτοῦ κινεῖσθαι. Ἔτι δὲ καὶ ὧδε τὸν αὐτὸν τοῦτον λόγον ἔστιν 4
ἐπελθεῖν. Πᾶν [b] γὰρ τὸ κινοῦν τί τε κινεῖ καὶ τινί. Ἡ γὰρ αὐτῷ κινεῖ τὸ κινοῦν ἢ ἄλλῳ, οἷον ἄνθρωπος [c] ἢ αὐτὸς ἢ τῇ βακτηρίᾳ, καὶ ὁ ἄνεμος κατέβαλεν ἢ αὐτὸς ἢ ὁ λίθος ὃν

[m] καὶ τὰ παρὰ K. [n] τά τε κοῦφα F.H.I. [o] ἂν—τινος] ἄρα—τινος ἂν F.H.I. [p] ἑαυτὸ H.I. [q] ἀλλὰ—κινοῦν om. pr. F. [r] δὲ H. [s] κινοῦντος] κινουμένη ὑπὸ F.I. [t] τε] αὐτὸ F. [v] ὑπὸ τοῦ κινουμένου F, ὑπὸ κειμένου I. [w] τοιοῦτον F.H.I.K. [x] τὸ om. E.K. [y] ἀπείρων οὐδέν ἐστι πρ. K. [z] τινος] κινοῦντος K. [a] ἑαυτοῦ H. [b] γὰρ om. K. [c] ἢ αὐτὸς] αὐτῷ F, αὐτὸς I.

ἔωσεν. [4]Ἀδύνατον δὲ κινεῖν ἄνευ τοῦ αὐτὸ [d] αὐτῷ κινοῦντος τὸ ᾧ [e] κινεῖ· [f] ἀλλ' εἰ μὲν [g] αὐτὸ αὐτῷ κινεῖ, οὐκ ἀνάγκη ἄλλο εἶναι ᾧ κινεῖ, [h] ἂν δὲ [i] ᾖ ἕτερον τὸ ᾧ κινεῖ, ἔστι [k] τι ὃ 5 κινήσει οὐ τινὶ ἀλλ' αὐτῷ, ἢ εἰς ἄπειρον [l] εἶσιν. Εἰ οὖν κινούμενόν τι κινεῖ, ἀνάγκη στῆναι καὶ μὴ εἰς ἄπειρον ἰέναι· εἰ γὰρ ἡ βακτηρία κινεῖ τῷ κινεῖσθαι ὑπὸ τῆς χειρός, ἡ χεὶρ [m] κινεῖ [n] τὴν βακτηρίαν· εἰ δὲ καὶ ταύτην [o] ἄλλο κινεῖ, καὶ 6 ταύτην ἕτερόν [p] τι τὸ κινοῦν. [v]Οταν δή [q] τινι κινῇ ἀεὶ ἕτερον, ἀνάγκη εἶναι πρότερον τὸ [r] αὐτὸ αὐτῷ κινοῦν. Εἰ οὖν κινεῖται μὲν τοῦτο, μὴ ἄλλο δὲ τὸ κινοῦν [s] αὐτό, ἀνάγκη [t] αὐτὸ αὐτὸ κινεῖν· ὥστε [v] καὶ κατὰ τοῦτον τὸν λόγον [w] ἤτοι εὐθὺς τὸ κινούμενον ὑπὸ τοῦ αὐτὸ κινοῦντος [x] κινεῖται, ἢ ἔρχεταί ποτε εἰς [y] τὸ τοιοῦτον. Πρὸς δὲ τοῖς εἰρημένοις καὶ 7 ὧδε σκοποῦσι [z] ταὐτὰ συμβήσεται [a] ταῦτα. Εἰ γὰρ ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον πᾶν, ἤτοι τοῦτο [b] ὑπάρχει τοῖς πράγμασι κατὰ συμβεβηκός, ὥστε [c] κινεῖ μὲν κινούμενον, [d] οὐ μέντοι διὰ τὸ κινεῖσθαι αὐτὸ [e] ἀεί, ἢ οὔ, ἀλλὰ καθ' αὑτό. Πρῶτον μὲν οὖν εἰ κατὰ συμβεβηκός, οὐκ ἀνάγκη 8 κινεῖσθαι τὸ [f] κινούμενον. Εἰ δὲ τοῦτο, δῆλον ὡς ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι τῶν ὄντων· οὐ γὰρ ἀναγκαῖον τὸ συμβεβηκός, ἀλλ' ἐνδεχόμενον [g] μὴ εἶναι. [4]Ἐὰν οὖν θῶμεν τὸ δυνατὸν [h] εἶναι, οὐδὲν ἀδύνατον συμβήσεται, ψεῦδος δ' ἴσως. [4]Ἀλλὰ τὸ κίνησιν μὴ εἶναι ἀδύνατον· δέδεικται [i] γὰρ πρότερον ὅτι ἀνάγκη κίνησιν ἀεὶ εἶναι. Καὶ εὐλόγως [k] δὲ τοῦτο 9 συμβέβηκεν. Τρία γὰρ [l] ἀνάγκη εἶναι, τό τε κινούμενον καὶ

[d] αὐτῷ] αὐτὸ E.H.I, αὐτὸ F, om. K. [e] κινεῖται pr. F. [f] ἀλλ'—κινεῖ om. I. [g] αὐτὸ om. K. [h] ἐὰν F.H.I, εἰ K. [i] ᾖ om. K. [k] τι καὶ ὃ E.K. [l] ἴησιν K. [m] κινεῖται F. [n] τῇ βακτηρίᾳ E. [o] ἄλλο τι κινεῖ E. [p] τι om. K. [q] τι E.H. [r] αὐτῷ αὐτὸ F, αὐτῷ αὐτὸ I, αὐτὸ αὐτὸ E.H. [s] αὐτῷ F. et rc. K. [t] αὐτῷ K. [v] καὶ om. H. [w] τὸ κινούμενον ἤτοι εὐθὺς F.H.I. [x] κινήσεται F.H.I. [y] τι F. [z] συμβήσεται ταυτὰ F.H.I, ταυτὰ πάντα ἄτοπα συμβήσεται rc. K. [a] ταῦτα] πάντα F. [b] τοῖς πράγμασιν ὑπάρχει F.H.I. [c] κινεῖν E.H.I. [d] μὴ F.I. [e] αεὶ om. K. et corr. F. [f] κινοῦν F. [g] μὴ] μὲν μὴ I. [h] εἶναι] μὴ εἶναι E.F. [i] γάρ] γὰρ ἤδη τοῦτο H, γὰρ τοῦτο F.I. [k] δὴ K, om. F.H.I. [l] εἶναι ἀνάγκη H.

τὸ κινοῦν καὶ τὸ ᾧ κινεῖ. Τὸ μὲν οὖν κινούμενον ἀνάγκη [m]μὲν κινεῖσθαι, κινεῖν δ' οὐκ ἀνάγκη, τὸ δ' ᾧ κινεῖ, καὶ κινεῖν καὶ κινεῖσθαι· συμμεταβάλλει γὰρ [n]τοῦτο ἅμα καὶ κατὰ τὸ αὐτὸ τῷ κινουμένῳ ὄν. Δῆλον δ' ἐπὶ τῶν κατὰ τόπον κινούντων· ἅπτεσθαι γὰρ ἀλλήλων [o]ἀνάγκη [p]μέχρι τινός· τὸ δὲ κινοῦν [q]οὕτως ὥστ' εἶναι μὴ ᾧ κινεῖ, ἀκίνητον. [1]Ἐπεὶ δ' 10 ὁρῶμεν τὸ ἔσχατον, ὃ κινεῖσθαι μὲν δύναται, κινήσεως δ' ἀρχὴν οὐκ ἔχει, καὶ ὃ κινεῖται [r]μέν, οὐχ ὑπ' ἄλλου δὲ ἀλλ' ὑφ' [s]αὑτοῦ, εὔλογον, ἵνα μὴ ἀναγκαῖον εἴπωμεν, καὶ τὸ τρίτον εἶναι ὃ κινεῖ ἀκίνητον ὄν. Διὸ καὶ [1]Ἀναξαγόρας ὀρθῶς λέγει, τὸν νοῦν ἀπαθῆ φάσκων καὶ ἀμιγῆ εἶναι, ἐπειδή[t]περ κινήσεως ἀρχὴν αὐτὸν [v]ποιεῖ εἶναι· οὕτω γὰρ [w]ἂν μόνως [x]κινοίη ἀκίνητος ὢν καὶ κρατοίη ἀμιγὴς ὤν. [1]Ἀλλὰ μὴν εἰ μὴ κατὰ 11 συμβεβηκὸς ἀλλ' ἐξ ἀνάγκης κινεῖται τὸ κινοῦν, εἰ δὲ μὴ κινοῖτο, οὐκ ἂν κινοίη, ἀνάγκη τὸ κινοῦν, [y]ᾗ κινεῖται, ἤτοι οὕτω κινεῖσθαι [z]ὥστε κατὰ τὸ αὐτὸ εἶδος τῆς κινήσεως, ἢ καθ' ἕτερον. Λέγω [a]δ' ἤτοι τὸ θερμαῖνον καὶ αὐτὸ θερμαίνεσθαι καὶ τὸ ὑγιάζον ὑγιάζεσθαι καὶ τὸ φέρον φέρεσθαι, ἢ τὸ ὑγιάζον φέρεσθαι, τὸ δὲ φέρον [b]αὔξεσθαι. [1]Ἀλλὰ φανε- 12 ρὸν ὅτι ἀδύνατον· δεῖ γὰρ μέχρι τῶν ἀτόμων διαιροῦντα λέγειν, οἷον εἴ τι διδάσκει γεωμετρεῖν, τοῦτο διδάσκεσθαι γεωμετρεῖν τὸ αὐτό, ἢ εἰ ῥιπτεῖ, [c]ῥιπτεῖσθαι τὸν αὐτὸν τρόπον τῆς ῥίψεως· ἢ οὕτω μὲν μή, ἄλλο δ' ἐξ ἄλλου γένους, οἷον τὸ [d]φέρον μὲν [e]αὔξεσθαι, τὸ δὲ τοῦτο αὖξον ἀλλοιοῦσθαι ὑπ' ἄλλου, τὸ δὲ τοῦτο ἀλλοιοῦν ἑτέραν τινὰ [f]κινεῖσθαι κίνησιν. [1]Ἀλλ' ἀνάγκη στῆναι· πεπερασμέναι 13 [g]γὰρ αἱ κινήσεις. Τὸ δὲ πάλιν ἀνακάμπτειν καὶ τὸ ἀλλοιοῦν φάναι φέρεσθαι τὸ αὐτὸ ποιεῖν ἐστὶ κἂν εἰ εὐθὺς ἔφη τὸ φέρον φέρεσθαι καὶ [h]διδάσκεσθαι τὸ διδάσκον. Δῆλον

[m] μὲν om. E.K. [n] τοῦτο] τούτου τὸ E. [o] ἀνάγκη ἀλλήλων οὕτω μέχρι F.H.I. [p] μέχρι γέ τινος F. [q] οὕτως ἀεὶ ὥστ' F. et rc. K. [r] μὲν ὑπ' ἄλλου δέ, ἀλλ' οὐχ ὑφ' F.H.I. [s] ἑαυτοῦ H.I. [t] περ] γε E. [v] εἶναι ποιεῖ E.K. [w] μόνως ἂν E.K. [x] κινοῖ F.I. [y] ᾗ] εἰ E.K. [z] ὥστε] ὥστε τὸ E. [a] δ'] δ' ὅτι F.H.I.K. [b] αὐξάνεσθαι E.K. [c] ῥίπτεσθαι K. [d] φέρον μὲν] φερόμενον E. [e] αὐξάνεσθαι E.K. [f] κίνησιν κινεῖσθαι H. [g] γάρ εἰσιν αἱ F.H.I. [h] τὸ διδάσκον διδάσκεσθαι F.H.I.

γὰρ ὅτι κινεῖται καὶ ὑπὸ τοῦ ἀνωτέρω κινοῦντος τὸ κινούμενον πᾶν, καὶ μᾶλλον ὑπὸ τοῦ προτέρου τῶν κινούντων. Ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον· τὸ διδάσκον γὰρ συμβαίνει μανθάνειν, ὧν τὸ μὲν μὴ ἔχειν τὸ δ' ἔχειν ἐπιστήμην ἀναγ-
14 καῖον. Ἔτι δὲ μᾶλλον τούτων ἄλογον, ὅτι συμβαίνει πᾶν τὸ κινητικὸν κινητόν, εἴπερ ἅπαν ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον· ἔσται γὰρ κινητόν, [i] ὥσπερ εἴ τις [k] λέγοι [l] πᾶν τὸ ὑγιαστικὸν καὶ ὑγιάζον [m] ὑγιαστὸν εἶναι, [n] καὶ τὸ [o] οἰκοδομητικὸν οἰκοδομητόν, ἢ εὐθὺς ἢ διὰ πλειόνων· λέγω δ' οἷον εἰ κινητὸν μὲν ὑπ' ἄλλου πᾶν τὸ [p] κινητικόν, ἀλλ' οὐ ταύτην τὴν κίνησιν κινητὸν ἣν κινεῖ τὸ πλησίον, ἀλλ' ἑτέραν, οἷον τὸ ὑγιαστικὸν [q] μαθητόν· ἀλλὰ τοῦτο ἐπαναβαῖνον ἥξει ποτὲ
15 εἰς τὸ αὐτὸ εἶδος, ὥσπερ εἴπομεν πρότερον. Τὸ μὲν οὖν τούτων ἀδύνατον, τὸ δὲ πλασματῶδες· ἄτοπον [r] γὰρ τὸ ἐξ ἀνάγκης τὸ ἀλλοιωτικὸν αὐξητὸν εἶναι. Οὐκ ἄρα ἀνάγκη [s] ἀεὶ κινεῖσθαι τὸ [t] κινούμενον ὑπ' ἄλλου, καὶ τούτου κινουμένου· στήσεται ἄρα. [u] Ὥστε ἤτοι ὑπὸ ἠρεμοῦντος κινήσεται τὸ κινούμενον πρῶτον, [v] ἢ αὐτὸ [w] ἑαυτὸ κινήσει. Ἀλλὰ μὴν καὶ εἴ γε δέοι σκοπεῖν πότερον αἴτιον κινήσεως καὶ ἀρχὴ τὸ αὐτὸ αὑτὸ κινοῦν ἢ τὸ ὑπ' ἄλλου [x] κινούμενον, ἐκεῖνο πᾶς ἂν θείη· τὸ γὰρ αὐτὸ καθ' αὐτὸ ὂν [y] αἴτιον ἀεὶ πρότερον τοῦ
16 καθ' ἕτερον καὶ [z] αὐτοῦ ὄντος. [u] Ὥστε τοῦτο σκεπτέον λαβοῦσιν ἄλλην ἀρχήν, εἴ τι κινεῖ αὐτὸ αὑτό, πῶς κινεῖ καὶ τίνα τρόπον. Ἀναγκαῖον δὴ [a] τὸ κινούμενον ἅπαν εἶναι διαιρετὸν εἰς [b] ἀεὶ διαιρετά· τοῦτο γὰρ δέδεικται πρότερον ἐν τοῖς καθόλου [c] περὶ φύσεως, ὅτι πᾶν τὸ [d] καθ' αὑτὸ κινούμενον συνεχές. Ἀδύνατον δὴ τὸ αὐτὸ αὑτὸ κινοῦν [e] πάντῃ

[i] ὡς ἐάν E. [k] λέγει F.H. [l] πᾶν] ὅτι F.H.I. [m] ὑγιαστὸν εἶναι] καὶ ὑγιαστὸν ἔσται F.H.I. [n] καὶ τὸ om. pr. E. [o] οἰκοδομητικὸν om. K. et pr. E. [p] κινητόν E. [q] μαθητικόν E.F.I, μαθηματικόν K. [r] γὰρ τὸ ἀλλοιωτικὸν ἐξ ἀνάγκης αὐξητὸν F.H.I. [s] ἀεὶ] εἶναι ἀεὶ H. [t] κινοῦν pr. K. [v] ἢ] ἢ τὸ F. [w] αὐτὸ F.H.I. [x] κινούμενον om. F.H I. [y] ἀεὶ πρότερον αἴτιον E.K. [z] αὐτοῦ αἰτίου ὄντος I. [a] τὸ om. E. [b] ἀεὶ om. E. [c] περὶ] τοῖς περὶ E.K. [d] κινούμενον καθ' αὑτὸ K. [e] πάντι E.

κινεῖν αὐτὸ [f] αὑτό· [g] φέροιτο γὰρ [h] ἂν ὅλον καὶ [i] φέροι τὴν
αὐτὴν φοράν, ἐν ὃν καὶ ἄτομον τῷ εἴδει, [k] καὶ [l] ἀλλοιοῖτο
καὶ ἀλλοιοῖ, ὥστε διδάσκοι ἂν καὶ [m] διδάσκοιτο ἅμα, [n] καὶ
ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγίειαν. Ἔτι διώρισται 17
ὅτι κινεῖται τὸ κινητόν· τοῦτο δ' ἐστὶ δυνάμει κινούμενον,
οὐκ ἐντελεχείᾳ· τὸ δὲ [o] δυνάμει εἰς ἐντελέχειαν βαδίζει.
Ἔστι δ' ἡ κίνησις ἐντελέχεια κινητοῦ ἀτελής. Τὸ δὲ κινοῦν
ἤδη ἐνεργείᾳ ἐστίν, οἷον θερμαίνει τὸ θερμὸν καὶ ὅλως [p] γεν-
νᾷ τὸ ἔχον [q] τὸ εἶδος. Ὥσθ' ἅμα τὸ αὐτὸ [r] κατὰ τὸ αὐτὸ
θερμὸν ἔσται καὶ οὐ θερμόν. Ὁμοίως δὲ καὶ τῶν ἄλλων
ἕκαστον, [s] ὅσων τὸ κινοῦν ἀνάγκη ἔχειν τὸ συνώνυμον. Τὸ
μὲν ἄρα κινεῖ τὸ δὲ κινεῖται τοῦ αὐτὸ [t] αὐτὸ κινοῦντος. Ὅτι 18
δ' [v] οὐκ [w] ἔστιν αὐτὸ αὑτὸ [x] κινεῖν οὕτως [y] ὥσθ' ἑκάτερον
ὑφ' ἑκατέρου κινεῖσθαι, ἐκ τῶνδε φανερόν. Οὔτε γὰρ ἔσται
πρῶτον κινοῦν οὐδέν, εἴ γε [z] ἑκάτερον [a] κινήσει [b] ἑκάτερον· τὸ
γὰρ πρότερον [c] αἰτιώτερον τοῦ κινεῖσθαι τοῦ ἐχομένου καὶ
κινήσει μᾶλλον· διχῶς γὰρ κινεῖν ἦν, τὸ μὲν [d] τὸ ὑπ' ἄλλου
κινούμενον αὐτό, τὸ δ' αὐτῷ· ἐγγύτερον δὲ τὸ πορρώτερον
τοῦ κινουμένου τῆς ἀρχῆς ἢ τὸ μεταξύ. Ἔτι οὐκ ἀνάγκη 19
τὸ κινοῦν κινεῖσθαι εἰ μὴ ὑφ' [e] αὑτοῦ· κατὰ συμβεβηκὸς ἄρα
ἀντικινεῖ θάτερον. [f] Ἔλαβον τοίνυν ἐνδέχεσθαι μὴ κινεῖν·
[g] ἔσται ἄρα τὸ μὲν κινούμενον τὸ δὲ κινοῦν ἀκίνητον. Ἔτι
οὐκ ἀνάγκη τὸ κινοῦν ἀντικινεῖσθαι, ἀλλ' [h] ἢ ἀκινήτόν γέ [i] τι
κινεῖν ἀνάγκη ἢ αὐτὸ [k] ὑφ' αὑτοῦ κινούμενον, εἴπερ ἀνάγκη
ἀεὶ κίνησιν εἶναι. Ἔτι ἦν κινεῖ κίνησιν, [l] καὶ κινοῖτ' ἄν,
ὥστε τὸ θερμαῖνον θερμαίνεται. Ἀλλὰ μὴν οὐδὲ τοῦ πρώ- 20

[f] ἑαυτὸ F.H.I. [g] φέροι E. [h] ἂν om. H. [i] φέροιτο E. [k] καὶ] ἢ E. [l] ἀλλοιοῦτο καὶ K, om. E. [m] μανθάνοι E.K. [n] καὶ ὑγιάζοι om. E. [o] δυνάμει εἰς] κινούμενον εἰς E.K. [p] γίνεται E. [q] τὸ ante εἶδος om. H.I. [r] κατὰ τὸ αὐτὸ om. E. [s] ὅσον pr. K, ὅσα rc. [t] αὐτὸ om. E. [v] οὐκ om. E. [w] ἔστιν] ἐνδέχεται H.I, ἐνδέχεται τὸ F. [x] κινοῦν E.K. [y] ὥσθ'] ὡς καθ' E. [z] ἑκάτερον] αυτο αι τὸ E, αὐτὸ ἑαυτὸ K. [a] κινεῖ F. [b] ἑκάτερον om. I, ante κινήσει ponit H. [c] αἰτιώτερον om. E. [d] τὸ ante ὑπ' om. F.K. [e] ἑαυτοῦ H.I. [f] τοίνυν ἔλαβον pr. K, δεῖ λαβεῖν rc. [g] ἔστιν H, ἔτι E. [h] ἢ om. E. [i] τι om. F.K. [k] ὑπ' αὐτοῦ F. [l] καὶ om. E.K.

τως αὐτὸ αὐτὸ κινοῦντος οὔτε ἓν μόριον οὔτε πλείω κινήσει αὐτὸ αὐτὸ ἕκαστον. Τὸ γὰρ ὅλον εἰ κινεῖται αὐτὸ ὑφ' [m]αὑτοῦ, ἤτοι ὑπὸ τῶν αὐτοῦ τινὸς κινήσεται ἢ ὅλον ὑφ'
21 ὅλου. Εἰ μὲν οὖν τῷ κινεῖσθαί τι μόριον αὐτὸ ὑφ' [m]αὑτοῦ, τοῦτ' ἂν εἴη τὸ πρῶτον αὐτὸ αὐτο κινοῦν· χωρισθὲν [n]γὰρ τοῦτο μὲν κινήσει αὐτὸ [o]αὑτό, τὸ δὲ ὅλον οὐκέτι. Εἰ δὲ ὅλον ὑφ' ὅλου κινεῖται, κατὰ συμβεβηκὸς [p]ἂν [q]ταῦτα κινοῖ αὐτὰ ἑαυτά. [v]Ὥστ' εἰ μὴ [r]ἀναγκαῖον, εἰλήφθω μὴ κινούμενα ὑφ' αὑτῶν. Τῆς ὅλης ἄρα τὸ μὲν κινήσει ἀκίνητον [s]ὂν τὸ δὲ κινηθήσεται· [t]μόνως γὰρ οὕτως οἷόν τέ τι [v]αὐτοκίνητον
22 εἶναι. [w]Ἔτι εἴπερ ἡ ὅλη αὐτὴ αὑτὴν κινεῖ, τὸ μὲν κινήσει αὐτῆς, τὸ δὲ [w]κινήσεται. [x]Ἡ ἄρα A B ὑφ' αὑτῆς τε [x]κινήσεται καὶ ὑπὸ τῆς A. [y]Ἐπεὶ δὲ κινεῖ τὸ μὲν κινούμενον ὑπ' ἄλλου τὸ δ' ἀκίνητον ὄν, καὶ κινεῖται τὸ μὲν κινοῦν τὸ δὲ οὐδὲν κινοῦν, [z]τὸ αὐτὸ αὐτὸ κινοῦν ἀνάγκη ἐξ ἀκινήτου εἶναι κινοῦντος δέ, καὶ ἔτι ἐκ κινουμένου μὴ κινοῦντος δ' ἐξ
23 ἀνάγκης, ἀλλ' ὁπότερ' ἔτυχεν. [w]Ἔστω γὰρ τὸ A κινοῦν μὲν ἀκίνητον δέ, τὸ [a]δὲ B κινούμενόν τε ὑπὸ τοῦ A καὶ κινοῦν τὸ ἐφ' [b]ᾧ Γ, τοῦτο δὲ κινούμενον μὲν ὑπὸ τοῦ B, μὴ κινοῦν δὲ μηδέν· [c]εἴπερ γὰρ καὶ διὰ [d]πλειόνων [e]ἥξει ποτὲ εἰς τὸ Γ, ἔστω δι' ἑνὸς μόνου. Τὸ δὴ ἅπαν [f]A B Γ αὐτὸ [g]ἑαυτὸ κινεῖ. [x]Ἀλλ' [h]ἐὰν ἀφέλω τὸ Γ, τὸ μὲν A B [i]κινήσει αὐτὸ ἑαυτό, τὸ [k]μὲν A κινοῦν τὸ δὲ B κινούμενον, τὸ δὲ Γ οὐ κινήσει αὐτὸ ἑαυτό, οὐδ' ὅλως κινήσεται. [x]Ἀλλὰ μὴν οὐδ' [l]ἡ B Γ κινήσει [m]αὐτὴ ἑαυτὴν ἄνευ τοῦ A· τὸ [n]γὰρ B κινεῖ [o]τῷ [p]κινεῖσθαι ὑπ' ἄλλου, οὐ τῷ ὑφ' [q]αὑτοῦ τινὸς μέρους.
24 Τὸ [r]ἄρα A B μόνον αὐτὸ ἑαυτὸ κινεῖ. [x]Ἀνάγκη ἄρα τὸ

[m] ἑαυτοῦ F.H.I. [n] μὲν γὰρ τοῦτο E. [o] ἑαυτὸ F.H.I. [p] ἂν om. H. [q] κινοῖ ταῦτα F.I, κινεῖ ταῦτα H. [r] ἀναγκαῖα H.I. [s] ὂν om E. [t] μόνως—εἶναι om. E. et pr. K. [v] αὐτὸ κινητὸν H. [w] κινηθήσεται F.I. [x] κινηθήσεται F.H.I. [y] ἐπειδὴ F.H.I.K. [z] ἑαυτὸ F.I. [a] δὲ om. E. [b] οὗ F.H. [c] ἐπεὶ E. [d] πολλῶν E.K. [e] ἥξει—τὸ Γ om. E. [f] A] τὸ a E. [g] αὐτὸ F.K. [h] ἂν K. [i] αὐτὸ ἑαυτὸ κινήσει F.H.I. [k] μὲν γὰρ a F.H. [l] ἡ] τὸ K. [m] αὐτὸ ἑαυτὸ K. [n] γὰρ] δὲ H, μὲν γὰρ F. [o] τῷ] τὸ K. [p] ὑπ' ἄλλου κινεῖσθαι F.H.I. [q] ἑαυτοῦ F.H.I. [r] ἄρα] γὰρ E.

αὐτὸ ἑαυτὸ κινοῦν ἔχειν τὸ κινοῦν ἀκίνητον δέ, [s] καὶ τὸ κινούμενον μηδὲν δὲ κινοῦν ἐξ ἀνάγκης, ἁπτόμενα [t] ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου θάτερον. Εἰ μὲν οὖν συνεχές ἐστι τὸ κινοῦν ([v] τὸ γὰρ κινούμενον [w] ἀναγκαῖον εἶναι συνεχές), [x] δῆλον [y] ὅτι τὸ πᾶν αὐτὸ ἑαυτὸ κινεῖ οὐ τῷ αὐτοῦ [z] τι εἶναι τοιοῦτον οἷον αὐτὸ [a] αὐτὸ κινεῖν, ἀλλ' ὅλον [b] κινεῖ αὐτὸ ἑαυτό, κινούμενόν [c] τε καὶ κινοῦν τῷ αὐτοῦ τι εἶναι τὸ κινοῦν καὶ τὸ κινούμενον. Οὐ γὰρ ὅλον κινεῖ οὐδ' ὅλον [d] κινεῖται, 25
ἀλλὰ κινεῖ [e] μὲν τὸ A, [f] κινεῖται δὲ τὸ B μόνον· [g] τὸ δὲ Γ ὑπὸ τοῦ [h] A οὐκέτι· ἀδύνατον γάρ. [i] Ἀπορίαν δ' ἔχει, [k] ἐὰν ἀφέλῃ τις ἢ τῆς A, εἰ συνεχὲς τὸ κινοῦν μὲν ἀκίνητον δέ, ἢ τῆς B τῆς κινουμένης· ἡ λοιπὴ ἆρα κινήσει τῆς A ἢ τῆς B κινηθήσεται; Εἰ γὰρ τοῦτο, οὐκ ἂν εἴη πρώτως κινουμένη ὑφ' αὐτῆς [k] ἡ A B· ἀφαιρεθείσης γὰρ ἀπὸ τῆς A B, ἔτι κινήσει [l] ἑαυτὴν ἡ λοιπὴ [m] A B. [n] Ἡ δυνάμει μὲν ἑκάτερον 26
οὐδὲν κωλύει ἢ θάτερον τὸ κινούμενον διαιρετὸν εἶναι, ἐντελεχείᾳ δ' ἀδιαίρετον· ἐὰν δὲ διαιρεθῇ, μηκέτι εἶναι ἔχον τὴν αὐτὴν [n] δύναμιν· ὥστ' οὐδὲν κωλύει [o] ἐν διαιρετοῖς δυνάμει [p] πρώτως [q] ἐνεῖναι. Φανερὸν τοίνυν ἐκ τούτων ὅτι ἔστι τὸ 27
[r] πρώτως κινοῦν ἀκίνητον· εἴτε γὰρ εὐθὺς ἵσταται τὸ κινούμενον, ὑπό τινος δὲ κινούμενον, εἰς ἀκίνητον τὸ πρῶτον, εἴτε εἰς κινούμενον μέν, αὐτὸ δ' αὐτὸ κινοῦν καὶ ἱστάν, ἀμφοτέρως συμβαίνει τὸ [s] πρώτως [t] κινοῦν [u] ἐν [v] ἅπασιν εἶναι τοῖς κινουμένοις ἀκίνητον.

[1] Ἐπεὶ δὲ δεῖ κίνησιν [w] ἀεὶ εἶναι καὶ μὴ [x] διαλείπειν, 6
[y] ἀνάγκη [z] εἶναί τι ὃ πρῶτον κινεῖ, [a] εἴτε ἓν εἴτε πλείω, καὶ τὸ

[s] καὶ om. E. [t] ἤτοι] ἢ H, δὲ ἤτοι F.K. [v] τὸ μὲν γὰρ E.K. [w] συνεχὲς ἀναγκαῖον εἶναι F.H.I. [x] δῆλον] ἄψεται ἑκάτερον ἑκατέρου δῆλον I. [y] ὅτι] δὴ ὅτι F.H.I. [z] τι εἶναί τι τ. E. [a] κινεῖν ἑαυτὸ F. [b] κινεῖ] κινεῖν H. [c] δὲ E.F.H.I. [d] κινεῖται ἀλλὰ om. E. [e] μὲν η τὸ E. [f] τὸ δὲ β κινεῖται F.H.I, κινεῖται δὲ η τὸ β E. [g] τὸ δὲ Γ— γάρ om. E. [h] A] β F.H.I. [i] ἂν H. [k] ἡ] ἡ τὸ F. [l] αὐτὴν E.F.H. [m] A] ἡ a K. [n] δύναμιν] φύσιν E.K. [o] ἐν om. I. [p] πρῶτον H. [q] ἓν εἶναι H.I, ἓν εἶναί τι K. τι etiam E. [r] πρῶτον E.K. [s] πρῶτον E.K. [t] κινοῦν om. E.K. [u] ἐν om. pr. K. [v] πᾶσιν E. [w] εἶναι ἀεὶ H.K. [x] διαλιπεῖν K. [y] ἀναγκαῖον F.H.I. [z] τι εἶναι F.H.I. [a] εἴτε οὖν ἓν F.H.

[b] πρῶτον κινοῦν ἀκίνητον. [v]Ἕκαστον μὲν οὖν [c] ἀΐδιον εἶναι τῶν ἀκινήτων μὲν κινούντων δὲ οὐδὲν πρὸς τὸν νῦν λόγον· ὅτι δ' ἀναγκαῖον εἶναί τι [d] τὸ ἀκίνητον μὲν [e] αὐτὸ πάσης [f] τῆς ἐκτὸς μεταβολῆς, καὶ ἁπλῶς [g] καὶ κατὰ συμβεβηκός,
2 κινητικὸν δ' ἑτέρου, δῆλον ὧδε σκοποῦσιν. [w]Ἐστω δ', εἴ τις βούλεται, ἐπί τινων ἐνδεχόμενον ὥστ' εἶναί ποτε καὶ μὴ εἶναι ἄνευ γενέσεως καὶ φθορᾶς· τάχα γὰρ ἀναγκαῖον, εἴ τι ἀμερὲς [h] ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ μή ἐστιν ἄνευ τοῦ μεταβάλ-
3 λειν, ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι [i] πᾶν τὸ τοιοῦτον. Καὶ τῶν ἀρχῶν τῶν ἀκινήτων μὲν κινητικῶν δ' ἐνίας ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι, ἐνδεχέσθω· καὶ τοῦτο. [x]Ἀλλ' οὔ τι [k] πάσας γε δυνατόν· δῆλον γὰρ ὡς αἴτιόν [l] τι τοῖς αὐτὰ ἑαυτὰ κινοῦσίν [m] ἐστι τοῦ ὁτὲ μὲν εἶναι ὁτὲ δὲ [n] μή. Τὸ μὲν γὰρ αὐτὸ ἑαυτὸ κινοῦν [o] ἅπαν ἔχειν ἀνάγκη μέγεθος, εἰ μηδὲν κινεῖται ἀμερές, τὸ δὲ κινοῦν οὐδεμία ἀνάγκη ἐκ τῶν
4 εἰρημένων. Τοῦ [p] δὴ τὰ μὲν γίγνεσθαι τὰ δὲ φθείρεσθαι, καὶ τοῦτ' εἶναι συνεχῶς, οὐδὲν αἴτιον τῶν ἀκινήτων μὲν μὴ ἀεὶ δ' ὄντων, οὐδ' αὖ τῶν ἀεὶ μὲν [q] ταδὶ κινούντων, τούτων δ' ἕτερα. Τοῦ γὰρ ἀεὶ [r] καὶ συνεχοῦς οὔτε ἕκαστον αὐτῶν αἴτιον [s] οὔτε πάντα· τὸ μὲν γὰρ οὕτως ἔχειν ἀΐδιον καὶ ἐξ ἀνάγκης, τὰ δὲ πάντα ἄπειρα, καὶ οὐχ ἅμα πάντα ὄντα.
5 Δῆλον τοίνυν ὅτι, εἰ καὶ μυριάκις ἔνιαι ἀρχαὶ τῶν ἀκινήτων [t] μὲν κινουσῶν δέ, καὶ πολλὰ τῶν αὐτὰ [v] ἑαυτὰ κινούντων φθείρεται, [w] τὰ δ' ἐπιγίνεται, καὶ τόδε μὲν [x] ἀκίνητον ὂν [y] τόδε κινεῖ, ἕτερον δὲ τοδί· ἀλλ' οὐδὲν ἧττον ἔστι τι [z] ὃ περιέχει, καὶ τοῦτο παρ' ἕκαστον, ὅ ἐστιν αἴτιον τοῦ τὰ μὲν εἶναι τὰ δὲ μὴ καὶ τῆς συνεχοῦς μεταβολῆς· καὶ τοῦτο μὲν
6 τούτοις, ταῦτα δὲ τοῖς ἄλλοις αἴτια κινήσεως. Εἴπερ οὖν

[b] πρώτως H. [c] ἴδιον E. [d] τὸ] τὸ αἰεὶ K. [e] αὐτὸ καὶ πάσης K. [f] τῆς] τε F, om. E.K. [g] καὶ post ἁπλῶς om. E. [h] ὁ μὲν ἔστιν ὁ δὲ E. [i] πᾶν—μὴ εἶναι om. F. [k] γε πάσας E.F. [l] τι om. E. [m] ἐστι τι τοῦ E. [n] μή] μὴ εἶναι F.H.I. [o] ἀνάγκη ἅπαν μέγεθος ἔχειν F.H.I. [p] δὲ E. [q] ταδὶ] αὐτὰ E. [r] καὶ om. F. [s] οὔτε πάντα αἴτια E.K. [t] μὲν om. E. [v] αὐτὰ F.H. [w] τὰ] τινὰ H. [x] ἀεικίνητον F. [y] τόδε δὲ κινεῖ E. [z] ὃ] ὃ καὶ E.

ἀΐδιος ἡ κίνησις, ἀΐδιον καὶ τὸ κινοῦν ἔσται πρῶτον, εἰ ἕν· εἰ δὲ πλείω, [a] πλείω τὰ ἀΐδια. [h]Εν δὲ μᾶλλον ἢ πολλὰ καὶ πεπερασμένα ἢ ἄπειρα δεῖ νομίζειν. Τῶν αὐτῶν γὰρ συμβαινόντων ἀεὶ τὰ πεπερασμένα μᾶλλον ληπτέον· ἐν γὰρ τοῖς φύσει [b] δεῖ τὸ πεπερασμένον καὶ [c] τὸ βέλτιον, [d] ἂν ἐνδέχηται, ὑπάρχειν μᾶλλον. [i]Ικανὸν δὲ καὶ [e] εἰ ἕν, ὃ πρῶτον τῶν ἀκινήτων ἀΐδιον [f] ὂν ἔσται ἀρχὴ τοῖς ἄλλοις κινήσεως. Φα- 7
νερὸν δὲ καὶ ἐκ τοῦδε ὅτι ἀνάγκη εἶναί τι [g] ἓν καὶ ἀΐδιον τὸ πρῶτον κινοῦν. Δέδεικται γὰρ ὅτι ἀνάγκη [h] ἀεὶ κίνησιν εἶναι. Εἰ δὲ [i] ἀεί, ἀνάγκη [k] καὶ συνεχῆ εἶναι· καὶ γὰρ τὸ [l] ἀεὶ συνεχές, τὸ δ' ἐφεξῆς οὐ συνεχές. [j]Αλλὰ μὴν εἴ [m] γε συνεχής, μία. Μία δ', [n] εἰ [o] ὑφ' ἑνός τε τοῦ κινοῦντος [p] καὶ ἑνὸς τοῦ κινουμένου· εἰ [q] γάρ τι ἄλλο καὶ ἄλλο κινήσει, οὐ συνεχὴς ἡ ὅλη κίνησις, ἀλλ' ἐφεξῆς. [k]Εκ τε δὴ τούτων 8
πιστεύσειεν ἄν τις εἶναί τι πρῶτον ἀκίνητον, καὶ πάλιν ἐπιβλέψας ἐπὶ τὰς ἀρχὰς τῶν κινούντων. Τὸ μὲν δὴ εἶναι ἄττα τῶν [r] ὄντων ἃ ὁτὲ μὲν κινεῖται ὁτὲ δ' ἠρεμεῖ φανερόν. Καὶ διὰ [s] τούτου γέγονε δῆλον ὅτι οὔτε πάντα κινεῖται οὔτε πάντα ἠρεμεῖ οὔτε τὰ μὲν ἀεὶ ἠρεμεῖ τὰ δ' [t] ἀεὶ κινεῖται· τὰ γὰρ ἐπαμφοτερίζοντα καὶ δύναμιν ἔχοντα τοῦ [v] ὁτὲ μὲν κινεῖσθαι [w] ὁτὲ δ' ἠρεμεῖν δείκνυσι περὶ αὐτῶν. [l]Επεὶ δὲ τὰ μὲν τοι- 9
αῦτα δῆλα πᾶσι, βουλόμεθα δὲ δεῖξαι καὶ τοῖν δυοῖν [x] ἑκατέραν τὴν φύσιν, ὅτι ἔστι τὰ μὲν ἀεὶ ἀκίνητα τὰ δ' ἀεὶ κινούμενα, προϊόντες δ' ἐπὶ τοῦτο καὶ θέντες ἅπαν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τοῦτ' εἶναι ἢ ἀκίνητον ἢ κινούμενον, [y] καὶ κινούμενον [z] ἢ ὑφ' [a] αὑτοῦ ἢ ὑπ' ἄλλου ἀεί, [b] προήλθομεν ἐπὶ τὸ λαβεῖν ὅτι τῶν κινουμένων [c] ἐστὶν ἀρχὴ [d] κινουμέ-

[a] τὰ ἀΐδια πλείω K. [b] δεῖ] δὴ E. [c] τὸ post καὶ om. E. [d] ἐὰν F.H.I.K. [e] εἰ om. E.K. [f] ὂν om. E. [g] ἓν] ἀεὶ H. [h] κίνησιν ἀεὶ εἶναι H I, εἶναι κίνησιν ἀεὶ F. [i] ἀεί] δεῖ F H. et pr. I, δεῖ ἀεὶ κίνητιν εἶναι rc. K. [k] καὶ ante σ. om. E.K. [l] ἀεὶ] ἀεὶ εἶναι F. et rc. K. [m] γε om. F.I. [n] εἰ] ἡ E.I.K, om. H. [o] ἐφ' I. [p] καὶ ὑφ' ἑνὸς E. [q] γάρ τι] τι γὰρ I, γὰρ καὶ F, γὰρ E.K. [r] ὄντων om. K. [s] τοῦτο γεγονέναι E. [t] ἀεὶ om. I. [v] ὁτὲ μὲν om. E.K. [w] ὁτὲ δ'] καὶ E.K. [x] ἑκάτερον E. [y] καὶ κινούμενον om. F. [z] ἢ om. E. [a] ἑαυτοῦ H. [b] προσήλθομεν E. [c] ἐστὶν om. E. [d] κινουμένων K.

νων [e]μὲν ὃ αὐτὸ ἑαυτὸ κινεῖ, πάντων δὲ τὸ ἀκίνητον· ὁρῶμεν δὲ καὶ φανερῶς ὄντα τοιαῦτα ἃ κινεῖ αὐτὰ ἑαυτά, οἷον τὸ τῶν
10 ἐμψύχων καὶ τὸ τῶν ζῴων γένος. Ταῦτα [f]δὴ καὶ δόξαν παρεῖχε μή ποτ' [g]ἐνδέχεται κίνησιν ἐγγίνεσθαι μὴ οὖσαν ὅλως, διὰ τὸ ἐν τούτοις [h]ὁρᾶν ἡμᾶς τοῦτο συμβαῖνον· ἀκίνητα γάρ [i]ποτε ὄντα κινεῖται πάλιν, ὡς δοκεῖ. Τοῦτο δὴ δεῖ λαβεῖν, ὅτι μίαν κίνησιν αὐτὰ κινεῖ, καὶ ὅτι ταύτην οὐ κυρίως· οὐ γὰρ ἐξ αὐτοῦ τὸ αἴτιον, ἀλλ' ἔνεισιν ἄλλαι κινήσεις φυσικαὶ τοῖς ζῴοις, ἃς οὐ κινοῦνται δι' [k]αὑτῶν, οἷον αὔξησις φθίσις ἀναπνοή, ἃς κινεῖται τῶν ζῴων ἕκαστον ἠρεμοῦν
11 καὶ οὐ κινούμενον τὴν ὑφ' αὑτοῦ κίνησιν. [l]Τούτου δ' αἴτιον τὸ περιέχον καὶ πολλὰ τῶν εἰσιόντων, οἷον [m]ἐνίων τροφή· πεπτομένης γὰρ καθεύδουσι, διακρινομένης δ' ἐγείρονται καὶ κινοῦσιν ἑαυτούς, τῆς πρώτης ἀρχῆς ἔξωθεν οὔσης. Διὸ οὐκ ἀεὶ κινοῦνται συνεχῶς ὑφ' [n]αὑτῶν· ἄλλο γὰρ τὸ κινοῦν αὐτὸ κινούμενον καὶ μεταβάλλον πρὸς ἕκαστον τῶν κινούντων
12 [o]ἑαυτά. [q]Ἐν πᾶσι δὲ τούτοις κινεῖται τὸ [p]κινοῦν πρῶτον καὶ [q]τὸ αἴτιον τοῦ αὐτὸ ἑαυτὸ κινεῖν ὑφ' [r]αὑτοῦ, κατὰ συμβεβηκὸς μέντοι· μεταβάλλει γὰρ τὸν τόπον τὸ σῶμα, ὥστε καὶ [s]τὸ ἐν τῷ σώματι ὂν καὶ [t]τὸ ἐν τῇ μοχλείᾳ κινοῦν ἑαυτό. [u]Ἐξ ὧν ἔστι πιστεῦσαι ὅτι εἴ τί ἐστι τῶν ἀκινήτων μὲν κινούντων δὲ καὶ [v]αὐτῶν [w]κινουμένων κατὰ συμβεβηκός,
13 ἀδύνατον συνεχῆ κίνησιν [x]κινεῖν. [y]Ὥστ' εἴπερ ἀνάγκη συνεχῶς εἶναι κίνησιν, εἶναί [y]τι δεῖ τὸ πρῶτον κινοῦν ἀκίνητον, καὶ [z]μὴ κατὰ συμβεβηκός, [a]εἰ μέλλει, καθάπερ [b]εἴπομεν, [c]ἔσεσθαι ἐν τοῖς οὖσιν ἄπαυστός [d]τις καὶ ἀθάνατος κίνησις, καὶ μένειν τὸ ὂν αὐτὸ [e]ἐν αὑτῷ καὶ ἐν τῷ αὐτῷ· τῆς γὰρ

[e] μὲν om. E. [f] δὴ om. E. [g] ἐνδέχηται H. [h] ἡμᾶς ὁρᾶν F.H.I. [i] ὄντα ποτὲ F.H. [k] ἑαυτῶν F.H. [l] τούτων F.K. [m] ἐνίων ἡ τροφή· πεπτομένων μὲν γὰρ K. [n] ἑαυτῶν F.H.I. [o] ἑαυτό H.I. [p] πρώτως κινοῦν F. [q] τὸ om. E. [r] ἑαυτοῦ F. [s] τὸ ante ἐν om. I. [t] τὸ ἐν] ὡς rc. K, om. H.I.K. [u] αὐτὸ E, ἑαυτὰ K. [v] κινουμένων om. E.K. [x] κινεῖν om. E. [y] τι] τι πρῶτον I. [z] μὴ om. H. [a] εἰ μέλλει om. E. [b] εἴπομεν ἔμπροσθεν ἔσεσθαι E. [c] ἔσεσθαι ante καθάπερ K, post οὖσιν F.H.I. [d] τις om. E, post ἀθάνατος ponit I. [e] ἐν αὑτῷ] ἑαυτῷ I, ἐν ἑαυτῷ F.

ἀρχῆς μενούσης ἀνάγκη καὶ τὸ πᾶν [f]μένειν συνεχὲς ὂν πρὸς
τὴν ἀρχήν. Οὐκ ἔστι δὲ τὸ αὐτὸ [g]τὸ κινεῖσθαι κατὰ συμ- 14
βεβηκὸς ὑφ' [h]αὑτοῦ καὶ ὑφ' ἑτέρου· τὸ μὲν γὰρ ὑφ' ἑτέρου
[i]ὑπάρχει καὶ τῶν ἐν τῷ οὐρανῷ ἐνίαις ἀρχαῖς, ὅσα πλείους
φέρεται φοράς, θάτερον δὲ τοῖς φθαρτοῖς μόνον. [j]Ἀλλὰ
μὴν εἴ [k]γέ ἐστί τι ἀεὶ [l]τοιοῦτον, κινοῦν [m]μέν τι ἀκίνητον
δὲ [n]αὐτὸ καὶ ἀΐδιον, ἀνάγκη καὶ τὸ πρῶτον [o]ὑπὸ τούτου
κινούμενον ἀΐδιον εἶναι, [p]Ἔστι δὲ τοῦτο δῆλον μὲν καὶ ἐκ 15
τοῦ μὴ ἂν ἄλλως εἶναι γένεσιν καὶ φθορὰν καὶ μεταβολὴν
τοῖς ἄλλοις, εἰ μή τι κινήσει κινούμενον· τὸ μὲν [q]γὰρ ἀκίνη-
τον [q]τὴν αὐτὴν ἀεὶ [r]κινήσει τὸν αὐτὸν τρόπον καὶ μίαν κίνη-
σιν, ἅτε οὐδὲν αὐτὸ μεταβάλλον πρὸς τὸ κινούμενον· [s]τὸ δὲ
κινούμενον [t]ὑπὸ τοῦ κινουμένου μέν, ὑπὸ τοῦ ἀκινήτου [v]δὲ
κινουμένου [w]ἤδη, διὰ τὸ ἄλλως καὶ ἄλλως ἔχειν πρὸς τὰ
πράγματα, οὐ τῆς αὐτῆς ἔσται κινήσεως αἴτιον, ἀλλὰ διὰ τὸ
[x]ἐν ἐναντίοις εἶναι τόποις ἢ εἴδεσιν ἐναντίως παρέξεται κινού-
μενον ἕκαστον τῶν ἄλλων, [y]καὶ ὁτὲ μὲν ἠρεμοῦν ὁτὲ δὲ
κινούμενον. Φανερὸν [z]δὴ γέγονεν ἐκ τῶν εἰρημένων καὶ ὃ 16
κατ' ἀρχὰς ἠποροῦμεν, τί δή ποτε οὐ πάντα [a]ἢ [b]κινεῖται ἢ
ἠρεμεῖ, ἢ τὰ μὲν [c]κινεῖται ἀεὶ τὰ δ' [d]ἀεὶ ἠρεμεῖ, ἀλλ' ἔνια
ὁτὲ μὲν ὁτὲ δ' οὔ. Τούτου γὰρ τὸ αἴτιον δῆλόν ἐστι νῦν,
ὅτι τὰ μὲν ὑπὸ ἀκινήτου κινεῖται ἀϊδίου, διὸ ἀεὶ [e]μεταβάλ-
λει, τὰ δ' ὑπὸ κινουμένου καὶ μεταβάλλοντος, ὥστε [f]καὶ αὐτὰ
ἀναγκαῖον μεταβάλλειν. Τὸ δ' ἀκίνητον, ὥσπερ εἴρηται,
[g]ἅτε ἁπλῶς καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ διαμένον, μίαν καὶ
ἁπλῆν κινήσει κίνησιν.

Οὐ μὴν ἀλλὰ καὶ ἄλλην ποιησαμένοις ἀρχὴν μᾶλλον 7

[f] *συνεχὲς ὂν μένειν* I. [g] *τὸ* ante *κινεῖσθαι* om. E. [h] *ἑαυτοῦ* F.H.I. [i] *ὑπάρχειν* I. [k] *γε* om. F.H.I. [l] *τοιοῦτο* H.I. [m] *μέντοι* I. [n] *καὶ αὐτὸ* I. [o] *ὑπὸ τούτου* om. F, post *κινούμενον* ponunt H.I. [p] *γὰρ*] *αρ* E. [q] *τὴν αὐτὴν* om. E.K. [r] *τὸν αὐτὸν κινήσει* K. [s] *τὸ δὲ κινού-μενον* om. E. [t] *ὑπὸ τοῦ κινουμένου μὲν* om. E.K. [v] *δὲ*] *ἢ* K. [w] *ἤδη* post *ἔχειν* E. [x] *ἐν* om. E. [y] *καὶ* om. I. [z] *δὲ* E. [a] *ἢ* om. H. [b] *ἠρεμεῖ ἢ κινεῖται* F.H.I. [c] *ἀεὶ κινεῖται* F.H.I. [d] *ἀεὶ* ante *ἠρ.* om. E. [e] *μεταβ.*] *κινεῖται* E.K. [f] *ἀναγκαῖον καὶ αὐτὰ* I. [g] *ἅτε* om. E.

[h] ἔσται περὶ τούτων φανερόν. Σκεπτέον γὰρ πότερον [i] ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ ἢ οὔ, καὶ εἰ ἐνδέχεται, τίς αὕτη, καὶ τίς πρώτη τῶν κινήσεων· δῆλον γὰρ ὡς εἴπερ ἀναγκαῖον [k] μὲν ἀεὶ κίνησιν [l] εἶναι, πρώτη δ' ἥδε καὶ συνεχής, ὅτι τὸ πρῶτον κινοῦν κινεῖ ταύτην τὴν κίνησιν, [m] ἣν ἀναγκαῖον
2 μίαν καὶ τὴν αὐτὴν εἶναι [n] καὶ συνεχῆ καὶ πρώτην. Τριῶν δ' οὐσῶν κινήσεων, τῆς τε [o] κατὰ μέγεθος καὶ τῆς [p] κατὰ πάθος καὶ τῆς κατὰ τόπον, ἣν καλοῦμεν φοράν, ταύτην ἀναγκαῖον εἶναι [q] πρώτην. [r] Ἀδύνατον γὰρ αὔξησιν εἶναι ἀλλοιώσεως μὴ [r] προϋπαρχούσης· τὸ γὰρ [s] αὐξανόμενον ἔστι μὲν ὡς ὁμοίῳ αὐξάνεται, ἔστι δ' ὡς ἀνομοίῳ· [t] τροφὴ γὰρ λέγεται τῷ
3 ἐναντίῳ τὸ ἐναντίον. [v] Προσγίνεται δὲ πᾶν γινόμενον ὅμοιον ὁμοίῳ. [r] Ἀνάγκη οὖν ἀλλοίωσιν [w] εἶναι τὴν εἰς τἀναντία μεταβολήν. [r] Ἀλλὰ μὴν εἴ γε ἀλλοιοῦται, [x] δεῖ τι εἶναι τὸ ἀλλοιοῦν καὶ ποιοῦν ἐκ τοῦ δυνάμει θερμοῦ [y] τὸ ἐνεργείᾳ θερ-
4 μόν. Δῆλον [z] οὖν ὅτι τὸ κινοῦν οὐχ ὁμοίως ἔχει, ἀλλ' [a] ὁτὲ μὲν ἐγγύτερον ὁτὲ δὲ πορρώτερον τοῦ ἀλλοιουμένου ἐστίν. ταῦτα δ' ἄνευ φορᾶς οὐκ ἐνδέχεται ὑπάρχειν. [b] Εἰ ἄρα [c] ἀνάγκη ἀεὶ κίνησιν εἶναι, ἀνάγκη καὶ φορὰν [d] ἀεὶ εἶναι πρώτην τῶν κινήσεων, καὶ [e] φορᾶς, εἰ ἔστιν ἡ μὲν πρώτη ἡ δ'
5 ὑστέρα, τὴν πρώτην. [r] Ἔτι δὲ πάντων τῶν παθημάτων ἀρχὴ πύκνωσις καὶ μάνωσις· καὶ γὰρ βαρὺ καὶ κοῦφον καὶ μαλακὸν καὶ σκληρὸν καὶ θερμὸν καὶ ψυχρὸν πυκνότητες δοκοῦσι καὶ ἀραιότητες εἶναί τινες. Πύκνωσις δὲ καὶ μάνωσις σύγκρισις καὶ διάκρισις, καθ' [f] ἃς γένεσις καὶ φθορὰ λέγεται τῶν οὐσιῶν. Συγκρινόμενα δὲ καὶ διακρινόμενα ἀνάγκη κατὰ τόπον μεταβάλλειν. [r] Ἀλλὰ μὴν καὶ τοῦ αὐξανομένου [g] καὶ

[h] ἔσται om. I. [i] εἶναί τινα κίνησιν ἐνδέχεται H.I. et omisso εἶναι F. [k] κίνησιν μὲν αἰεὶ I. [l] εἶναι om. K. [m] ἣν om. E. [n] καὶ post εἶναι E.K. [o] κατὰ τὸ μέγεθος F.H.I. [p] κατὰ τὸ πάθος H.I. [q] πρότον E. [r] ὑπαρχούσης E. [s] αὐξόμενον F. [t] τὸ γὰρ ἐναντίον τροφὴ λέγεται τῷ ἐναντίῳ F.H.I. [v] προσγίνεσθαι K. [w] εἶναι post μεταβολήν H. [x] δεήσει εἶναι F.H.I. [y] τὸ om. E.K. [z] οὖν] οὖν ἐστὶν F.H.I. [a] ὁτὲ—ὁτὲ] ποτὲ—ποτὲ F, τοτὲ—τοτὲ H.I. [b] εἰ om. E. [c] κίνησιν ἀεὶ ἀνάγκη H. [d] εἶναι ἀεὶ H. [e] vocis φορᾶς litteram s corr. E. [f] ἃς] ἃς καὶ F. [g] καὶ ante φθ. om. F.

φθίνοντος μεταβάλλει κατὰ τόπον τὸ μέγεθος. [f]Ἔτι καὶ 6
[h] ἐντεῦθεν ἐπισκοποῦσιν ἔσται φανερὸν ὅτι ἡ φορὰ πρώτη. Τὸ γὰρ πρῶτον ὥσπερ [i] καὶ [k] ἐπὶ τῶν ἄλλων, οὕτω καὶ [l] ἐπὶ κινήσεως [m] ἂν [n] λέγοιτο πλεοναχῶς. Λέγεται δὲ πρότερον, οὗ τε μὴ ὄντος οὐκ ἔσται τἆλλα, ἐκεῖνο δ' ἄνευ τῶν ἄλλων, καὶ τὸ τῷ χρόνῳ, καὶ [o] τὸ κατ' οὐσίαν. [v]Ὥστ' ἐπεὶ κίνησιν [p] μὲν 7
ἀναγκαῖον εἶναι συνεχῶς, [q] εἴη δ' ἂν συνεχῶς ἢ [r] ἡ [s] συνεχὴς ἢ ἡ ἐφεξῆς, μᾶλλον δ' ἡ συνεχής, καὶ βέλτιον συνεχῆ ἢ ἐφεξῆς εἶναι, τὸ δὲ βέλτιον ἀεὶ ὑπολαμβάνομεν ἐν τῇ φύσει ὑπάρχειν, [t] ἂν [v] ᾖ δυνατόν, δυνατὸν [w] δὲ συνεχῆ εἶναι (δειχθήσεται δ' ὕστερον· νῦν δὲ τοῦθ' ὑποκείσθω), καὶ ταύτην οὐδεμίαν [x] ἄλλην οἷόν τ' εἶναι [y] ἀλλ' ἢ φοράν, ἀνάγκη τὴν φορὰν εἶναι πρώτην. Οὐδεμία γὰρ ἀνάγκη οὔτε [z] αὔξεσθαι οὔτε ἀλλοι- 8
οῦσθαι τὸ φερόμενον, οὐδὲ δὴ γίνεσθαι ἢ φθείρεσθαι· τούτων δὲ οὐδεμίαν ἐνδέχεται τῆς συνεχοῦς μὴ οὔσης, ἣν κινεῖ τὸ πρῶτον κινοῦν. [f]Ἔτι χρόνῳ [a] πρώτην· τοῖς γὰρ ἀϊδίοις [b] μό- 9
νον ἐνδέχεται κινεῖσθαι ταύτην. [i]Ἀλλ' ἐφ' [c] ἑνὸς μὲν [d] ὁτουοῦν τῶν ἐχόντων γένεσιν τὴν φορὰν ἀναγκαῖον ὑστάτην [e] εἶναι τῶν κινήσεων· μετὰ γὰρ τὸ γενέσθαι πρῶτον [f] ἀλλοίωσις καὶ αὔξησις, φορὰ δ' ἤδη [g] τετελειωμένων κίνησίς ἐστιν. [i]Ἀλλ' ἕτερον ἀνάγκη κινούμενον εἶναι κατὰ φορὰν πρότερον, 10
ὃ καὶ τῆς γενέσεως αἴτιον ἔσται τοῖς γινομένοις, οὐ γινόμενον, οἷον τὸ γεννῆσαν τοῦ γεννηθέντος, [h] ἐπεὶ δόξειέ [i] γ' ἂν ἡ γένεσις εἶναι πρώτη τῶν κινήσεων διὰ τοῦτο, ὅτι [k] γενέσθαι δεῖ τὸ πρᾶγμα [l] πρῶτον. Τὸ δ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γινομένων οὕτως ἔχει, ἀλλ' ἕτερον ἀναγκαῖον πρότερόν τι

[h] *ἐνταῦθα* F. [i] *καὶ* om. E.K. [k] *ἐφ' ἑτέρων* E.K. [l] *ἐπὶ τῆς κ.* F. [m] *ἂν* om. E.H.K. [n] *λέγεται* K, *λέγοιτο πρῶτον* F.I. [o] *τὸ* ante *κατ'* om. E. [p] *μὲν* om. H. [q] *εἴη δ' ἂν συνεχῶς ἢ* om. E. [r] *ἡ* om. K. [s] *συνεχὴς οὖσα ἢ εἰ ἐφ.* K, *συνεχὴς ἢ ἐφεξῆς* E. [t] *ἐὰν* F.H.I. [v] *εἴη* E. [w] *δὲ*] *δ' ἐστὶ* F.H.I. [x] *ἄλλην* om. F.H.I. [y] *ἀλλὰ φ.* F.H.I.K. [z] *αὐξάνεσθαι* F.H.I.K. [a] *πρώτη* E. [b] *ἐνδέχεται μόνον* F.I, *ἐνδέχεται μόνην* H. [c] *ἓν* I. [d] *τῶν ἐχόντων ὁτουοῦν* F. [e] *τῶν κινήσεων εἶναι* E. [f] *ἀλλοίωσιν καὶ αὔξησιν* F, *αὔξησις καὶ ἀλλοίωσις* K. [g] *τελειουμένων* H, *τελουμένων* F.I. [h] *ἐπειδὴ* F. [i] *γ'*] *δ'* H, om. F.I. [k] *γίνεσθαι* H. [l] *πρότερον* K.

κινεῖσθαι τῶν γινομένων [m] ὂν αὐτὸ καὶ μὴ γινόμενον, καὶ τού-
11 του ἕτερον πρότερον. Ἐπεὶ δὲ γένεσιν ἀδύνατον εἶναι πρώ-
την (πάντα γὰρ ἂν εἴη τὰ κινούμενα [n] φθαρτά), δῆλον ὡς
οὐδὲ τῶν ἐφεξῆς κινήσεων οὐδεμία [o] προτέρα· λέγω δ' ἐφεξῆς
αὔξησιν, εἶτ' ἀλλοίωσιν καὶ φθίσιν καὶ φθοράν· πᾶσαι γὰρ
ὕστεραι γενέσεως, ὥστ' εἰ μηδὲ γένεσις προτέρα φορᾶς, οὐδὲ
12 τῶν ἄλλων οὐδεμία μεταβολῶν. [v]Ολως [p] δὲ φαίνεται τὸ γινό-
μενον ἀτελὲς καὶ ἐπ' ἀρχὴν ἰόν, ὥστε τὸ τῇ γενέσει ὕστερον
τῇ φύσει πρότερον εἶναι. Τελευταῖον δὲ φορὰ πᾶσιν ὑπάρ-
χει τοῖς ἐν γενέσει. Διὸ τὰ μὲν ὅλως ἀκίνητα τῶν [q] ζώντων
δι' ἔνδειαν [r]τοῦ [s] ὀργάνου, οἷον τὰ φυτὰ καὶ πολλὰ γένη τῶν
13 ζῴων, τοῖς δὲ τελειουμένοις [t]ὑπάρχει. [v]Ωστ' εἰ μᾶλλον
ὑπάρχει φορὰ τοῖς μᾶλλον ἀπειληφόσι τὴν φύσιν, [v] καὶ ἡ
κίνησις [w] αὕτη πρώτη τῶν ἄλλων ἂν εἴη κατ' οὐσίαν, διά τε
ταῦτα καὶ διότι ἥκιστα τῆς οὐσίας ἐξίσταται τὸ κινούμενον
τῶν κινήσεων ἐν τῷ φέρεσθαι· κατὰ μόνην γὰρ οὐδὲν μετα-
βάλλει τοῦ εἶναι, ὥσπερ ἀλλοιουμένου μὲν τὸ ποιόν, αὐξανο-
μένου δὲ καὶ φθίνοντος τὸ ποσόν. Μάλιστα δὲ δῆλον ὅτι
τὸ κινοῦν αὐτὸ αὑτὸ μάλιστα ταύτην κινεῖ κυρίως τὴν κατὰ
τόπον· καίτοι φαμὲν τοῦτ' εἶναι [x]τῶν κινουμένων [y]καὶ κινούν-
των ἀρχὴν καὶ πρῶτον τοῖς κινουμένοις τὸ [z] αὐτὸ [a] αὑτὸ
κινοῦν.

14 [v]Ὅτι μὲν τοίνυν τῶν κινήσεων ἡ φορὰ πρώτη, φανερὸν ἐκ
τούτων· τίς δὲ φορὰ πρώτη, νῦν [b]δεικτέον. [v]Αμα δὲ καὶ [c]τὸ
νῦν καὶ [d]τὸ πρότερον ὑποτεθέν, ὅτι ἐνδέχεταί τινα κίνησιν
εἶναι συνεχῆ καὶ ἀΐδιον, φανερὸν ἔσται τῇ αὐτῇ μεθόδῳ. [1]Ὅτι
μὲν οὖν τῶν ἄλλων κινήσεων οὐδεμίαν ἐνδέχεται συνεχῆ εἶναι,
15 ἐκ τῶνδε φανερόν. [v]Απασαι γὰρ ἐξ ἀντικειμένων εἰς ἀντι-
κείμενά εἰσιν [e] αἱ κινήσεις καὶ μεταβολαί, οἷον γενέσει μὲν

[m] ὂν]ον καὶ H. [n] ante φθαρτά litteram deletam E. [o] πρότερον E. [p] δὲ] τε εἰ K, om. E. [q] ζώων H. [r] τοῦ ὀργάνου om. K. [s] ὀργάνου ὑπάρχει οἷον F. [t] ὑπάρχει om. pr. F. [v] καὶ] κἂν K. [w] αὐτὴ K. [x] τοῦ κινουμένου rc. K. [y] καὶ τῶν κινούντων H.I. [z] αὐτὸ om. H. [a] ἑαυτὸ E, om. F. [b] δεδεικτέον E. [c] τὸν K. [d] τὸ om. E.K. [e] αἱ] καὶ K.

καὶ φθορᾷ τὸ ὂν καὶ [f] τὸ μὴ ὂν ὅροι, ἀλλοιώσει δὲ τἀναντία πάθη, αὐξήσει δὲ καὶ φθίσει ἡ μέγεθος καὶ μικρότης ἢ τελειότης μεγέθους καὶ ἀτέλεια· ἐναντίαι δ' αἱ εἰς τὰ ἐναντία. Τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν, ὂν δὲ πρότερον, ἀνάγκη πρότερον ἠρεμεῖν. Φανερὸν [g] οὖν ὅτι ἠρεμήσει ἐν 16
τῷ ἐναντίῳ τὸ μεταβάλλον. [r]Ομοίως δὲ καὶ ἐπὶ τῶν μεταβολῶν· ἀντίκειται γὰρ φθορὰ καὶ γένεσις ἁπλῶς καὶ ἡ καθ' ἕκαστον τῇ καθ' ἕκαστον. [v]Ωστ' εἰ ἀδύνατον ἅμα μεταβάλλειν τὰς ἀντικειμένας, οὐκ ἔσται συνεχὴς ἡ μεταβολή, ἀλλὰ μεταξὺ ἔσται αὐτῶν χρόνος. Οὐδὲν γὰρ διαφέρει ἐναντίας 17
ἢ μὴ ἐναντίας εἶναι τὰς κατ' ἀντίφασιν μεταβολάς, εἰ μόνον ἀδύνατον ἅμα τῷ αὐτῷ παρεῖναι· τοῦτο γὰρ τῷ ὅλῳ [h] οὐδὲν χρήσιμον. Οὐδ' εἰ μὴ ἀνάγκη ἠρεμῆσαι ἐν τῇ ἀντιφάσει, μηδ' ἐστὶ [i] μεταβολὴ ἠρεμίᾳ ἐναντίον· οὐ γὰρ ἴσως ἠρεμεῖ τὸ μὴ ὄν, ἡ δὲ φθορὰ εἰς τὸ μὴ ὄν. [t]Αλλ' εἰ μόνον μεταξὺ γίγνεται χρόνος· οὕτω γὰρ οὐκ [k] ἔστιν ἡ μεταβολὴ συνεχής· οὐδὲ γὰρ ἐν τοῖς πρότερον [l] ἡ ἐναντίωσις [m] χρήσιμον, ἀλλὰ τὸ μὴ ἐνδέχεσθαι ἅμα ὑπάρχειν. Οὐ δεῖ δὲ ταράτ- 18
τεσθαι, ὅτι τὸ αὐτὸ πλείοσιν ἔσται ἐναντίον, οἷον [n] ἡ κίνησις καὶ στάσει καὶ κινήσει τῇ εἰς τοὐναντίον, ἀλλὰ μόνον τοῦτο [o] λαμβάνειν, ὅτι ἀντίκειταί πως καὶ τῇ κινήσει καὶ τῇ ἠρεμίᾳ ἡ κίνησις ἡ ἐναντία, καθάπερ τὸ ἴσον καὶ τὸ μέτριον τῷ ὑπερέχοντι καὶ [p] τῷ ὑπερεχομένῳ, καὶ ὅτι οὐκ ἐνδέχεται ἅμα τὰς ἀντικειμένας οὔτε κινήσεις οὔτε μεταβολὰς ὑπάρχειν. [q]Ετι δ' ἐπί τε τῆς γενέσεως καὶ τῆς φθορᾶς [q] καὶ παντελῶς 19
ἄτοπον ἂν εἶναι δόξειεν, εἰ γενόμενον [r] εὐθὺς ἀνάγκη φθαρῆναι καὶ μηδένα χρόνον διαμεῖναι. [v]Ωστ' ἐκ τούτων ἂν ἡ πίστις [s] γένοιτο ταῖς ἄλλαις· φυσικὸν γὰρ τὸ ὁμοίως ἔχειν ἐν [t] ἁπάσαις.

[v]Οτι δὲ ἐνδέχεται [v] εἶναί τινα ἄπειρον, μίαν οὖσαν καὶ 8

[f] τὸ post καὶ om. F.H.I. [g] οὖν] δ' E. [h] οὐδὲν om. F.K. [i] μεταβολῇ ἠρεμία H.I. [k] ἔσται H.I.K. [l] ἡ om. E. [m] χρήσιμος F.H. [n] ἡ] εἰ H.I. [o] λαβεῖν K. [p] τῷ post καὶ om. H.I. [q] καὶ ante π. om. H. [r] ἀνάγκη εὐθὺς F.H.I. [s] γίνοιτο E.I. [t] πάσαις E. [v] τινα εἶναι E.

συνεχῆ, καὶ αὕτη [w] ἐστὶν ἡ κύκλῳ, [x] λέγωμεν νῦν. [y] Πᾶν γὰρ κινεῖται τὸ φερόμενον ἢ κύκλῳ ἢ εὐθεῖαν ἢ μικτήν, ὥστ' εἰ μηδ' ἐκείνων ἡ ἑτέρα συνεχής, οὐδὲ τὴν ἐξ ἀμφοῖν οἷόν τ' 2 εἶναι συγκειμένην. [v]Οτι δὲ τὸ φερόμενον τὴν εὐθεῖαν καὶ πεπερασμένην οὐ φέρεται [z] συνεχῶς, δῆλον· ἀνακάμπτει γάρ, τὸ δ' ἀνακάμπτον τὴν εὐθεῖαν τὰς ἐναντίας κινεῖται κινήσεις· ἐναντία γὰρ [a] κατὰ τόπον ἡ ἄνω τῇ κάτω καὶ ἡ εἰς τὸ πρόσθεν τῇ εἰς [b] τοὔπισθεν καὶ ἡ [c] εἰς ἀριστερὰ τῇ εἰς δεξιά· 3 τόπου γὰρ ἐναντιώσεις αὗται. Τίς δ' ἐστὶν ἡ μία καὶ συνεχὴς κίνησις, διώρισται πρότερον, ὅτι ἡ τοῦ ἑνὸς καὶ [d] ἐν ἑνὶ χρόνῳ καὶ ἐν ἀδιαφόρῳ κατ' εἶδος. Τρία γάρ [e] ἐστι, τό τε κινούμενον, οἷον ἄνθρωπος ἢ θεός, καὶ ὅτε, οἷον χρόνος, καὶ τρίτον [f] τὸ ἐν ᾧ· τοῦτο [g] δ' [h] ἐστὶ [i] τόπος ἢ πάθος ἢ εἶδος ἢ μέγεθος. Τὰ δ' ἐναντία διαφέρει τῷ εἴδει, καὶ οὐχ ἕν. Τό- 4 που δ' αἱ εἰρημέναι διαφοραί. Σημεῖον δ' ὅτι ἐναντία [k] κίνησις ἡ ἀπὸ τοῦ Α πρὸς τὸ Β τῇ ἀπὸ τοῦ Β πρὸς τὸ Α, ὅτι ἱστᾶσι καὶ παύουσιν ἀλλήλας, ἐὰν ἅμα γίγνωνται. Καὶ ἐπὶ κύκλου ὡσαύτως, οἷον [l] ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ [m] Β [n] τῇ ἀπὸ τοῦ Α ἐπὶ τὸ [o] Γ· ἱστᾶσι γάρ. [p] Κἂν συνεχεῖς ὦσι καὶ μὴ [q] γίνηται ἀνάκαμψις διὰ [r] τὸ τἀναντία φθείρειν καὶ κωλύειν 5 ἄλληλα, ἀλλ' [s] οὐχ ἡ εἰς τὸ πλάγιον τῇ ἄνω. Μάλιστα δὲ φανερὸν ὅτι ἀδύνατον εἶναι συνεχῆ τὴν ἐπὶ τῆς εὐθείας κίνησιν, ὅτι ἀνακάμπτον ἀναγκαῖον στῆναι, οὐ μόνον [t] ἐπ' εὐθείας, ἀλλὰ κἂν κύκλον φέρηται. Οὐ γὰρ [v] ταὐτὸν [w] κύκλῳ φέρεσθαι καὶ κύκλον· ἔστι γὰρ ὁτὲ μὲν συνείρειν κινούμενον, ὁτὲ δ' ἐπὶ τὸ αὐτὸ ἐλθὸν ὅθεν ὡρμήθη [x] ἀνακάμψαι πάλιν. [v]Οτι δ' ἀνάγκη ἵστασθαι, ἡ πίστις οὐ μόνον ἐπὶ τῆς αἰσθή-

[w] ἐστὶν ἡ τέχνη ἡ E. [x] λέγομεν F.H.K. [y] πᾶν μὲν γὰρ E.K. [z] συνεχῆ I. [a] τῇ ἄνω ἡ κάτω κατὰ τόπον F, κατὰ τόπον τῇ ἄνω ἡ κάτω I. [b] τὸ ὄπισθεν H.K. [c] εἰς τὰ δεξιὰ τῇ εἰς τὰ ἀριστερά F.H.I. [d] ἐν om. I. [e] ἐστι] ἦν E.K. [f] τὸ ante τρίτον E, om. K. [g] δ' om. I. [h] ἐστὶ] ἐστὶν ἢ H. [i] πάθος ἢ εἶδος ἢ τόπος F.H.I. [k] κίνησις] ἡ κίνησις K. [l] ἡ] εἰ I. [m] Β] γ K. [n] τῇ—Γ om. E. [o] Γ] β K. [p] καὶ ἐὰν F.H.I. [q] γίγνεται K. [r] τὰ ἐναντία F.H.I.K. [s] οὐχὶ F. [t] ἐπὶ τῆς εὐθείας F.H.I. [v] τὸ αὐτὸ F.H.I. [w] κύκλον φ. καὶ κύκλῳ F.H. [x] ἀνακάμπτειν F.H.I.

σεως ἀλλὰ καὶ [y] ἐπὶ τοῦ λόγου. [1] Ἀρχὴ δ' ἥδε. Τριῶν γὰρ 6
ὄντων ἀρχῆς μέσου τελευτῆς, τὸ μέσον πρὸς ἑκάτερον ἄμφω
ἐστί, καὶ τῷ μὲν ἀριθμῷ ἕν, τῷ [z] λόγῳ δὲ δύο. [v] Ἔτι [a] δὲ
ἄλλο ἐστὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. [v] Ὥστε τῆς εὐθείας
τῶν ἐντὸς τῶν ἄκρων ὁτιοῦν σημεῖον δυνάμει [b] μέν ἐστι μέ-
σον, ἐνεργείᾳ δ' οὐκ ἔστιν, [c] ἐὰν μὴ [d] διέλῃ ταύτην καὶ ἐπι-
στὰν πάλιν ἄρξηται [e] κινεῖσθαι· οὕτω δὲ τὸ μέσον ἀρχὴ
γίνεται καὶ τελευτή, ἀρχὴ μὲν τῆς ὕστερον, τελευτὴ δὲ τῆς
πρώτης. Λέγω δ' οἷον ἐὰν φερόμενον τὸ Α [f] στῇ ἐπὶ τοῦ 7
Β καὶ πάλιν φέρηται ἐπὶ τὸ Γ· ὅταν δὲ συνεχῶς φέρηται,
οὔτε γεγονέναι οὔτε ἀπογεγονέναι οἷόν τε τὸ Α [g] κατὰ τὸ
Β σημεῖον, ἀλλὰ μόνον εἶναι ἐν τῷ νῦν, [h] ἐν χρόνῳ δ' οὐδενὶ
[i] πλὴν οὗ τὸ νῦν [k] διαίρεσίς ἐστιν [l] ἐν [m] τῷ ὅλῳ [n] τῷ Α Β Γ.
Εἰ δὲ γεγονέναι τις [o] θήσει καὶ ἀπογεγονέναι, ἀεὶ στήσεται 8
τὸ Α φερόμενον· ἀδύνατον γὰρ [p] τὸ Α ἅμα γεγονέναι [q] τε
[r] ἐπὶ τοῦ Β καὶ ἀπογεγονέναι. [s] [1] Ἐν ἄλλῳ [t] ἄρα [v] καὶ ἄλλῳ
σημείῳ χρόνου. Χρόνος ἄρα ἔσται ὁ ἐν μέσῳ. [v] Ὥστε ἠρε-
μήσει τὸ Α ἐπὶ τοῦ Β. [1] Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων
σημείων· ὁ γὰρ αὐτὸς λόγος ἐπὶ πάντων. [v] Ὅταν δὲ χρήση- 9
ται τὸ φερόμενον Α τῷ Β μέσῳ καὶ [w] τελευτῇ καὶ ἀρχῇ,
ἀνάγκη στῆναι διὰ τὸ δύο ποιεῖν, ὥσπερ ἂν εἰ καὶ νοήσειεν.
[1] Ἀλλ' ἀπὸ μὲν τοῦ Α σημείου ἀπογέγονε [x] τῆς ἀρχῆς, ἐπὶ
δὲ τοῦ Γ γέγονεν, ὅταν τελευτήσῃ καὶ στῇ. Διὸ καὶ πρὸς
τὴν ἀπορίαν [y] τοῦτο λεκτέον· ἔχει γὰρ ἀπορίαν τήνδε. Εἰ 10
γὰρ εἴη ἡ τὸ Ε τῇ Ζ ἴση καὶ τὸ Α φέροιτο συνεχῶς ἀπὸ
τοῦ ἄκρου πρὸς τὸ Γ, ἅμα δ' εἴη τὸ Α ἐπὶ [z] τῷ Β σημείῳ,
καὶ τὸ Δ φέροιτο ἀπὸ τῆς Ζ ἄκρας πρὸς τὸ Η ὁμαλῶς καὶ

[y] ἀπὸ F. [z] δὲ λόγῳ F.I. [a] δὲ post ἔτι om. H. [b] μέν om. E.
[c] ἂν K. [d] διέληται F. [e] κεῖσθαι E. [f] ἐπὶ τοῦ β στῇ F. [g] κατὰ] καὶ E. [h] ἐν ante χρ. om. E. [i] πλὴν εἰ οὗ F. [k] ἐστι διαίρε-
σις E.K. [l] ἐν om. E.K. [m] τοῦ ὅλου τινὸς rc. K. [n] τῷ Α Β Γ
om. E.K. [o] φήσει K, θήσει ἐν τοῖς δυνάμει σημείοις rc. K. [p] τὸ Α
om. H.I. [q] τε] τὸ α H.I. [r] ἐπὶ τὸ β F, κατὰ τὸ β H.I. om. K.
[s] ἐν] ἀλλ' ἐν I. [t] ἄρα] γὰρ K. [v] καὶ ἄλλῳ om. E. [w] ἀρχῇ καὶ
τελευτῇ F.H.I. [x] τῆς—γέγονεν om. K. [y] τοῦτο—ἀπορίαν om. E.
[z] τὸ β σημεῖον I.

τῷ αὐτῷ τάχει [a]τῷ A, τὸ Δ ἔμπροσθεν ἥξει ἐπὶ τὸ H ἢ τὸ A ἐπὶ τὸ Γ· τὸ γὰρ πρότερον ὁρμῆσαν καὶ ἀπελθὸν πρότερον ἐλθεῖν ἀνάγκη. Οὐκ [b]ἄρα ἅμα γέγονε τὸ A ἐπὶ τῷ B καὶ ἀπογέγονεν ἀπ' αὐτοῦ, [c]διὸ ὑστερίζει. Εἰ γὰρ ἅμα,
11 οὐχ [d]ὑστεριεῖ, ἀλλ' ἀνάγκη [e]ἔσται ἴστασθαι. Οὐκ ἄρα θετέον, ὅτε τὸ A [f]ἐγένετο κατὰ τὸ B, τὸ Δ [g]ἅμα κινεῖσθαι ἀπὸ τοῦ Z ἄκρου· εἰ γὰρ ἔσται γεγονὸς τὸ A ἐπὶ [h]τοῦ B, ἔσται καὶ τὸ ἀπογενέσθαι, καὶ οὐχ ἅμα, ἀλλ' ἦν ἐν [i]τομῇ χρόνου καὶ οὐκ ἐν χρόνῳ. [j]Ἐνταῦθα μὲν οὖν ἀδύνατον οὕτω λέγειν ἐπὶ [k]τοῦ συνεχοῦς· ἐπὶ δὲ τοῦ ἀνακάμπτοντος ἀνάγκη
12 [l]λέγειν οὕτως. Εἰ γὰρ ἡ τὸ H φέροιτο [m]πρὸς τὸ Δ καὶ πάλιν ἀνακάμψασα κάτω φέροιτο, τῷ [n]ἄκρῳ ἐφ' οὗ Δ τελευτῇ [o]καὶ ἀρχῇ κέχρηται τῷ ἑνὶ σημείῳ ὡς δύο· διὸ στῆναι ἀνάγκη· καὶ οὐχ ἅμα γέγονεν ἐπὶ [p]τῷ Δ καὶ ἀπελήλυθεν ἀπὸ τοῦ Δ· ἐκεῖ γὰρ [q]ἂν ἅμα εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ
13 νῦν. [j]Ἀλλὰ μὴν τήν γε πάλαι λύσιν οὐ λεκτέον· οὐ γὰρ ἐνδέχεται λέγειν ὅτι ἐστὶ κατὰ [r]τὸ Δ ἡ τὸ H ἐν [s]τομῇ, [t]οὐ γέγονε δὲ οὐδ' ἀπογέγονεν. [j]Ἀνάγκη γὰρ ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὄν, [v]μὴ δυνάμει. Τὸ μὲν οὖν ἐν μέσῳ δυνάμει ἐστί, τοῦτο δ' ἐνεργείᾳ, καὶ [w]τελευτὴ μὲν κάτωθεν, ἀρχὴ δὲ ἄνωθεν· καὶ τῶν κινήσεων [x]ἄρα ὡσαύτως. [j]Ἀνάγκη ἄρα στῆναι τὸ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας. Οὐκ ἄρα ἐνδέχεται συνεχῆ κίνησιν εἶναι ἐπὶ [y]ἀΐδιον τῆς εὐθείας.

14 Τὸν αὐτὸν δὲ τρόπον ἀπαντητέον καὶ πρὸς τοὺς ἐρωτῶντας τὸν Ζήνωνος λόγον, καὶ ἀξιοῦντας, [z]εἰ ἀεὶ τὸ ἥμισυ διιέναι [a]δεῖ, ταῦτα δ' ἄπειρα, τὰ δ' ἄπειρα [b]ἀδύνατον διεξελθεῖν, ἢ ὡς τὸν αὐτὸν τοῦτον [c]λόγον τινὲς [d]ἄλλως ἐρωτῶσιν,

[a] τῷ A om. β F.H.I. [b] ἅμα ἄρα K. [c] διὸ] διὸ καὶ F. [d] ὑστερεῖ H.I. [e] ἔσται om. F.K. [f] ἐγίνετο E. [g] κινεῖσθαι ἅμα E. [h] τοῦ B] τῷ E. [i] τομῇ] τὸ μ. I. [k] τοῦ σ.] τῆς σ. E.F.K. [l] λύειν F. [m] πρὸς—φέροιτο om. E. [n] ἐφ' οὗ] τῷ F.H.I, ἐφ' οὗ τὸ K. [o] κέχρηται καὶ ἀρχῇ F.H.I. [p] τοῦ F.H.I. [q] ἂν om. H.K. [r] τὰ δ E. [s] τομῇ] τῷ μ. I. [t] οὐ] οὔτε H.I, οὐδὲ F. [v] μὴ] καὶ μὴ F, οὐ K, om. H. [w] τελευτῇ K. [x] ἄρα om. E.K. [y] ἀΐδιον ante εἶναι F.H.I, post εἶναι K. [z] εἰ om. K. [a] δεῖ ante διιέναι ponit H, om. K. [b] ἀδύνατον ἐξελθεῖν I, διεξελθεῖν ἀδύνατον F.H. [c] τινες λόγον I. [d] ἄλλως ἐρωτῶσιν] ἐρωτῶσιν ἀλλ' ὡς K.

ἀξιοῦντες ἅμα τῷ κινεῖσθαι τὴν ἡμίσειαν πρότερον ἀριθμεῖν καθ' ἕκαστον [e] γιγνόμενον τὸ ἥμισυ, ὥστε διελθόντος τὴν ὅλην [f] ἄπειρον συμβαίνει ἠριθμηκέναι ἀριθμόν· τοῦτο δ' ὁμολογουμένως ἐστὶν [g] ἀδύνατον. [1] Ἐν μὲν οὖν [h] τοῖς πρώτοις 15
λόγοις τοῖς περὶ κινήσεως ἐλύομεν [i] διὰ τοῦ τὸν χρόνον [k] ἄπειρα ἔχειν [l] ἐν [m] αὑτῷ· οὐδὲν γὰρ ἄτοπον, εἰ ἐν ἀπείρῳ χρόνῳ ἄπειρα διέρχεταί τις· ὁμοίως δὲ τὸ ἄπειρον ἔν τε τῷ μήκει [n] ὑπάρχει καὶ ἐν τῷ χρόνῳ. [2] Ἀλλ' αὕτη ἡ λύσις πρὸς 16
μὲν τὸν ἐρωτῶντα ἱκανῶς ἔχει (ἠρωτᾶτο γὰρ εἰ ἐν [o] πεπερασμένῳ ἄπειρα ἐνδέχεται [p] διεξελθεῖν ἢ ἀριθμῆσαι), πρὸς δὲ τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν οὐχ ἱκανῶς· ἂν γάρ τις ἀφέμενος τοῦ μήκους καὶ τοῦ ἐρωτᾶν εἰ ἐν πεπερασμένῳ χρόνῳ ἐνδέχεται [q] ἄπειρα διεξελθεῖν, πυνθάνηται ἐπ' αὐτοῦ τοῦ χρόνου ταῦτα (ἔχει γὰρ ὁ χρόνος ἀπείρους διαιρέσεις), οὐκέτι ἱκανὴ ἔσται αὕτη ἡ λύσις, ἀλλὰ τὸ ἀληθὲς λεκτέον, ὅπερ εἴπομεν ἐν τοῖς ἄρτι λόγοις. [3] Ἂν γάρ τις τὴν συνεχῆ διαιρῇ 17
εἰς δύο ἡμίση, οὗτος τῷ ἑνὶ σημείῳ ὡς δυσὶ χρῆται· ποιεῖ γὰρ αὐτὸ ἀρχὴν καὶ τελευτήν. [r] Οὕτω δὲ ποιεῖ ὅ τε [s] ἀριθμῶν καὶ ὁ εἰς τὰ ἡμίση διαιρῶν. Οὕτω δὲ διαιροῦντος [t] οὐκ ἔσται συνεχὴς οὔθ' ἡ γραμμὴ οὔθ' ἡ κίνησις· ἡ γὰρ συνεχὴς κίνησις συνεχοῦς ἐστίν, ἐν δὲ τῷ συνεχεῖ [v] ἔνεστι μὲν ἄπειρα ἡμίση, ἀλλ' οὐκ ἐντελεχείᾳ ἀλλὰ δυνάμει. [4] Ἂν δὲ ποιῇ ἐντελεχείᾳ, 18
οὐ ποιήσει συνεχῆ, ἀλλὰ στήσει, ὅπερ ἐπὶ τοῦ ἀριθμοῦντος τὰ [x] ἡμίσεα φανερόν ἐστιν ὅτι συμβαίνει· τὸ γὰρ ἓν σημεῖον ἀνάγκη [y] αὐτῷ [z] ἀριθμεῖν δύο· τοῦ μὲν [a] γὰρ ἑτέρου τελευτὴ ἡμίσεος τοῦ δ' ἑτέρου ἀρχὴ ἔσται, [b] ἂν μὴ μίαν ἀριθμῇ τὴν συνεχῆ, ἀλλὰ δύο ἡμισείας. [5] Ὥστε λεκτέον πρὸς τὸν ἐρω- 19

[e] *γενόμενον* H. [f] *συμβαίνειν ἄπειρον* K, *ἄπειρον συμβαίη* F. [g] *ἀδύνατον—κινήσεως* rc. supra lituram E. [h] *τοῖς* om. K. [i] *διαυτου* E, *διὰ τὸ* F.H.K. [k] *ἔχειν ἄπειρα* H.I. [l] *ἐν* om. E. [m] *ἑαυτῷ* I. [n] *ὑπάρχει* post *χρόνῳ* F.I, om. H : *ὑπάρχειν* K. [o] *πεπερασμένῳ χρόνῳ ἄπειρα* K. [p] *διελθεῖν* F.H. [q] *διεξελθεῖν ἄπειρα* F.H.I. [r] *οὕτω*] *τοῦτο* H.I. [s] *ἀριθμὸν* K. [t] *οὐκ ἔστι* H.I, *οὐκέτι* F. [v] *ἔνεστι*] *ἐστιν* E, *ἔσται* H. [w] *ἐὰν* F.I. [x] *ἡμίση* F.K. [y] *αὐτὸ* F. [z] *δύο ἀριθμεῖν* K. [a] *γὰρ ἡμίσεος τοῦ ἑτέρου ἀρχὴ τοῦ δ' ἑτέρου τελευτὴ* F.H, et, qui *γὰρ ἑτέρου ἡμίσεος*, I. [b] *ἐὰν* F.H.I.

τῶντα εἰ ἐνδέχεται ἄπειρα διεξελθεῖν ἢ ἐν χρόνῳ ἢ ἐν μήκει, ὅτι ἔστιν ὡς, ἔστι δ' ὡς οὔ. [4]Εντελεχείᾳ μὲν γὰρ ὄντα οὐκ ἐνδέχεται, δυνάμει δ' ἐνδέχεται· ὁ γὰρ συνεχῶς κινούμενος κατὰ συμβεβηκὸς ἄπειρα [c] διελήλυθεν, ἁπλῶς [d] δ' οὔ· συμβέβηκε γὰρ τῇ γραμμῇ ἄπειρα ἡμίσεα εἶναι, ἡ δ' οὐσία
20 ἐστὶν ἑτέρα καὶ τὸ εἶναι. Δῆλον [e] δὲ [f] καὶ ὅτι [g] ἐὰν [h] μή τις ποιῇ τοῦ χρόνου τὸ διαιροῦν σημεῖον [i] τὸ πρότερον καὶ ὕστερον αἰεὶ τοῦ ὑστέρου τῷ πράγματι, ἔσται [k] ἅμα τὸ αὐτὸ ὂν καὶ οὐκ ὄν, καὶ ὅτε [l] γέγονεν οὐκ ὄν. [m] Τὸ σημεῖον μὲν οὖν ἀμφοῖν [n] κοινόν, καὶ τοῦ προτέρου καὶ τοῦ ὑστέρου, καὶ ταὐτὸν [o] καὶ ἓν ἀριθμῷ, λόγῳ δ' οὐ [p] ταὐτόν· τοῦ μὲν γὰρ τε-
21 λευτή, τοῦ δ' ἀρχή. Τῷ δὲ πράγματι ἀεὶ τοῦ ὑστέρου [q] πάθους ἐστίν. Χρόνος ἐφ' [r] ᾧ Α Β Γ, πρᾶγμα ἐφ' [r] ᾧ Δ. Τοῦτο ἐν [s] μὲν τῷ [t] Α χρόνῳ λευκόν, ἐν δὲ τῷ Β οὐ λευκόν· ἐν τῷ [v] ἄρα Γ λευκὸν καὶ οὐ λευκόν. [4]Εν ὁτῳοῦν γὰρ τοῦ Α [w] λευκὸν ἀληθὲς εἰπεῖν, εἰ πάντα τὸν χρόνον τοῦτον ἦν λευκόν, καὶ [x] ἐν [y] τῷ Β [z] μὴ λευκόν· τὸ δὲ Γ ἐν ἀμφοῖν.
22 Οὐκ ἄρα δοτέον ἐν [a] παντί, [b] ἀλλὰ πλὴν τοῦ τελευταίου νῦν [c] ἐφ' [d] οὗ [e] τὸ Γ. Τοῦτο [f] δ' ἤδη τὸ ὕστερον, καὶ [g] εἰ ἐγίγνετο [h] οὐ λευκόν, καὶ [i] εἰ ἐφθείρετο λευκὸν ἐν τῷ Α παντί, γέγονεν ἢ ἔφθαρται ἐν τῷ Γ. [k][v]Ωστε λευκὸν ἢ μὴ λευκὸν [l] πρῶτον ἐν ἐκείνῳ ἀληθὲς εἰπεῖν, ἢ ὅτε γέγονεν [m] οὐκ ἔσται, καὶ ὅτε ἔφθαρται ἔσται, ἢ ἅμα λευκὸν καὶ [n] οὐ λευκὸν καὶ
23 ὅλως ὂν καὶ [o] μὴ ὂν ἀνάγκη εἶναι. Εἰ δ' ὃ ἂν ᾖ πρότερον μὴ [p] ὄν, ἀνάγκη γίγνεσθαι ὄν, καὶ ὅτε γίγνεται μή ἐστιν,

[c] διελήλυθεν ἀνάγκη ἁπλῶς pr. F. [d] δ'] γὰρ I. [e] δὴ H, γὰρ I. [f] καὶ om. H.I. [g] κἂν H. [h] μή et τοῦ χρόνου om. E. [i] τὸ] τὸν F.H, τῶν I. [k] ἅμα om. H. [l] γέγονεν] γενόμενον F. [m] τὸ om. E. [n] κοινὸν post προτέρου E.K. [o] καὶ ἓν καὶ ἀρ. F. [p] ταυτό K, τὸ αὐτὸ F. [q] πάθος H. [r] ᾧ] οὗ I. [s] μὲν om. E. [t] A] a ὅλω E.K. [v] γ ἄρα F.H. [w] ἀληθὲς εἰπεῖν λευκὸν F.H.I. [x] ἐν om. E.F.K. [y] τῷ] τὸ E.H.K. [z] οὐ E.F.I. [a] ἅπαντι K. [b] ἀλλὰ] ἅμα E. [c] ὑφ' E. [d] ὧ H. [e] τὸ om. F.H.I. [f] δὲ δὴ E, δ' ἤδη τοῦ a K. [g] εἰ om. E. [h] οὐ] καὶ οὐ E, om. I. [i] εἰ om. E. [k] ὥστε ἢ λ. K, ὥστε εἰ ἦν λ. E. [l] ἐν ἐκείνῳ πρῶτον E.K. [m] οὐκ ἔστιν F. [n] μὴ K. [o] οὐκ F.I. [p] ὄν post μὴ om. E.

οὐχ οἷόν τε εἰς ἀτόμους χρόνους διαιρεῖσθαι τὸν χρόνον. Εἰ γὰρ ἐν τῷ Α [q] χρόνῳ τὸ Δ ἐγίγνετο λευκόν, γέγονε δ' ἅμα καὶ ἔστιν ἐν ἑτέρῳ [r] ἀτόμῳ χρόνῳ ἐχομένῳ δ' ἐν τῷ Β, εἰ ἐν τῷ Α ἐγίγνετο, [s] οὐκ ἦν, ἐν δὲ τῷ Β ἐστί, γένεσιν [t] δεῖ [v] τινὰ εἶναι μεταξύ, ὥστε καὶ [w] χρόνον ἐν ᾧ [x] ἐγίγνετο. Οὐ γὰρ [y] ὁ αὐτὸς [z] ἔσται λόγος καὶ [a] τοῖς μὴ ἄτομα λέγουσιν, ἀλλ' αὐτοῦ τοῦ χρόνου, ἐν ᾧ ἐγίγνετο, γέγονε καὶ ἔστιν ἐν τῷ ἐσχάτῳ σημείῳ, [b] οὗ οὐδὲν [c] ἐχόμενόν ἐστιν οὐδ' ἐφεξῆς· [d] οἱ δ' ἄτομοι χρόνοι ἐφεξῆς. Φανερὸν δ' ὅτι εἰ ἐν τῷ Α ὅλῳ [e] χρόνῳ ἐγίγνετο, οὐκ ἔστι πλείων χρόνος ἐν ᾧ γέγονε καὶ [f] ἐγίγνετο ἢ ἐν ᾧ ἐγίγνετο μόνον παντί. 24

Οἷς μὲν οὖν ἄν τις ὡς οἰκείοις [g] πιστεύσειε λόγοις, οὗτοι [h] καὶ τοιοῦτοί τινές εἰσιν· λογικῶς δ' ἐπισκοποῦσι [i] κἂν ἐκ τῶνδε δόξειέ τῳ [k] ταὐτὸ τοῦτο συμβαίνειν. [v]Απαν γὰρ τὸ κινούμενον συνεχῶς, [l] ἂν ὑπὸ μηδενὸς ἐκκρούηται, εἰς ὅπερ ἦλθε κατὰ τὴν φοράν, εἰς τοῦτο καὶ ἐφέρετο πρότερον, οἷον εἰ ἐπὶ τὸ Β ἦλθε, [m] καὶ ἐφέρετο ἐπὶ τὸ Β, καὶ οὐχ ὅτε πλησίον ἦν, ἀλλ' εὐθὺς ὡς ἤρξατο κινεῖσθαι· τί γὰρ μᾶλλον νῦν ἢ πρότερον; [t]Ομοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Τὸ [n] δ' ἀπὸ τοῦ Α [o] ἐπὶ τὸ Γ φερόμενον, [p] ὅταν [q] ἐπὶ τὸ Γ ἔλθῃ, πάλιν ἥξει ἐπὶ τὸ Α συνεχῶς κινούμενον. [v]Οτε ἄρα ἀπὸ τοῦ Α [r] φέρεται πρὸς τὸ Γ, τότε καὶ εἰς τὸ Α φέρεται τὴν ἀπὸ τοῦ Γ κίνησιν, ὥσθ' ἅμα τὰς ἐναντίας· ἐναντίαι γὰρ αἱ κατ' εὐθεῖαν. [v]Αμα δὲ καὶ ἐκ τούτου μεταβάλλει ἐν ᾧ οὐκ ἔστιν. Εἰ οὖν τοῦτ' ἀδύνατον, ἀνάγκη ἵστασθαι ἐπὶ τοῦ Γ. Οὐκ ἄρα μία [s] ἡ κίνησις· ἡ γὰρ διαλαμβανομένη στάσει [t] οὐ μία. [v]Ετι [v] δὲ καὶ ἐκ τῶνδε φανερὸν καθόλου μᾶλλον περὶ πάσης 25 26 27

[q] χρόνῳ om. E. [r] χρόνῳ ἀτόμῳ H. [s] οὐκ] καὶ οὐκ F. [t] δεῖ] οὖν δεῖ rc. K. [v] εἶναί τινα F.H.I.K. [w] χρόνος ἦν ἐν F.H.I. [x] ἐγένετο I. [y] ὁ om. F. [z] λόγος ἔσται F.H.I.K. [a] τοῖς om. E.K. [b] ὧ K. [c] ἐστιν ἐχόμενον F.H.I. [d] οἱ—ἐφεξῆς om. H. [e] χρόνῳ om. H. [f] ἐγίγνετο ἢ om. E. [g] λόγοις πιστεύσειεν H. [h] καὶ τοιοῦτοι om. E. [i] καὶ E.F. [k] τὸ αὐτὸ συμβαίνειν τοῦτο F. [l] ἐὰν K. [m] καὶ οὐκ ἐφέρετο I. [n] δ'] δὴ E.K. [o] ἐπὶ τὸ Γ om. E.K. [p] ὅταν ἐπὶ τὸ Γ ἔλθῃ om. F.H.I. [q] ἐπὶ] πρὸς E. [r] εἰς τὸ γ ἐφέρετο F.H.I. [s] ἡ post μία om. E. [t] οὐ] οὐκ ἔστι F.H.I. [v] δὲ om. F.H.I.K.

κινήσεως. Εἰ γὰρ ἅπαν τὸ κινούμενον [w]τῶν εἰρημένων τινὰ κινεῖται κινήσεων καὶ [x]ἠρεμεῖ τῶν ἀντικειμένων ἠρεμιῶν (οὐ γὰρ ἦν ἄλλη παρὰ ταύτας), τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν (λέγω δ' ὅσαι ἕτεραι τῷ εἴδει, καὶ μὴ εἴ τι μόριόν ἐστι τῆς ὅλης) ἀνάγκη πρότερον ἠρεμεῖν τὴν ἀντικειμένην
28 ἠρεμίαν· ἡ γὰρ ἠρεμία [y]στέρησις κινήσεώς [z]ἐστιν. Εἰ οὖν ἐναντίαι μὲν κινήσεις αἱ κατ' εὐθεῖαν, ἅμα δὲ μὴ ἐνδέχεται κινεῖσθαι τὰς ἐναντίας, τὸ ἀπὸ τοῦ Α πρὸς τὸ Γ φερόμενον οὐκ ἂν φέροιτο ἅμα καὶ ἀπὸ τοῦ Α πρὸς τὸ Α. [1]Ἐπεὶ δ' οὐχ ἅμα φέρεται, [a]κινήσεται δὲ ταύτην τὴν κίνησιν, ἀνάγκη [b]πρότερον ἠρεμῆσαι [c]τὴν πρὸς [d]τῷ Γ· αὕτη γὰρ [e]ἦν ἡ
29 ἀντικειμένη ἠρεμία τῇ ἀπὸ τοῦ Γ κινήσει. Δῆλον τοίνυν [f]ἐκ τῶν εἰρημένων [g]ὅτι οὐκ [h]ἔστι συνεχὴς ἡ κίνησις. [1]Ἔτι δὲ καὶ ὅδε ὁ λόγος μᾶλλον οἰκεῖος τῶν εἰρημένων. [v]Ἅμα γὰρ ἔφθαρται τὸ οὐ λευκὸν καὶ γέγονε λευκόν. Εἰ οὖν συνεχὴς ἡ ἀλλοίωσις [i]εἰς λευκὸν καὶ [k]ἐκ λευκοῦ καὶ μὴ μένει τινὰ χρόνον, ἅμα ἔφθαρται [l]τὸ οὐ λευκὸν [m]καὶ γέγονε λευκὸν [n]καὶ γέγονεν οὐ λευκόν· τριῶν γὰρ ἔσται ὁ αὐτὸς χρόνος. [1]Ἔτι οὐκ εἰ συνεχὴς ὁ χρόνος, καὶ ἡ κίνησις, ἀλλ' ἐφεξῆς. Πῶς [o]δ' [p]ἂν εἴη τὸ ἔσχατον τὸ αὐτὸ τῶν ἐναντίων, οἷον λευκότητος καὶ μελανίας; [r]Ἡ δ' ἐπὶ τῆς [q]περιφεροῦς ἔσται
30 μία καὶ συνεχής· [r]οὐθὲν γὰρ ἀδύνατον συμβαίνει· τὸ γὰρ ἐκ τοῦ Α κινούμενον ἅμα κινήσεται εἰς τὸ Α κατὰ τὴν αὐτὴν πρόθεσιν· εἰς ὃ γὰρ ἥξει, καὶ κινεῖται εἰς τοῦτο, ἀλλ' οὐχ ἅμα κινήσεται τὰς ἐναντίας οὐδὲ τὰς ἀντικειμένας· οὐ γὰρ ἅπασα ἡ εἰς τοῦτο τῇ ἐκ τούτου ἐναντία οὐδ' ἀντικειμένη, ἀλλ' ἐναντία μὲν ἡ [s]ἐπ' εὐθείας ([t]ταύτῃ γάρ ἐστιν ἐναντία

[w] κινεῖταί τινα τῶν εἰρημένων F.H.I. [x] ἠρεμεῖται I. [y] στέρησις τῆς κ .F.K. [z] ἐστιν ante στέρησις K, ante κινήσεως H.I. [a] κινεῖται F. [b] πρότερον ἠρεμῆσαι I, πρότερον ἠρεμεῖν H. [c] τὴν om.F.H.I.K. [d] τὸ E. [e] ἦν om. F.H.I.K. [f] ἐκ] ἀπὸ F.I. [g] ὅτι—εἰρημένων om. pr. F. [h] ἔσται E. [i] εἰς] ἡ εἰς K, om. E. [k] ἐκ] μὴ ἐκ H. et pr. I. [l] τὸ] τε F. [m] καὶ γέγονε λευκὸν om. F. [n] καὶ γέγονεν οὐ λευκόν om. E.I. [o] δ' om. F.H.I. [p] ἂν] ἂν οὖν H. [q] περιφορᾶς H. [r] οὐδὲ I. [s] κατ' εὐθεῖαν E.K. [t] ταῦτα E.K.

κατὰ τόπον, οἷον [v] ἡ κατὰ διάμετρον· ἀπέχει γὰρ πλεῖστον)
ἀντικειμένη δὲ ἡ κατὰ τὸ αὐτὸ μῆκος. Ὥστ' οὐδὲν κωλύει 31
συνεχῶς κινεῖσθαι καὶ μηδένα χρόνον [w] διαλείπειν· ἡ μὲν γὰρ
κύκλῳ κίνησίς ἐστιν [x] ἀφ' [y] αὑτοῦ [z] εἰς [a] τὸ [b] αὐτό, ἡ δὲ κατ'
εὐθεῖαν ἀφ' [c] αὑτοῦ εἰς ἄλλο, καὶ ἡ μὲν ἐν τῷ κύκλῳ οὐδέποτε
ἐν τοῖς αὐτοῖς, ἡ δὲ κατ' εὐθεῖαν πολλάκις ἐν τοῖς αὐτοῖς.
Τὴν μὲν οὖν [d] ἀεὶ [e] ἐν ἄλλῳ καὶ ἄλλῳ γιγνομένην [f] ἐνδέχεται 32
κινεῖσθαι συνεχῶς, τὴν δ' ἐν τοῖς αὐτοῖς πολλάκις οὐκ ἐνδέχε-
ται· [g] ἀνάγκη γὰρ ἅμα κινεῖσθαι τὰς ἀντικειμένας. Ὥστ'
οὐδ' ἐν τῷ ἡμικυκλίῳ οὐδ' ἐν ἄλλῃ περιφερείᾳ οὐδεμιᾷ ἐν-
δέχεται συνεχῶς κινεῖσθαι· πολλάκις γὰρ ἀνάγκη [h] ταὐτὰ
κινεῖσθαι καὶ τὰς ἐναντίας [i] μεταβάλλειν μεταβολάς· οὐ
γὰρ συνάπτει τῇ ἀρχῇ τὸ πέρας. [k] Ἡ δὲ τοῦ κύκλου συν-
άπτει, καὶ ἔστι μόνη τέλειος. Φανερὸν δὲ [k] καὶ ἐκ ταύτης 33
τῆς διαιρέσεως ὅτι [l] οὐδὲ τὰς ἄλλας ἐνδέχεται κινήσεις [m] εἶ-
ναι συνεχεῖς· ἐν ἁπάσαις γὰρ [n] ταὐτὰ συμβαίνει [o] κινεῖ-
σθαι πολλάκις, οἷον ἐν ἀλλοιώσει [p] τὰ μεταξύ, καὶ ἐν τῇ
τοῦ ποσοῦ τὰ ἀνὰ μέσον μεγέθη, καὶ ἐν γενέσει καὶ φθορᾷ
ὡσαύτως· [q] οὐδὲν γὰρ διαφέρει ὀλίγα ἢ πολλὰ [r] ποιῆσαι, ἐν
οἷς ἐστὶν ἡ μεταβολή, οὐδὲ μεταξὺ [s] θεῖναί τι ἢ ἀφελεῖν· ἀμ-
φοτέρως γὰρ [t] συμβαίνει ταὐτὰ κινεῖσθαι πολλάκις. Δῆλον 34
οὖν ἐκ τούτων ὅτι οὐδ' οἱ φυσιολόγοι καλῶς λέγουσιν οἱ
πάντα τὰ αἰσθητὰ κινεῖσθαι φάσκοντες ἀεί· κινεῖσθαι γὰρ
ἀνάγκη [v] τούτων τινὰ τῶν κινήσεων, καὶ μάλιστα κατ' ἐκεί-
νους ἐστὶν ἀλλοιοῦσθαι· ῥεῖν γάρ [w] φασιν ἀεὶ καὶ φθίνειν,
ἔτι δὲ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν [x] ἀλλοίωσιν λέγουσιν.

[v] ἡ] εἰ I, τὸ E, τὰ K. [w] διαλιπεῖν K. [x] ἀφ'] ἡ ἀφ' H. [y] ἑαυτοῦ H.I, [z] εἰς τὸ—ἀφ' αὑτοῦ om. K. [a] τὸ om. F.H.I. [b] ἑαυτὸ F. [c] ἑαυτοῦ F.H. [d] ἀεὶ] αὐτὴν I. [e] καὶ ἐν ἄλλῳ F. [f] ἐνδέχεται om. E. [g] ἅμα γὰρ ἀνάγκη F. [h] τὰς αὐτὰς K. [i] μεταβολὰς μεταβάλλειν F.H. [k] καὶ post δὲ om. E. [l] οὐδὲ] οὐ E. οὐδὲ—ἐνδέχεται] οὐκ ἐνδέχεται οὐδὲ τὰς ἄλλας F.H.I. [m] εἶναι] γείνεσθαι E, γίνεσθαι K. [n] ταύταις συμβαίνει E, συμβαίνει ταυτὰ F.H.I. [o] κινεῖσθαι post γὰρ I. [p] τὸ F. [q] οὐδὲ I. [r] ποιεῖν H. [s] προσθεῖναι K. [t] ταυτὰ συμβαίνει K. [v] τινα τούτων F H. [w] ἀεί φασι F.H.I. [x] ἀλλοίωσιν δὲ λέγουσιν E.

35 [r]Ὁ δὲ λόγος νῦν εἴρηκε καθόλου περὶ πάσης κινήσεως ὅτι κατ' οὐδεμίαν κίνησιν ἐνδέχεται κινεῖσθαι συνεχῶς ἔξω τῆς κύκλῳ, ὥστε οὔτε κατ' ἀλλοίωσιν οὔτε κατ' αὔξησιν. [v]Ὅτι μὲν οὖν οὔτ' ἄπειρός ἐστι μεταβολὴ οὐδεμία οὔτε συνεχὴς ἔξω τῆς κύκλῳ φορᾶς ἔστω τοσαῦθ' ἡμῖν εἰρημένα.

9 [v]Ὅτι δὲ τῶν φορῶν ἡ κυκλοφορία πρώτη, δῆλον. Πᾶσα γὰρ φορά, ὥσπερ καὶ πρότερον εἴπομεν, ἢ κύκλῳ [y] ἢ [z] ἐπ' εὐθείας ἢ μικτή. Ταύτης δ' ἀνάγκη προτέρας εἶναι ἐκείνας· ἐξ ἐκείνων [a] γὰρ συνέστηκεν. Τῆς δ' εὐθείας ἡ κύκλῳ· ἁπλῆ γὰρ καὶ τέλειος μᾶλλον. [v]Ἄπειρον [b] μὲν γὰρ οὐκ ἔστιν εὐθεῖαν φέρεσθαι· τὸ γὰρ οὕτως ἄπειρον οὐκ ἔστιν. [c] [d]Ἀλλ' οὐδ' εἰ ἦν, ἐκινεῖτ' ἂν οὐδέν· [d] οὐ γὰρ γίγνεται [e] τὸ ἀδύνατον,
2 διελθεῖν δὲ [f] τὴν ἄπειρον ἀδύνατον. [r]Ἡ δ' ἐπὶ τῆς πεπερασμένης [g] εὐθείας ἀνακάμπτουσα μὲν συνθετὴ καὶ δύο κινήσεις, μὴ ἀνακάμπτουσα δὲ ἀτελὴς καὶ φθαρτή. Πρότερον δὲ καὶ φύσει καὶ λόγῳ καὶ χρόνῳ τὸ τέλειον [h] μὲν τοῦ ἀτελοῦς, τοῦ φθαρτοῦ δὲ τὸ ἄφθαρτον. [v]Ἔτι προτέρα ἣν ἐνδέχεται ἀΐδιον εἶναι τῆς μὴ ἐνδεχομένης· τὴν μὲν οὖν κύκλῳ [i] ἐνδέχεται ἀΐδιον εἶναι, τῶν δ' ἄλλων οὔτε φορὰν οὔτ' ἄλλην οὐδεμίαν· στάσιν γὰρ δεῖ [k] γίνεσθαι, [l] εἰ δὲ [m] στάσις, [n] ἔφθαρ-
3 ται ἡ κίνησις. Εὐλόγως δὲ συμβέβηκε τὸ τὴν κύκλῳ μίαν εἶναι καὶ συνεχῆ, καὶ μὴ τὴν ἐπ' εὐθείας· τῆς μὲν γὰρ ἐπ' εὐθείας ὥρισται καὶ ἀρχὴ καὶ τέλος καὶ μέσον, καὶ πάντ' ἔχει ἐν [o] αὑτῇ, ὥστ' ἔστιν ὅθεν ἄρξεται τὸ κινούμενον καὶ οὗ τελευτήσει (πρὸς γὰρ τοῖς πέρασιν ἠρεμεῖ πᾶν, [p] ἢ ὅθεν ἢ οὗ), τῆς δὲ περιφεροῦς ἀόριστα· τί γὰρ μᾶλλον ὁποιονοῦν πέρας τῶν ἐπὶ τῆς [q] γραμμῆς; [r]Ὁμοίως γὰρ ἕκαστον καὶ ἀρχὴ καὶ μέσον [r] καὶ τέλος, ὥστ' ἀεί τέ [s] τινα εἶναι ἐν ἀρχῇ

[y] ἢ ante ἐπ' om. E. [z] ἐπ' εὐθείας] εὐθεῖα E.K. [a] γὰρ om. H. [b] μὲν γὰρ] μὲν οὖν F.H. [c] ἀλλ' ἅμα δ' E.K. [d] οὐ] οὐδὲ E. [e] τὸ om. pr. H. [f] τὴν] τὸ H. [g] εὐθείας om. E.K. [h] μὲν om. H, ante τέλειον ponit F. [i] ἀΐδιον ἐνδέχεται εἶναι F.H, ἀΐδιον εἶναι ἐνδέχεται I. [k] γενέσθαι E.H. [l] εἰ] ἡ E. [m] στάσιν I. [n] ἐφθαρμένη κίνησις E. [o] ἑαυτῇ F.I.K. [p] ἢ ὅθεν ἢ οὗ] τὸ πόθεν ποῖ K. [q] γραμμῆς] περιφεροῦς F.H. [r] καὶ τέλος om. E.F.H.I. [s] τινα om.K.

καὶ [t]ἐν τέλει καὶ μηδέποτε. Διὸ [v]κινεῖται καὶ ἠρεμεῖ πως ἡ 4
σφαῖρα· τὸν αὐτὸν γὰρ κατέχει τόπον. Αἴτιον δ' ὅτι
[w]πάντα συμβέβηκε ταῦτα [x]τῷ κέντρῳ· καὶ γὰρ ἀρχὴ καὶ
μέσον τοῦ μεγέθους καὶ τέλος ἐστίν, ὥστε διὰ τὸ ἔξω [y]εἶναι
τοῦτο τῆς [z]περιφερείας οὐκ ἔστιν ὅπου τὸ φερόμενον ἠρε-
μήσει ὡς διεληλυθός· ἀεὶ γὰρ φέρεται περὶ τὸ μέσον, ἀλλ'
οὐ πρὸς τὸ ἔσχατον. [a]Διὰ δὲ τοῦτο μένει, ἀεί [b]τε ἠρεμεῖ 5
πως τὸ ὅλον καὶ κινεῖται συνεχῶς. Συμβαίνει δ' ἀντιστρό-
φως· καὶ γὰρ ὅτι μέτρον τῶν κινήσεων ἡ περιφορά [c]ἐστι,
πρώτην ἀναγκαῖον αὐτὴν εἶναι ([d]ἅπαντα γὰρ μετρεῖται τῷ
πρώτῳ), καὶ διότι [e]πρώτη, [f]μέτρον ἐστὶ τῶν ἄλλων. [u]Ἔτι
δὲ καὶ [g]ὁμαλῆ ἐνδέχεται εἶναι τὴν κύκλῳ μόνην· τὰ γὰρ [h]ἐπ'
εὐθείας ἀνωμαλῶς ἀπὸ τῆς ἀρχῆς φέρεται καὶ πρὸς τὸ τέλος·
πάντα γὰρ ὅσῳ περ ἂν [i]ἀφίστηται [k]πλεῖον τοῦ ἠρεμοῦντος,
φέρεται [l]θᾶττον· τῆς δὲ κύκλῳ μόνης οὔτ' [m]ἀρχὴ οὔτε
τέλος [n]ἐν αὐτῇ πέφυκεν, ἀλλ' ἐκτός.

[v]Ὅτι δ' ἡ κατὰ τόπον φορὰ πρώτη τῶν κινήσεων, μαρτυ- 6
ροῦσι πάντες ὅσοι περὶ κινήσεως πεποίηνται μνείαν· τὰς
γὰρ ἀρχὰς αὐτῆς ἀποδιδόασι τοῖς κινοῦσι τοιαύτην κίνησιν.
[o]Διάκρισις γὰρ καὶ σύγκρισις κινήσεις κατὰ τόπον εἰσίν,
οὕτω δὲ κινοῦσιν ἡ φιλία καὶ τὸ νεῖκος· τὸ μὲν γὰρ διακρίνει,
τὸ δὲ συγκρίνει αὐτῶν. Καὶ τὸν νοῦν δέ φησιν [t]Ἀναξαγόρας 7
διακρίνειν τὸν κινήσαντα [p]πρῶτον. [t]Ὁμοίως δὲ [q]καὶ ὅσοι 8
τοιαύτην μὲν [r]οὐδεμίαν αἰτίαν λέγουσι, διὰ δὲ τὸ κενὸν
[s]κινεῖσθαί φασιν· καὶ γὰρ οὗτοι τὴν κατὰ τόπον [t]κίνησιν
κινεῖσθαι τὴν φύσιν λέγουσιν· ἡ γὰρ διὰ τὸ κενὸν κίνησις
φορά ἐστι [v]καὶ ὡς ἐν τόπῳ. Τῶν δ' ἄλλων οὐδεμίαν ὑπάρ-

[t] ἐν post καὶ om. E. [v] κινεῖτε K. [w] ταῦτα πάντα συμβέβηκε H.I. [x] τῷ] ἐν τῷ rc. K. [y] τοῦτο εἶναι F.H. [z] φερείας ἐκ ἔστιν ὅπου τὸ om. E. [a] διὸ E. [b] τε] καὶ F. [c] ἐστι om. E.K. [d] πάντα H.I. [e] πρώτη] πρῶτον E. [f] μέτρον] μέσον H. [g] ὁμαλὴν F.I.K. [h] ἐπὶ τῆς εὐθ. ἀπὸ τῆς ἀρχῆς ἀνωμαλῶς F. [i] ἀφίσταται H. [k] πλείω F.H.K. [l] θᾶσσον F.H.I. [m] ἀρχὴ οὔτε] ἡ ἀρχὴ οὔτε τὸ H. [n] πέφυκεν ἐν αὐτῇ F. [o] διακρίσεις γὰρ καὶ συγκρίσεις K. [p] πρότερον F.H.I. [q] καὶ om. H. [r] μηδεμίαν αἰτίαν I.K, αἰτίαν μηδεμίαν F.H. [s] φασι κινεῖσθαι F. [t] κίνησιν om. E. [v] καὶ om. E.K.

χειν [w] τοῖς πρώτοις ἀλλὰ τοῖς ἐκ τούτων [x] οἴονται· αὐξάνεσθαι γὰρ καὶ φθίνειν καὶ ἀλλοιοῦσθαι συγκρινομένων καὶ
9 διακρινομένων τῶν ἀτόμων σωμάτων φασίν. Τὸν αὐτὸν [y] δὲ τρόπον καὶ ὅσοι διὰ πυκνότητα ἢ μανότητα κατασκευάζουσι γένεσιν [z] ἢ φθοράν· συγκρίσει γὰρ καὶ [a] διακρίσει ταῦτα
10 διακοσμοῦσιν. Ἔτι δὲ παρὰ τούτους οἱ τὴν ψυχὴν αἰτίαν ποιοῦντες κινήσεως· τὸ γὰρ [b] αὐτὸ ἑαυτὸ κινοῦν ἀρχὴν εἶναί φασι τῶν κινουμένων, [c] κινεῖ δὲ τὸ ζῷον [d] καὶ πᾶν τὸ ἔμψυ-
11 χον τὴν κατὰ τόπον [e] ἑαυτὸ κίνησιν. Καὶ κυρίως δὲ κινεῖσθαί φαμεν μόνον τὸ κινούμενον [f] τὴν κατὰ τόπον [g] κίνησιν· ἂν δ' ἠρεμῇ μὲν ἐν τῷ αὐτῷ, αὐξάνηται δ' ἢ φθίνῃ ἢ ἀλλοιούμενον τυγχάνῃ, πῇ κινεῖσθαι, ἁπλῶς δὲ κινεῖσθαι οὔ φαμεν.
12 Ὅτι μὲν οὖν ἀεί [h] τε κίνησις ἦν καὶ ἔσται τὸν ἅπαντα χρόνον, καὶ τίς ἀρχὴ τῆς ἀϊδίου κινήσεως, ἔτι [i] δὲ τίς [k] πρώτη κίνησις, καὶ τίνα κίνησιν [l] ἀΐδιον ἐνδέχεται [m] μόνην εἶναι, καὶ τὸ κινοῦν πρῶτον ὅτι ἀκίνητον, εἴρηται.

10 Ὅτι δὲ τοῦτ' [n] ἀμερὲς ἀναγκαῖον εἶναι καὶ μηδὲν ἔχειν μέγεθος, νῦν [o] λέγωμεν, πρῶτον περὶ τῶν προτέρων αὐτοῦ διορίσαντες. Τούτων δ' [p] ἓν μέν ἐστιν ὅτι οὐχ οἷόν τε οὐδὲν πεπερασμένον κινεῖν ἄπειρον χρόνον. Τρία γάρ ἐστι, τὸ [q] κινοῦν, τὸ κινούμενον, [r] τὸ ἐν ᾧ τρίτον, ὁ χρόνος. Ταῦτα δὲ ἢ πάντα ἄπειρα ἢ πάντα πεπερασμένα ἢ ἔνια, οἷον τὰ δύο
2 ἢ τὸ ἕν. Ἔστω δὴ τὸ Α [s] τὸ κινοῦν, τὸ δὲ [t] κινούμενον Β, χρόνος ἄπειρος ἐφ' [v] οὗ Γ. Τὸ δὴ Δ κινείτω τι μέρος [w] τῆς Β, [x] τὸ ἐφ' [y] οὗ Ε. Οὐ δὴ ἐν ἴσῳ τῷ Γ· ἐν πλείονι [z] γὰρ τὸ μεῖζον. Ὥστ' οὐκ ἄπειρος ὁ χρόνος [a] ὁ τοῦ Ζ. Οὕτω

[w] τοῖς πρώτοις ἀλλὰ om. E. [x] οἴοντε I. [y] δὴ F.H. [z] ἢ] καὶ E.K. [a] διακρίσει ταῦτα om. E. [b] ἑαυτὸ αὐτὸ H.I. [c] κινήσει F.H.I. [d] καὶ] ἤτοι rc. K. [e] αὐτὸ H.I, αὐτὸ F. [f] τὴν om. E. [g] κίνησιν om. E.K. [h] τε om. K. [i] δὲ τίς] δὲ τίς ἡ K. [k] κίνησις πρώτη F.H.I. [l] ἐνδέχεται ἀΐδιον E. [m] μόνην] καὶ μόνην K. [n] ἀναγκαῖον εἶναι ἀμερὲς F, ἀναγκαῖον ἀμερὲς εἶναι H. [o] λέγομεν F.H. [p] ἔστι μὲν ἓν K. [q] κινούμενον τὸ κινοῦν F.H.I. [r] τὸ] καὶ H. [s] τὸ post A om. F.H.I. [t] β κινούμενον F. [v] ᾧ H. [w] τῆς B post Δ ponit E, om. K. [x] τὸ om. H. [y] ᾧ F.H.I. [z] γὰρ om. E. [a] ὁ om. H.

δὴ [b]τῇ Δ προστιθεὶς καταναλώσω τὸ Α καὶ τῇ Ε τὸ Β· τὸν δὲ χρόνον οὐ καταναλώσω ἀεὶ ἀφαιρῶν ἴσον· ἄπειρος γάρ· ὥστε ἡ πᾶσα Α τὴν [c]ὅλην Β κινήσει ἐν πεπερασμένῳ χρόνῳ τοῦ Γ. Οὐκ ἄρα οἷόν τε ὑπὸ πεπερασμένου κινεῖσθαι οὐδὲν ἄπειρον κίνησιν. [d]Ὅτι μὲν οὖν οὐκ ἐνδέχεται τὸ πεπε- 3
ρασμένον ἄπειρον κινεῖν χρόνον, φανερόν· ὅτι δ' ὅλως [d]οὐκ ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν, ἐκ τῶνδε δῆλον. [d]Ἔστω γὰρ ἡ πλείων δύναμις [e]ἀεὶ [f]ἡ τὸ ἴσον [f]ἐν ἐλάττονι χρόνῳ ποιοῦσα, οἷον θερμαίνουσα ἢ γλυκαίνουσα ἢ ῥίπτουσα καὶ ὅλως κινοῦσα. [d]Ἀνάγκη ἄρα καὶ ὑπὸ τοῦ πεπερασμένου μὲν ἄπειρον δ' ἔχοντος δύναμιν πάσχειν τι [g]τὸ πάσχον, καὶ πλείω ἢ ὑπ' ἄλλου· [h]πλείων γὰρ ἡ ἄπειρος [i]δύναμις. [d]Ἀλλὰ μὴν χρόνον γε οὐκ ἐνδέχεται εἶναι οὐδένα. Εἰ γάρ ἐστιν ὁ [k]ἐφ' ᾧ Α χρόνος, ἐν ᾧ [l]ἡ ἄπειρος ἰσχὺς 4
[m]ἐθέρμηνεν ἢ [n]ἔωσεν, ἐν ᾧ δ' [o]ὁ Α Β, πεπερασμένη τις, πρὸς ταύτην μείζω [p]ἀεὶ λαμβάνων πεπερασμένην [q]ἥξω ποτὲ εἰς [r]τὸ ἐν τῷ Α χρόνῳ κεκινηκέναι· πρὸς πεπερασμένον γὰρ ἀεὶ προστιθεὶς [s]ὑπερβαλῶ παντὸς ὡρισμένου, καὶ [t]ἀφαιρῶν ἐλλείψω ὡσαύτως. [d]Ἐν ἴσῳ [v]ἄρα χρόνῳ κινήσει [w]ἡ πεπε- 5
ρασμένη τῇ ἀπείρῳ. Τοῦτο δ' ἀδύνατον· οὐδὲν ἄρα πεπερασμένον ἐνδέχεται ἄπειρον [x]δύναμιν ἔχειν. Οὐ τοίνυν οὐδ' ἐν ἀπείρῳ πεπερασμένην· [y]καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει [z]πλείω δύναμιν εἶναι, ἀλλ' ἔτι μᾶλλον ἐν μείζονι [a]πλείω. [d]Ἔστω δὴ τὸ ἐφ' οὗ [b]Α Β ἄπειρον. Τὸ δὴ Β Γ ἔχει δύνα- 6
μίν τινα, [c]ἣ ἔν τινι χρόνῳ ἐκίνησε τὴν Δ, ἐν τῷ χρόνῳ ἐφ' οὗ Ε Ζ. [d]Ἂν δὴ τῆς Β Γ [d]διπλασίαν λαμβάνω, ἐν ἡμίσει

[b] τῇ] τῷ E.H, τὸ I.K. [c] β ὅλην F.H.I. [d] οὐκ ἐνδέχεται post μεγέθει F.H.I. [e] ἀεὶ post γὰρ E.K. [f] ἡ et ἐν om. E. [g] τὸ om. F.I. [h] πλείων] πλείω K. [i] δύναμις om. E.K. [k] ἐφ' ᾧ] ἐφ' οὗ K. [l] ἡ om. E. [m] ἐθέρμανεν E.F, ἐθέρμαινεν I, ἢ ἐθέρμηνεν H. [n] ἐσωσεν E. [o] ὁ om. E.K. [p] λαμβάνων ἀεὶ E.K. [q] ἥξω] δὲ ἥξω H. [r] τὸ ἐν om. pr. K. [s] ὑπερβάλλων E. [t] ἀφαιρῶν ἀεὶ ἐλλείψω K. [v] χρόνῳ ἄρα I. [w] τῇ ἀπείρῳ ἡ πεπερασμένη E.K. [x] ἔχειν δύναμιν F. [y] καίτοι γε ἐνδ. K. [z] πλείονα F.H.I. [a] πλείων I. et pr. H. [b] β α I. [c] ᾗ K. [d] διπλάσιον F.

[e] κινήσει χρόνῳ τοῦ E Z (ἔστω γὰρ αὕτη ἡ ἀναλογία), ὥστ' ἐν τῷ [f] Z Θ κινήσει. Οὐκοῦν οὕτω λαμβάνων ἀεὶ τὴν μὲν A B οὐδέποτε διέξειμι, [g] χρόνου δὲ τοῦ δοθέντος ἀεὶ ἐλάττω λήψομαι. [h]Απειρος ἄρα ἡ δύναμις ἔσται· πάσης γὰρ πε-
7 περασμένης [h] ὑπερβάλλει δυνάμεως. [i] Πάσης δὲ πεπερασμένης δυνάμεως ἀνάγκη πεπερασμένον εἶναι καὶ [k] τὸν χρόνον· εἰ γὰρ [l] ἔν τινι ἡ τοσηδί, ἡ μείζων ἐν ἐλάττονι μὲν ὡρισμένῳ δὲ [m] κινήσει χρόνῳ, κατὰ τὴν ἀντιστροφὴν τῆς ἀναλογίας. [n]Απειρος δὲ πᾶσα δύναμις, ὥσπερ καὶ πλῆθος καὶ μέγεθος τὸ ὑπερβάλλον παντὸς ὡρισμένου. [n]Εστι δὲ καὶ ὧδε δεῖξαι τοῦτο· ληψόμεθα γὰρ [n] δή τινα δύναμιν τὴν αὐτὴν τῷ γένει [o] τῇ ἐν τῷ ἀπείρῳ μεγέθει, ἐν πεπερασμένῳ μεγέθει οὖσαν, ἣ καταμετρήσει [p] τὴν ἐν τῷ ἀπείρῳ πεπερασμένην δύναμιν.
8 [v]Οτι μὲν οὖν οὐκ ἐνδέχεται ἄπειρον εἶναι δύναμιν ἐν πεπερασμένῳ μεγέθει, [q] οὐδὲ πεπερασμένην [r] ἐν ἀπείρῳ, ἐκ [s] τούτων δῆλον. Περὶ δὲ τῶν φερομένων [t] καλῶς ἔχει διαπορῆσαί τινα ἀπορίαν πρῶτον. Εἰ γὰρ πᾶν τὸ κινούμενον κινεῖται ὑπὸ τινός, ὅσα μὴ αὐτὰ ἑαυτὰ κινεῖ, πῶς κινεῖται [v] ἔνια συνεχῶς
9 μὴ ἁπτομένου τοῦ κινήσαντος; οἷον τὰ ῥιπτούμενα. Εἰ δ' ἅμα κινεῖ καὶ ἄλλο τι ὁ κινήσας, οἷον τὸν ἀέρα, ὃς κινούμενος [w] κινεῖ, ὁμοίως ἀδύνατον τοῦ πρώτου μὴ ἁπτομένου μηδὲ κινοῦντος κινεῖσθαι, ἀλλ' ἅμα [x] πάντα [y] καὶ [z] κινεῖσθαι καὶ πεπαῦσθαι, ὅταν τὸ πρῶτον κινοῦν παύσηται, καὶ εἰ ποιεῖ
10 ὥσπερ [a] ἡ λίθος, οἷον [b] κινεῖ ὃ ἐκίνησεν. [c]Ανάγκη [c] δὴ τοῦτο μὲν λέγειν, ὅτι [d] τὸ πρῶτον κινῆσαν ποιεῖ οἷόν [e] τε κινεῖν, ἢ τὸν ἀέρα τοιοῦτον ἢ τὸ ὕδωρ ἤ [f] τι ἄλλο [g] τοιοῦτον [h] ὃ πέ-

[e] κινήσεις F, om. E.H. [f] ζ καὶ θ F.H.I. [g] χρόνου I, τοῦ χρόνου E.K. [h] ὑπερβάλλει—πεπερασμένης om. pr. E. [i] πάσης δὲ] εἴγε πάσης K. [k] τὸν om. E. [l] ἐν om. F. [m] χρόνῳ κινήσει E.K. [n] δή om. E.H. [o] τῇ] τὴν I. [p] τὴν πεπ. δύν. ἐν τῷ ἀπείρῳ E, τὴν πεπ. δύν. τὴν ἐν τῷ ἀπείρῳ K. [q] οὐδ' ἐν ἀπείρῳ πεπερασμένην E.K. [r] ἐν om. F. [s] τῶνδε H. [t] ἔχει καλῶς E.K. [v] συνεχῶς ἔνια E. [w] κινοίη H.I. [x] πάντα om. K. [y] καὶ om. F.H.I.K. [z] κεκινῆσθαι H. [a] ὁ F. [b] κινεῖν H, τε κινεῖ K. [c] δὲ F.H.I. [d] τὸ om. F. [e] τε] καὶ E, τι καὶ F. [f] ἄλλο τι F.H. [g] τοιοῦτον om. E.K. [h] ὃ om. E.

φυκε κινεῖν καὶ κινεῖσθαι. [d]Αλλ' οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμενον, ἀλλὰ κινούμενον μὲν ἅμα, ὅταν ὁ κινῶν παύσηται κινῶν, κινοῦν δὲ ἔτι ἐστίν. Διὸ [i]καὶ [k]κινεῖταί τι ἄλλου ἐχό- 11
μενον· καὶ ἐπὶ τούτου ὁ αὐτὸς λόγος. Παύεται δέ, [l]ὅταν ἐλάττων ἡ δύναμις τοῦ κινεῖν [m]ἐγγένηται τῷ ἐχομένῳ. Τέ-
λος [n]δὲ παύεται, ὅταν μηκέτι ποιήσῃ τὸ πρότερον κινοῦν, ἀλλὰ κινούμενον μόνον. Ταῦτα δ' ἀνάγκη ἅμα παύεσθαι τὸ μὲν [o]κινοῦν τὸ δὲ κινούμενον, καὶ τὴν ὅλην κίνησιν. Αὕτη 12
μὲν οὖν ἐν τοῖς ἐνδεχομένοις ὁτὲ μὲν κινεῖσθαι ὁτὲ δ' ἠρεμεῖν ἐγγίγνεται ἡ κίνησις, καὶ οὐ συνεχής, ἀλλὰ φαίνεται· ἢ γὰρ ἐφεξῆς ὄντων ἢ ἁπτομένων ἐστίν· οὐ γὰρ ἓν τὸ κινοῦν, ἀλλ' ἐχόμενα ἀλλήλων. Διὸ [p]καὶ ἐν ἀέρι καὶ [q]ἐν ὕδατι γίνεται ἡ τοιαύτη κίνησις, ἣν λέγουσί τινες ἀντιπερίστασιν εἶναι. [d]Αδύνατον δὲ ἄλλως τὰ ἀπορηθέντα λύειν, εἰ μὴ τὸν εἰρημέ-
νον τρόπον. [t]Η δ' ἀντιπερίστασις ἅμα πάντα κινεῖσθαι ποιεῖ καὶ κινεῖν, ὥστε καὶ [r]παύεσθαι. Νῦν δὲ φαίνεταί [s]τι 13
ἓν κινούμενον συνεχῶς· ὑπὸ τίνος οὖν; Οὐ γὰρ ὑπὸ τοῦ αὐ-
τοῦ. [d]Επεὶ δ' ἐν τοῖς οὖσιν [t]ἀνάγκη [v]κίνησιν εἶναι συνεχῆ, αὕτη δὲ μία ἐστίν, ἀνάγκη δὲ τὴν μίαν μεγέθους [w]τέ τινος εἶναι (οὐ γὰρ [x]κινεῖται [y]τὸ [z]ἀμέγεθες) καὶ ἑνὸς καὶ ὑφ' ἑνός· οὐ γὰρ ἔσται συνεχής, ἀλλ' ἐχομένη [a]ἑτέρα ἑτέρας καὶ διῃρημένη. Τὸ [b]δὴ κινοῦν εἰ ἕν, ἢ κινούμενον κινεῖ ἢ ἀκίνητον 14
ὄν. Εἰ μὲν δὴ κινούμενον, συνακολουθεῖν δεήσει καὶ μετα-
βάλλειν αὐτό, ἅμα [c]δὲ κινεῖσθαι ὑπό τινος· ὥστε στήσεται καὶ ἥξει εἰς τὸ κινεῖσθαι ὑπὸ ἀκινήτου. Τοῦτο γὰρ οὐκ ἀνάγκη [d]συμμεταβάλλειν, ἀλλ' ἀεί [e]τε δυνήσεται κινεῖν (ἄπονον γὰρ τὸ οὕτω κινεῖν) καὶ ὁμαλὴς αὕτη ἡ κίνησις ἢ μόνη ἢ μάλιστα· οὐ γὰρ ἔχει μεταβολὴν [f]τὸ κινοῦν οὐδε-

[i] καὶ om. H.I.K. [k] κινεῖται ἄλλου F.I, κινεῖται ἄλλο H, κινεῖ τι ἄλλο K. E. ambiguus. [l] ὅταν] ὅταν ἀεὶ E.K. [m] ἐγγίνηται F.H. [n] δὲ om. E. [o] κινούμενον τὸ δὲ κινοῦν K. [p] καὶ om. E.K. [q] ἐν om. E.K. [r] παύεται F.H.I. [s] ἕν τι F.H.I. [t] ἀνάγκη] ἀνάγκη ἀεὶ F.I. [v] εἶναι κίνησιν E, εἶναί τινα κίνησιν K. [w] γέ F.H.K. [x] κινεῖ E. [y] τὸ om. E.H. [z] ἀμέγεθος I. [a] ἑτέρα om. E. [b] δὲ E. [c] δὲ] δὲ καὶ K. [d] συμβάλλειν I. [e] τε om. F.H. [f] οὐδεμίαν τὸ κινοῦν F.H.I.

μίαν. Δεῖ δὲ οὐδὲ τὸ κινούμενον πρὸς [g] ἐκείνου ἔχειν μεταβολήν, ἵνα ὁμοία ᾖ [h] ἡ κίνησις. [1] Ἀνάγκη [i] δὴ ἢ ἐν μέσῳ ἢ [k] ἐν κύκλῳ εἶναι· αὗται γὰρ [l] αἱ ἀρχαί. [1] Ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. Τοιαύτη δ' ἡ τοῦ [m] ὅλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν. [1] Ἔχει δ' ἀπορίαν, εἰ ἐνδέχεταί [n] τι κινούμενον κινεῖν συνεχῶς, ἀλλὰ μὴ ὥσπερ τὸ ὠθοῦν πάλιν καὶ πάλιν, [o] τῷ ἐφεξῆς εἶναι [p] συνεχῶς· ἢ γὰρ αὐτὸ [q] δεῖ ὠθεῖν ἢ ἕλκειν, ἢ ἄμφω, ἢ ἕτερόν τι ἐκδεχόμενον [r] ἄλλο παρ' ἄλλου, [s] ὥσπερ πάλαι ἐλέχθη ἐπὶ τῶν ῥιπτου-
μένων. [t] Εἰ δὲ διαιρετὸς [v] ὢν ὁ ἀὴρ [w] ἢ τὸ ὕδωρ κινεῖ, [x] ἀλλ' ὡς ἀεὶ κινούμενος, ἀμφοτέρως δ' οὐχ οἷόν τε μίαν εἶναι, ἀλλ' ἐχομένην. [y] Μόνη ἄρα συνεχὴς ἣν κινεῖ τὸ ἀκίνητον· ἀεὶ γὰρ ὁμοίως ἔχον καὶ πρὸς τὸ κινούμενον ὁμοίως [z] ἕξει καὶ συνεχῶς. Διωρισμένων δὲ τούτων φανερὸν ὅτι ἀδύνατον [a] τὸ πρῶτον κινοῦν καὶ [b] ἀκίνητον ἔχειν [c] τι μέγεθος. Εἰ [d] γὰρ μέγεθος ἔχει, ἀνάγκη ἤτοι πεπερασμένον αὐτὸ εἶναι ἢ ἄπειρον. [1] Ἄπειρον μὲν οὖν ὅτι οὐκ ἐνδέχεται μέγεθος εἶναι, [e] δέδεικται πρότερον ἐν τοῖς φυσικοῖς· ὅτι δὲ τὸ πεπερασμένον ἀδύνατον ἔχειν [f] δύναμιν ἄπειρον, καὶ ὅτι [g] ἀδύνατον ὑπὸ πεπερασμένου κινεῖσθαί τι ἄπειρον χρόνον, δέδεικται [h] νῦν. Τὸ [i] δέ γε πρῶτον κινοῦν ἀΐδιον [k] κινεῖ κίνησιν καὶ ἄπειρον χρόνον. Φανερὸν τοίνυν ὅτι ἀδιαίρετόν ἐστι καὶ ἀμερὲς καὶ οὐδὲν ἔχον μέγεθος.

[g] ἐκεῖνο E.H.K. [h] ἡ om. F. [i] δὲ F.I. [k] ἐν om. H. [l] αἱ om. I. [m] κύκλου H.K. [n] τι] τὸ E.K. [o] τῷ] καὶ τῷ H, καὶ τὸ K. [p] συνεχής K, συνεχῆ F.H.I. [q] δεῖ] δὴ F, δεῖ ἀεὶ E.K. [r] ἄλλου F. [s] ὥσπερ] ὡς καὶ H. [t] εἰ δὲ δι. om. pr. E, δὲ om. K. [v] ὢν] γὰρ ὢν E. [w] ἢ] καὶ E. [x] ἀλλ' ὡς] ἄλλος F, ἄλλον K. [y] μόνη] μένει F.K. [z] ἥξει E. [a] τὸ τὸ πρ. E. [b] ἀκίνητον ὂν ἔχειν H. [c] τι] τὸ E. [d] γὰρ τὸ μ. E. [e] πρότερον δέδεικται F. [f] ἄπειρον δύναμιν F.H.I. [g] ἀδύνατόν ἐστιν ὑπὸ F.K. [h] νῦν] τὰ νῦν H. [i] δέ om. K, ante τὸ ponit E. [k] κίνησιν κινεῖ H.

ΠΕΡΙ ΟΥΡΑΝΟΥ Α.

Η ΠΕΡΙ φύσεως ἐπιστήμη σχεδὸν ἡ πλείστη φαίνεται περὶ [a]τε σώματα καὶ μεγέθη καὶ τὰ τούτων οὖσα πάθη καὶ τὰς κινήσεις, ἔτι δὲ περὶ τὰς ἀρχάς, ὅσαι τῆς τοιαύτης οὐσίας εἰσίν· τῶν γὰρ φύσει συνεστώτων τὰ μέν [b]ἐστι [c]σώματα καὶ μεγέθη, τὰ δ' ἔχει σῶμα καὶ μέγεθος, τὰ δ' ἀρχαὶ τῶν ἐχόντων εἰσίν. Συνεχὲς μὲν οὖν ἐστὶ τὸ [d]διαιρετὸν εἰς [e]ἀεὶ 2
διαιρετά, σῶμα δὲ τὸ πάντῃ διαιρετόν. [f]Μεγέθους δὲ τὸ μὲν ἐφ' ἓν γραμμή, τὸ δ' ἐπὶ δύο ἐπίπεδον, τὸ δ' ἐπὶ τρία σῶμα· καὶ παρὰ ταῦτα οὐκ ἔστιν ἄλλο μέγεθος διὰ τὸ [g]τὰ τρία πάντα εἶναι καὶ τὸ [h]τρὶς πάντῃ. Καθάπερ [i]γάρ φασι καὶ οἱ Πυθαγόρειοι, τὸ πᾶν καὶ τὰ πάντα [k]τοῖς τρισὶν ὥρισται· τελευτὴ γὰρ καὶ μέσον καὶ ἀρχὴ [l]τὸν ἀριθμὸν ἔχει [m]τὸν τοῦ παντός, ταῦτα δὲ τὸν τῆς τριάδος. Διὸ παρὰ τῆς φύ- 3
σεως εἰληφότες ὥσπερ νόμους ἐκείνης, καὶ πρὸς τὰς ἀγιστείας χρώμεθα τῶν θεῶν τῷ ἀριθμῷ τούτῳ. Ἀποδίδομεν δὲ καὶ τὰς προσηγορίας [n]τὸν τρόπον τοῦτον· τὰ γὰρ δύο ἄμφω [o]μὲν λέγομεν καὶ τοὺς δύο ἀμφοτέρους, πάντας δ' οὐ λέγομεν, ἀλλὰ κατὰ τῶν τριῶν ταύτην τὴν [p]προσηγορίαν [q]φαμὲν πρῶτον. Ταῦτα δ', ὥσπερ εἴρηται, διὰ τὸ τὴν φύσιν αὐτὴν [r]οὕτως ἐπάγειν ἀκολουθοῦμεν. [v]Ὥστ' ἐπεὶ τὰ πάντα 4
καὶ τὸ πᾶν καὶ [s]τὸ τέλειον οὐ κατὰ τὴν ἰδέαν διαφέρουσιν ἀλλήλων, ἀλλ' εἴπερ [t]ἄρα, ἐν τῇ ὕλῃ καὶ ἐφ' ὧν [v]λέγονται,

Codices E.F.H.L.M. et ab initio k. [a] τε om. pr. E. [b] εἰσι M. [c] σώματα F. [d] ἀδιαίρετον pr. E. [e] αἰεὶ L. [f] μέγεθος k. [g] τὰ om. E.M. [h] τρεῖς F. [i] γάρ om. L. cum pr. E. et corr. F. [k] τοῖς om. M. [l] τὸν om. k. [m] τὸν om. M. [n] τοῦτον τὸν τρόπον M. [o] μὲν om. M. [p] κατηγορίαν E.M. [q] κατάφαμεν H, εἰλήφαμεν E. [r] ἐπάγειν οὕτως F.M. [s] τὸ om. k. [t] ἄρα om. E.L. [v] λέγεται H.

τὸ σῶμα [w] μόνον ἂν εἴη τῶν μεγεθῶν τέλειον· μόνον γὰρ
5 ὥρισται τοῖς τρισίν. Τοῦτο δ' ἐστὶ [x] πᾶν. Τριχῇ δὲ ὂν διαιρετὸν πάντῃ [y] διαιρετόν ἐστιν· τῶν δ' ἄλλων τὸ [z] μὲν ἐφ' [a] ἕν, τὸ δ' ἐπὶ δύο· ὡς γὰρ τοῦ ἀριθμοῦ τετυχήκασιν, οὕτω καὶ τῆς διαιρέσεως καὶ τοῦ συνεχοῦς· τὸ μὲν γὰρ ἐφ' ἓν συνεχές, τὸ δ' ἐπὶ δύο, τὸ δὲ πάντῃ τοιοῦτον. [v]Ὅσα μὲν οὖν
6 διαιρετὰ τῶν μεγεθῶν, καὶ συνεχῆ ταῦτα. Εἰ δὲ καὶ τὰ συνεχῆ [b] πάντα [c] διαιρετά, οὔπω δῆλον ἐκ τῶν νῦν· ἀλλ' ἐκεῖνο μὲν δῆλον, ὡς οὐκ ἔστιν ἄλλο γένος μετάβασις, ὥσπερ ἐκ μήκους εἰς ἐπιφάνειαν, εἰς δὲ σῶμα ἐξ ἐπιφανείας· οὐ γὰρ [d] ἂν ἔτι τὸ τοιοῦτον τέλειον εἴη μέγεθος· ἀνάγκη γὰρ γίγνεσθαι τὴν [e] ἔκβασιν κατὰ τὴν ἔλλειψιν, οὐχ οἷόν τε δὲ τὸ
7 [f] τέλειον [g] ἐλλείπειν· πάντῃ γάρ ἐστιν. Τῶν μὲν οὖν ἐν μορίου εἴδει σωμάτων [h] κατὰ τὸν λόγον ἕκαστον τοιοῦτόν ἐστιν· πάσας γὰρ ἔχει τὰς διαστάσεις. [i]Αλλ' ὥρισται πρὸς τὸ πλησίον ἁφῇ, διὸ τρόπον τινὰ πολλὰ τῶν σωμάτων ἕκαστόν ἐστιν. Τὸ δὲ πᾶν οὗ ταῦτα μόρια, τέλειον [i] ἀναγκαῖον εἶναι καὶ καθάπερ τοὔνομα σημαίνει, [k] πάντῃ, καὶ μὴ τῇ μὲν τῇ [l] δ' οὔ.

2 Περὶ μὲν οὖν τῆς τοῦ παντὸς φύσεως, εἴτ' ἄπειρός ἐστι κατὰ [m] τὸ μέγεθος εἴτε [n] πεπέρανται τὸν σύνολον ὄγκον, ὕστερον ἐπισκεπτέον· περὶ δὲ τῶν κατ' εἶδος αὐτοῦ μορίων νῦν [o] λέγωμεν ἀρχὴν ποιησάμενοι τήνδε. Πάντα γὰρ τὰ φυσικὰ σώματα καὶ μεγέθη καθ' αὑτὰ κινητὰ λέγομεν εἶναι κατὰ τόπον· τὴν γὰρ φύσιν [p] κινήσεως ἀρχὴν [q] εἶναί φαμεν
2 [r] αὐτοῖς. Πᾶσα δὲ κίνησις [s] ὅση κατὰ τόπον, ἣν καλοῦμεν φοράν, ἢ εὐθεῖα ἢ κύκλῳ ἢ [t] ἐκ τούτων μικτή· ἁπλαῖ γὰρ

[w] ἂν εἴη μόνον F. [x] πᾶν] πᾶν τριχῇ διαιρετόν k. [y] διαιρετέον E. [z] μὲν ἐπὶ δύο, τὸ δὲ ἐφ' ἕν L. [a] ἑνὸς pr. E. [b] ἅπαντα F.L.M. [c] διαιρετὰ εἰς ἄπειρον οὔπω k. [d] ἂν ante εἴη F, utroque loco M. [e] μετάβασιν H. [f] τέλος E. [g] ἐκλείπειν L. [h] ἕκαστον κατὰ τὸν λόγον τοιοῦτόν M. [i] ἀνάγκη L. [k] πᾶν L. et pr. E. [l] δὲ μή H.L. [m] τὸ om. M. [n] πεπέραται M. [o] λέγομεν L. [p] ἀρχὴν κινήσεως H.L.M. [q] λέγομεν εἶναι M. [r] ἐν αὐτοῖς L.M. [s] ὅση] ἡ L, om. E. [t] μικτὴ ἐκ τούτων M.

αὖται δύο μόναι. Αἴτιον δ' ὅτι καὶ τὰ μεγέθη ταῦτα ἁπλᾶ μόνον, ἥ τ' εὐθεῖα καὶ ἡ περιφερής. Κύκλῳ μὲν οὖν [v]ἐστὶν 3
ἡ περὶ τὸ μέσον, εὐθεῖα δ' ἡ ἄνω καὶ κάτω. Λέγω δ' ἄνω μὲν τὴν ἀπὸ τοῦ μέσου, κάτω δὲ τὴν ἐπὶ τὸ μέσον. [w]Ὥστ' ἀνάγκη πᾶσαν εἶναι τὴν ἁπλῆν φορὰν τὴν μὲν ἀπὸ τοῦ μέσου, τὴν δ' ἐπὶ τὸ μέσον, τὴν δὲ περὶ τὸ μέσον. Καὶ ἔοικεν ἠκολουθηκέναι [w]κατὰ λόγον [x]τοῦτο τοῖς ἐξ ἀρχῆς· τό τε γὰρ σῶμα [y]ἀπετελέσθη ἐν τρισὶ καὶ ἡ κίνησις αὐτοῦ.
[z]Ἐπεὶ δὲ τῶν σωμάτων τὰ μέν ἐστιν ἁπλᾶ τὰ δὲ σύνθετα ἐκ 4
τούτων (λέγω δ' ἁπλᾶ [z]ὅσα κινήσεως ἀρχὴν ἔχει κατὰ φύσιν, οἷον πῦρ [a]καὶ γῆν καὶ τὰ τούτων εἴδη καὶ τὰ συγγενῆ τούτοις), ἀνάγκη καὶ τὰς κινήσεις εἶναι τὰς μὲν ἁπλᾶς τὰς δὲ μικτάς πως, [b]καὶ τῶν μὲν ἁπλῶν ἁπλᾶς, μικτὰς δὲ τῶν συνθέτων, κινεῖσθαι δὲ κατὰ τὸ ἐπικρατοῦν. Εἴπερ οὖν ἐστὶν 5
ἁπλῆ κίνησις, ἁπλῆ δ' ἡ κύκλῳ κίνησις, καὶ τοῦ [c]τε ἁπλοῦ σώματος ἁπλῆ ἡ κίνησις καὶ ἡ ἁπλῆ κίνησις ἁπλοῦ σώματος (καὶ γὰρ [d]ἂν [e]συνθέτου [f]ᾖ, κατὰ τὸ ἐπικρατοῦν ἔσται), ἀναγκαῖον εἶναί τι σῶμα ἁπλοῦν ᾧ πέφυκε φέρεσθαι τὴν κύκλῳ κίνησιν κατὰ τὴν [g]ἑαυτοῦ φύσιν· βίᾳ μὲν γὰρ ἐνδέχεται τὴν ἄλλου καὶ ἑτέρου, κατὰ φύσιν δὲ ἀδύνατον, εἴπερ [h]μία ἑκάστου κίνησις ἡ κατὰ φύσιν τῶν ἁπλῶν. [i]Ἔτι εἰ 6
ἡ παρὰ φύσιν [k]ἐναντία τῇ κατὰ φύσιν καὶ ἓν ἑνὶ ἐναντίον, ἀνάγκη, ἐπεὶ [l]ἁπλῆ ἡ κύκλῳ, εἰ μὴ [m]ἔσται κατὰ φύσιν τοῦ φερομένου σώματος, παρὰ φύσιν αὐτοῦ εἶναι. Εἰ οὖν πῦρ ἢ ἄλλο τι τῶν τοιούτων ἐστὶ τὸ κύκλῳ φερόμενον, ἐναντία ἡ κατὰ φύσιν αὐτοῦ φορὰ ἔσται τῇ κύκλῳ. Ἀλλ' [n]ἓν ἑνὶ ἐναντίον· ἡ δ' ἄνω [o]καὶ κάτω ἀλλήλαις ἐναντίαι. Εἰ δ' ἕτερόν τί ἐστι σῶμα τὸ φερόμενον κύκλῳ παρὰ φύσιν, ἔσται τις [p]αὐτοῦ ἄλλη κίνησις κατὰ φύσιν. [q]Τοῦτο δ' ἀδύνατον·

[v] ἡ περὶ τὸ μέσον ἐστίν M. [w] κατὰ] καὶ κατὰ E. [x] τοῦτο ante κατὰ F. [y] ἀπετελέσθαι M. [z] ὅσα] μὲν ὅσα F.H. [a] καὶ ante γῆν om. F. [b] καὶ om. F.M. [c] γε H. [d] ἂν om. pr. E. [e] σύνθετον E. [f] ᾖ om. H. [g] αὐτοῦ E. [h] μία] βίᾳ L. [i] ἔτι om. pr. E. [k] ἐναντία τῇ κ. φ. om. E. [l] ἡ κύκλῳ ἁπλῆ F. [m] ἔστι M. [n] ἓν om. pr. E. [o] καὶ] τῇ F. [p] αὐτοῦ ante ἔσται M, ante κατὰ F. [q] τοῦτο δ'] ἀλλὰ τοῦτ' F.H.M.

εἰ μὲν γὰρ ἡ ἄνω, πῦρ ἔσται ἢ ἀήρ, εἰ δ' ἡ κάτω, ὕδωρ ἢ γῆ.
7 Ἀλλὰ μὴν καὶ πρώτην γε ἀναγκαῖον εἶναι τὴν τοιαύτην φοράν. Τὸ γὰρ τέλειον πρότερον τῇ φύσει τοῦ ἀτελοῦς, ὁ δὲ κύκλος τῶν τελείων, εὐθεῖα δὲ [r] γραμμὴ οὐδεμία· οὔτε γὰρ ἡ ἄπειρος (ἔχοι γὰρ [s] ἂν [t] πέρας καὶ τέλος) [v] οὔτε τῶν πεπερασμένων οὐδεμία (πασῶν γάρ [w] ἐστί τι ἐκτός· αὐξῆσαι γὰρ
8 ἐνδέχεται ὁποιανοῦν). [v] Ὥστ' εἴπερ ἡ μὲν προτέρα κίνησις προτέρου [x] τῇ φύσει σώματος, ἡ δὲ κύκλῳ προτέρα τῆς εὐθείας, ἡ δ' ἐπ' εὐθείας τῶν ἁπλῶν σωμάτων ἐστί (τό τε γὰρ πῦρ ἐπ' εὐθείας ἄνω φέρεται καὶ τὰ γεηρὰ [y] κάτω πρὸς τὸ μέσον), ἀνάγκη καὶ τὴν κύκλῳ κίνησιν τῶν ἁπλῶν τινὸς εἶναι σωμάτων· τῶν γὰρ μικτῶν τὴν φορὰν ἔφαμεν εἶναι κατὰ τὸ
9 ἐπικρατοῦν ἐν τῇ μίξει τῶν ἁπλῶν. [u] Ἐκ [z] τε δὴ τούτων φανερὸν ὅτι πέφυκέ τις οὐσία σώματος ἄλλη παρὰ τὰς ἐνταῦθα συστάσεις, θειοτέρα [a] καὶ προτέρα τούτων [b] ἁπάντων, κἂν εἴ τις ἔτι λάβοι πᾶσαν εἶναι κίνησιν ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν, καὶ τὴν ἄλλῳ [c] παρὰ φύσιν ἑτέρῳ κατὰ φύσιν, οἷον ἡ ἄνω καὶ ἡ κάτω πέπονθεν· ἡ μὲν γὰρ τῷ πυρί, ἡ δὲ τῇ γῇ [d] παρὰ φύσιν καὶ κατὰ φύσιν· ὥστ' ἀναγκαῖον καὶ τὴν κύκλῳ κίνησιν, ἐπειδὴ τούτοις παρὰ φύσιν, ἑτέρου [e] τινὸς εἶναι κατὰ
10 φύσιν. Πρὸς δὲ τούτοις εἰ μέν ἐστιν ἡ κύκλῳ [f] τινὶ φορὰ κατὰ φύσιν, δῆλον ὡς [g] εἴη ἄν τι σῶμα τῶν ἁπλῶν καὶ πρώτων, ὃ πέφυκεν, ὥσπερ τὸ πῦρ ἄνω καὶ ἡ γῆ κάτω, [h] ἐκεῖνο
11 [i] κύκλῳ φέρεσθαι κατὰ φύσιν. Εἰ δὲ παρὰ φύσιν φέρεται τὰ φερόμενα κύκλῳ τὴν πέριξ φοράν, θαυμαστὸν καὶ παντελῶς ἄλογον τὸ μόνην εἶναι συνεχῆ ταύτην τὴν κίνησιν καὶ ἀΐδιον, οὖσαν παρὰ φύσιν· φαίνεται γὰρ ἔν [k] γε τοῖς ἄλλοις τάχιστα φθειρόμενα τὰ παρὰ φύσιν. [v] Ὥστ' εἴπερ ἐστὶ πῦρ τὸ φερόμενον, καθάπερ φασί τινες, οὐθὲν ἧττον αὐτῷ παρὰ

[r] οὐδεμία γραμμή L. [s] ἂν om. pr. E. [t] τέλος καὶ πέρας E.L. [v] οὔτε δὲ τῶν L. [w] ἔσται L, om. E. [x] τῇ] τινὸς τῇ M. [y] κάτω] κάτω σώματα M, σώματα κάτω H. [z] τε om. M. [a] καὶ προτέρα om. E. [b] πάντων L. [c] παρὰ φ. ἑτέρῳ κατὰ] κατὰ φ. ἑτέρῳ παρὰ H.M. [d] κατὰ φ. καὶ παρὰ H. [e] εἶναί τινος M. [f] φορά τινι F. [g] ἂν εἴη E.L. [h] κακεῖνο L, κεῖνο E. [i] φέρεσθαι κύκλῳ H. [k] τε E.F.

φύσιν ἡ κίνησίς ἐστιν αὕτη [l]ἢ ἡ κάτω· πυρὸς γὰρ κίνησιν
ὁρῶμεν τὴν ἀπὸ τοῦ μέσου κατ' εὐθεῖαν. Διόπερ ἐξ ἁπάν- 12
των ἄν τις τούτων [m]συλλογιζόμενος [n]πιστεύσειεν ὡς ἔστι
τι παρὰ τὰ σώματα [o]τὰ δεῦρο καὶ περὶ ἡμᾶς ἕτερον κεχω-
ρισμένον, τοσούτῳ τιμιωτέραν ἔχον τὴν φύσιν ὅσῳπερ ἀφέ-
στηκε τῶν ἐνταῦθα [p]πλεῖον.

[q]Ἐπεὶ δὲ τὰ μὲν ὑπόκειται τὰ δ' ἀποδέδεικται τῶν εἰρη- 3
μένων, φανερὸν ὅτι οὔτε [r]κουφότητα οὔτε βάρος ἔχει σῶμα
[s]ἅπαν. Δεῖ δὲ ὑποθέσθαι τί λέγομεν τὸ βαρὺ [t]καὶ τὸ κοῦ-
φον, νῦν μὲν ἱκανῶς [u]ὡς πρὸς [v]τὴν παροῦσαν χρείαν, ἀκρι-
βέστερον δὲ πάλιν, ὅταν [w]ἐπισκοπῶμεν περὶ τῆς οὐσίας αὐ-
τῶν. Βαρὺ μὲν οὖν ἔστω τὸ φέρεσθαι πεφυκὸς ἐπὶ τὸ μέσον, 2
κοῦφον δὲ τὸ ἀπὸ τοῦ μέσου, βαρύτατον δὲ τὸ πᾶσιν ὑφι-
στάμενον τοῖς κάτω φερομένοις, κουφότατον δὲ τὸ πᾶσιν
ἐπιπολάζον τοῖς ἄνω φερομένοις. [q]Ἀνάγκη [x]δὲ πᾶν τὸ φε-
ρόμενον [y]ἢ κάτω ἢ ἄνω ἢ κουφότητ' ἔχειν ἢ βάρος ἢ ἄμφω,
[z]μὴ πρὸς [a]τὸ αὐτὸ δέ· πρὸς [b]ἄλληλα γάρ ἐστι βαρέα καὶ
κοῦφα, οἷον ἀὴρ πρὸς [c]ὕδωρ, καὶ πρὸς γῆν ὕδωρ. Τὸ [d]δὴ 3
κύκλῳ σῶμα φερόμενον [e]ἀδύνατον [f]ἔχειν βάρος ἢ κουφότητα·
οὔτε γὰρ κατὰ φύσιν οὔτε παρὰ φύσιν ἐνδέχεται [g]αὐτῷ κι-
νηθῆναι ἐπὶ τὸ μέσον ἢ ἀπὸ τοῦ μέσου. Κατὰ φύσιν μὲν
γὰρ οὐκ ἔστιν αὐτῷ ἡ ἐπ' εὐθείας φορά· μία γὰρ ἦν ἑκάστου
τῶν ἁπλῶν, ὥστ' ἔσται τὸ αὐτὸ τῶν οὕτω τινὶ φερομένων.
Παρὰ φύσιν δ' ἐνεχθέντος, εἰ μὲν ἡ κάτω παρὰ φύσιν, ἡ ἄνω
[h]ἔσται κατὰ φύσιν, [i]εἰ δ' ἡ ἄνω παρὰ φύσιν, ἡ κάτω κατὰ
φύσιν· [k]ἔθεμεν γὰρ τῶν ἐναντίων ᾧ ἡ ἑτέρα παρὰ φύσιν, τὴν
ἑτέραν εἶναι κατὰ φύσιν. [q]Ἐπεὶ δ' εἰς [l]τὸ αὐτὸ φέρεται τὸ 4
ὅλον καὶ τὸ μόριον κατὰ φύσιν, οἷον πᾶσα γῆ καὶ μικρὰ

[l] ἢ ἡ κάτω] τῆς κάτω L, om. E. [m] συλλογιζομένοις E. [n] πιστεύσαιεν F. [o] τὰ om. E. [p] πλείω M, πλέον F. [q] βάρος οὔτε κουφότητα M. [r] πᾶν M. [s] καὶ τί τὸ L. [t] ὡς om. E. [u] τὴν om. F. [w] σκοπῶμεν F. [x] δὴ E.H.L.M. [y] ἢ ἄνω ἢ κάτω F.H. [z] μὴ] ἢ E. [a] τὸ om. M. [b] ἄλλα H. [c] ὕδωρ καὶ πῦρ καὶ πρὸς γῆν καὶ ἀέρα ὕδωρ M. [d] δὲ E.H. [e] ἀδύνατον] ἀνάγκη μὴ F. [f] βάρος ἔχειν M. [g] αὐτὸ F.M. [h] ἔσται om. E.L. [i] εἰ—κατὰ φύσιν om. M. [k] ἔθεμεν—κατὰ φύσιν om. E.L. [l] ταὐτὸ F.

βῶλος, συμβαίνει πρῶτον μὲν [m] μήτε κουφότητ' ἔχειν αὐτὸ [n] μηδεμίαν μήτε βάρος (ἢ γὰρ ἂν πρὸς τὸ μέσον ἢ ἀπὸ τοῦ μέσου [o] ἠδύνατο φέρεσθαι κατὰ τὴν [p] ἑαυτοῦ φύσιν), ἔπειθ' ὅτι ἀδύνατον κινηθῆναι τὴν κατὰ τόπον κίνησιν [q] ἢ [r] ἄνω ἢ κάτω κατασπώμενον· οὔτε γὰρ κατὰ φύσιν ἐνδέχεται κινηθῆναι κίνησιν αὐτῷ ἄλλην οὔτε παρὰ φύσιν, οὔτ' [s] αὐτῷ οὔτε τῶν μορίων οὐθενί· ὁ γὰρ αὐτὸς λόγος περὶ ὅλου καὶ μέρους.

5 [t] Ὁμοίως δ' εὔλογον ὑπολαβεῖν περὶ αὐτοῦ καὶ ὅτι [t] ἀγένητον καὶ ἄφθαρτον καὶ [v] ἀναυξὲς καὶ ἀναλλοίωτον, διὰ τὸ γίγνεσθαι μὲν ἅπαν τὸ γιγνόμενον ἐξ ἐναντίου τε καὶ ὑποκειμένου τινός, καὶ φθείρεσθαι ὡσαύτως ὑποκειμένου [w] τέ τινος καὶ ὑπ' ἐναντίου καὶ εἰς ἐναντίον, καθάπερ ἐν τοῖς πρώτοις εἴ-

6 ρηται λόγοις· τῶν δ' ἐναντίων καὶ αἱ φοραὶ ἐναντίαι. Εἰ [x] δὴ [y] τούτῳ [z] μηδὲν ἐναντίον ἐνδέχεται εἶναι διὰ τὸ καὶ τῇ φορᾷ τῇ κύκλῳ μὴ εἶναι [a] ἄν τιν' ἐναντίαν κίνησιν, ὀρθῶς ἔοικεν ἡ φύσις τὸ μέλλον ἔσεσθαι [b] ἀγένητον [c] καὶ ἄφθαρτον ἐξελέσθαι ἐκ τῶν ἐναντίων· ἐν τοῖς ἐναντίοις [d] γὰρ ἡ γένεσις

7 καὶ ἡ φθορά. [e] Ἀλλὰ μὴν καὶ τὸ αὐξανόμενον ἅπαν [e] αὐξάνεται [f] καὶ τὸ φθῖνον φθίνει [g] ὑπὸ [h] συγγενοῦς [i] προσιόντος καὶ ἀναλυομένου εἰς τὴν ὕλην· τούτῳ δ' οὐκ ἔστιν ἐξ οὗ γέγονεν. Εἰ δ' ἐστὶ καὶ [k] ἀναύξητον καὶ [l] ἄφθαρτον, τῆς αὐτῆς

8 διανοίας ἐστὶν ὑπολαβεῖν καὶ ἀναλλοίωτον εἶναι. [u] Ἔστι μὲν γὰρ ἡ ἀλλοίωσις κίνησις κατὰ τὸ ποιόν, τοῦ δὲ ποιοῦ αἱ μὲν ἕξεις καὶ διαθέσεις οὐκ ἄνευ τῶν [m] κατὰ πάθη γίγνονται μεταβολῶν, οἷον ὑγίεια [n] καὶ νόσος. Κατὰ [o] δὲ πάθος ὅσα μεταβάλλει τῶν φυσικῶν σωμάτων, ἔχονθ' ὁρῶμεν [p] πάντα καὶ αὔξησιν καὶ φθίσιν, οἷον τά τε τῶν ζῴων σώματα καὶ τὰ μόρια αὐτῶν καὶ τὰ τῶν φυτῶν, ὁμοίως δὲ καὶ τὰ τῶν στοι-

[m] μὴ δὲ F. [n] μὴ δὲ μίαν μὴ δὲ F. [o] ἐδύνατο M. [p] αὑτοῦ F.H.L. [q] ἢ om. E. [r] ἄνω ἑλκόμενον ἢ F. [s] αὐτὸ H. [t] ἀγέννητον F.H.L. [v] ἄναυξες M. [w] τέ om. E. [x] δὲ E.L. [y] τοῦτο L. [z] οὐδὲν H. [a] ἄν τιν' om. H. [b] ἀγέννητον F. [c] καὶ ἄφθαρτον om. E. [d] γὰρ ἡ] γὰρ εἰ pr. E. [e] αὔξεται M. [f] καὶ τὸ φθῖνον φθίνει om. E.F. [g] ὑπὸ τοῦ σ. M. [h] συγγενοῦς τινὸς πρ. H. [i] προϊόντος L. [k] ἄναυξες L. [l] ἄφθιτον H. [m] κατὰ τὰ πάθη H.L.M, κατὰ πάθος F. [n] καὶ ἡ νόσος L. [o] δὲ] δὲ τὸ L, om. E. [p] ἅπαντα L.

χείων· ὥστ' εἴπερ τὸ κύκλῳ σῶμα μήτ' αὔξησιν ἔχειν ἐνδέχεται μήτε φθίσιν, εὔλογον καὶ ἀναλλοίωτον εἶναι.

Διότι μὲν οὖν ἀΐδιον καὶ οὔτ' αὔξησιν ἔχον οὔτε φθίσιν, 9
ἀλλ' ἀγήρατον καὶ ἀναλλοίωτον καὶ ἀπαθές ἐστι τὸ πρῶτον
τῶν σωμάτων, εἴ τις τοῖς ὑποκειμένοις [q] πιστεύει, φανερὸν
ἐκ τῶν εἰρημένων [r] ἐστίν. [1]Εοικε δ' ὅ [s] τε λόγος τοῖς φαι-
νομένοις μαρτυρεῖν καὶ τὰ φαινόμενα τῷ λόγῳ. Πάντες 10
γὰρ ἄνθρωποι περὶ θεῶν ἔχουσιν ὑπόληψιν, καὶ πάντες τὸν
[t] ἀνωτάτω τῷ θείῳ τόπον ἀποδιδόασι, καὶ [v] βάρβαροι καὶ
[v] Ἕλληνες, ὅσοι περ εἶναι νομίζουσι θεούς, δῆλον ὅτι ὡς [w] τῷ
ἀθανάτῳ [x] τὸ ἀθάνατον συνηρτημένον· ἀδύνατον γὰρ ἄλλως.
Εἴπερ οὖν ἔστι [y] τι θεῖον, [z] ὥσπερ ἔστι, καὶ τὰ νῦν εἰρημένα 11
περὶ τῆς πρώτης οὐσίας τῶν σωμάτων εἴρηται καλῶς. Συμ-
βαίνει δὲ τοῦτο καὶ διὰ τῆς αἰσθήσεως ἱκανῶς, ὥς γε πρὸς
ἀνθρωπίνην [a] εἰπεῖν πίστιν· ἐν ἅπαντι γὰρ τῷ παρεληλυθότι
[b] χρόνῳ κατὰ τὴν παραδεδομένην ἀλλήλοις μνήμην οὐθὲν
φαίνεται μεταβεβληκὸς οὔτε καθ' ὅλον τὸν ἔσχατον οὐρανὸν
οὔτε κατὰ μόριον αὐτοῦ τῶν οἰκείων οὐθέν. [1]Εοικε δὲ καὶ 12
τοὔνομα παρὰ τῶν ἀρχαίων διαδεδόσθαι [c] μέχρι καὶ τοῦ νῦν
χρόνου, τοῦτον τὸν τρόπον [d] ὑπολαμβανόντων ὅνπερ καὶ
ἡμεῖς λέγομεν· οὐ γὰρ ἅπαξ οὐδὲ δὶς [e] ἀλλ' ἀπειράκις [f] δεῖ
νομίζειν τὰς αὐτὰς ἀφικνεῖσθαι δόξας εἰς ἡμᾶς. Διόπερ ὡς 13
ἑτέρου τινὸς ὄντος τοῦ πρώτου σώματος παρὰ γῆν καὶ πῦρ
καὶ ἀέρα καὶ ὕδωρ, αἰθέρα προσωνόμασαν τὸν [g] ἀνωτάτω
τόπον, ἀπὸ τοῦ θεῖν ἀεὶ τὸ ἀΐδιον χρόνον θέμενοι τὴν ἐπωνυ-
μίαν αὐτῷ. [1]Αναξαγόρας [h] δὲ κατακέχρηται τῷ ὀνόματι
τούτῳ οὐ καλῶς· ὀνομάζει γὰρ αἰθέρα ἀντὶ πυρός.

Φανερὸν δ' ἐκ τῶν εἰρημένων [i] καὶ διότι τὸν ἀριθμὸν [k] ἀδύ- 14

[q] πιστεύσει L. [r] ἐστίν om. M. [s] τε om. E. [t] ἄνω τῷ θεῷ M. [v] ἕλληνες καὶ βάρβαροι M. [w] τὸ ἀθάνατον τῷ ἀθανάτῳ M. [x] τὸν ἀθάνατον οὐρανὸν συνηρτημένον E. [y] τι] τὸ E.H.M. [z] ὥσπερ οὖν ἐστι F.M. [a] πίστιν εἰπεῖν H. [b] χρόνῳ om. H. [c] μέχρι τοῦ χρόνου τοῦ νῦν E.L. [d] ὑπολαβόντων F.H. [e] ἀλλὰ πλεονάκις E.L. [f] δεῖν H. [g] ἄνω F.M. [h] καταχρῆται E.L. [i] διότι καὶ F.H, καὶ διότι καὶ M. [k] ἀδύνατον om. M.

νατον εἶναι πλείω [l]τὸν τῶν λεγομένων σωμάτων ἁπλῶν· τοῦ μὲν γὰρ ἁπλοῦ σώματος ἀνάγκη τὴν κίνησιν ἁπλῆν εἶναι, μόνας δὲ ταύτας [m]εἶναί φαμεν ἁπλᾶς, τήν τε κύκλῳ καὶ τὴν ἐπ' εὐθείας, καὶ ταύτης [n]δύο μόρια, τὴν μὲν ἀπὸ τοῦ μέσου, τὴν δ' ἐπὶ τὸ μέσον.

4 [v]Ὅτι δ' οὐκ ἔστι τῇ κύκλῳ φορᾷ ἐναντία ἄλλη φορά, πλεοναχόθεν ἄν τις [o]λάβοι τὴν πίστιν, πρῶτον μὲν ὅτι τῇ περιφερεῖ τὴν εὐθεῖαν ἀντικεῖσθαι μάλιστα τίθεμεν. Τὸ γὰρ κοῖλον καὶ [p]τὸ κυρτὸν οὐ μόνον [q]ἀλλήλοις ἀντικεῖσθαι δοκεῖ ἀλλὰ καὶ τῷ εὐθεῖ, συνδυαζόμενα καὶ λαβόντα [r]σύνθεσιν· ὥστ' εἴπερ ἐναντία τίς [s]ἐστι, τὴν ἐπὶ τῆς εὐθείας μά-
2 λιστα ἀναγκαῖον ἐναντίαν εἶναι πρὸς τὴν κύκλῳ κίνησιν. Αἱ δ' ἐπὶ τῆς εὐθείας ἀλλήλαις ἀντίκεινται διὰ τοὺς τόπους· τὸ γὰρ ἄνω [t]καὶ κάτω τόπου τέ ἐστι διαφορὰ καὶ ἐναντίωσις. [u]Ἔπειτ' εἴ τις [v]ὑπολαμβάνει τὸν αὐτὸν εἶναι λόγον [w]ὅνπερ ἐπὶ τῆς εὐθείας, καὶ ἐπὶ τῆς περιφεροῦς (τὴν γὰρ [x]ἀπὸ τοῦ Α πρὸς τὸ Β φορὰν ἐναντίαν εἶναι τῇ ἀπὸ τοῦ Β πρὸς τὸ Α), τὴν ἐπὶ τῆς [y]εὐθείας λέγει· αὕτη γὰρ [z]πεπέρανται.
3 Περιφερεῖς δ' ἄπειροι ἂν εἶεν περὶ [a]τὰ αὐτὰ σημεῖα. [b]Ὁμοίως δὲ [b]καὶ ἐπὶ τοῦ ἡμικυκλίου τοῦ ἑνός, [c]οἷον ἀπὸ τοῦ Γ ἐπὶ τὸ Δ [d]καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὸ Γ· ἡ γὰρ αὐτὴ τῇ ἐπὶ τῆς διαμέτρου ἐστίν· ἀεὶ γὰρ ἕκαστον ἀπέχειν [e]τὴν εὐθεῖαν τίθεμεν. [b]Ὁμοίως δὲ κἂν εἴ τις κύκλον ποιήσας τὴν ἐπὶ θατέρου ἡμικυκλίου φορὰν ἐναντίαν θείη τῇ ἐπὶ θατέρου, οἷον ἐν τῷ ὅλῳ κύκλῳ τὴν ἀπὸ τοῦ Ε πρὸς τὸ Ζ τοῦ Η ἡμικυκλίου [f]τῇ ἀπὸ
4 τοῦ Ζ πρὸς τὸ Ε ἐν τῷ Θ ἡμικυκλίῳ. Εἰ δὲ καὶ [g]αὗται ἐναντίαι, ἀλλ' οὔτι [h]γε αἱ ἐπὶ τοῦ ὅλου κύκλου φοραὶ ἀλλήλαις διὰ τοῦτο ἐναντίαι. [i]Ἀλλὰ μὴν οὐδ' ἡ ἀπὸ τοῦ Α

[l] τὸν om. H.L. [m] εἶναι post φαμέν M, om. F.H. [n] δύο] τὰ δύο F.H.M. [o] λάβῃ M. [p] τὸ om. F. [q] ἀντικεῖσθαι ἀλλήλοις F. [r] θέσιν corr. F. [s] ἐστι τῇ περιφερείᾳ τὴν F. [t] καὶ κ.] καί τὸ κ. M, τῷ κ. H. [u] ὑπολαμβάνοι M. [w] ὅνπερ καὶ ἐπὶ M. [x] ἀπὸ τοῦ A om. pr. E. [y] εὐθείας φορὰν λέγει F. [z] πεπέραται F. [a] ταυτὰ L, τὰ (omisso αὐτὰ) E. [b] καὶ ἡ ἐπὶ F. [c] οἷον ἡ ἀπὸ F. [d] καὶ ἡ ἀπὸ M. [e] τὴν] κατὰ τὴν rc. F. [f] τῇ] τοῦ M. [g] αὗται] αὗταί γε M. [h] γε καὶ αἱ L.

ἐπὶ τὸ Β κύκλῳ φορὰ ἐναντία τῇ ἀπὸ τοῦ Α ἐπὶ τὸ Γ· ἐκ ταὐτοῦ γὰρ εἰς ταὐτὸ ἡ κίνησις, ἡ δ' ἐναντία διωρίσθη φορὰ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον [i]εἶναι. Εἰ [k]δὲ καὶ ἦν ἡ 5
κύκλῳ [l]τῇ κύκλῳ ἐναντία, μάτην ἂν ἦν [m]ἡ ἑτέρα· [n]ἐπὶ τὸ αὐτὸ γάρ. [o]Ἔτι ἀνάγκη τὸ κύκλῳ φερόμενον [o]ὁποθενοῦν ἀρξάμενον εἰς πάντας ὁμοίως ἀφικνεῖσθαι τοὺς ἐναντίους τόπους· εἰσὶ δὲ τόπου ἐναντιότητες τὸ ἄνω [p]καὶ κάτω [q]καὶ τὸ [r]πρόσθεν καὶ ὄπισθεν καὶ [s]τὸ δεξιὸν [t]καὶ ἀριστερόν. Αἱ 6
[v]δὲ τῆς φορᾶς ἐναντιώσεις κατὰ τὰς τῶν τόπων εἰσὶν ἐναντιώσεις· εἰ μὲν [w]γὰρ ἴσαι ἦσαν, οὐκ ἂν ἦν κίνησις αὐτῶν, εἰ δ' ἡ ἑτέρα [x]κίνησις ἐκράτει, ἡ ἑτέρα οὐκ ἂν ἦν. [y]Ὥστ' εἰ ἀμφότερα ἦν, μάτην ἂν [y]θάτερον ἦν σῶμα μὴ κινούμενον τὴν αὐτοῦ κίνησιν· μάτην γὰρ ὑπόδημα τοῦτο λέγομεν, οὗ μή ἐστιν ὑπόδεσις. [z]Ὁ δὲ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην [z]ποιοῦσιν.

[a]Ἀλλ' ἐπεὶ δῆλον περὶ τούτων, [a]καὶ περὶ τῶν λοιπῶν 5
σκεπτέον, [b]καὶ πρῶτον πότερον ἔστι τι σῶμα ἄπειρον, ὥσπερ οἱ πλεῖστοι τῶν ἀρχαίων [c]φιλοσόφων ᾠήθησαν, ἢ τοῦτ' ἐστὶν ἕν τι τῶν ἀδυνάτων· τὸ γὰρ οὕτως ἢ [d]ἐκείνως ἔχειν οὔ τι [e]μικρὸν ἀλλ' ὅλον διαφέρει καὶ πᾶν πρὸς τὴν [f]περὶ τῆς ἀληθείας θεωρίαν. Σχεδὸν γὰρ αὕτη [g]πασῶν ἀρχὴ τῶν 2
ἐναντιώσεων τοῖς ἀποφηναμένοις τι περὶ τῆς ὅλης φύσεως καὶ γέγονε καὶ γένοιτ' ἄν, εἴπερ καὶ τὸ μικρὸν παραβῆναι τῆς ἀληθείας ἀφισταμένοις γίνεται πόρρω μυριοπλάσιον, οἷον εἴ τις ἐλάχιστον εἶναί τι φαίη μέγεθος· οὗτος γὰρ [h]τοὐλάχιστον εἰσαγαγὼν τὰ [i]μέγιστ' ἂν κινήσειε τῶν μαθηματικῶν. Τούτου [k]δ' αἴτιον ὅτι ἡ ἀρχὴ δυνάμει μείζων 3

[i] εἶναι om. E.F.M, ante εἰς ponit H. [k] δὲ καὶ] δ' corr. E. [l] τῇ κύκλῳ om. pr. E. [m] ἡ] τῇ F. [n] ἐπὶ τὸ αὐτὸ γάρ om. E.L. [o] ὁποθ. ἀρξ. om. L. [p] καὶ τὸ κάτω H. [q] καὶ om. F. [r] ἔμπροσθεν καὶ τὸ ὄπισθεν F.M, πρόσθιον καὶ ὀπίσθιον E, πρόσθιον καὶ τὸ ὀπίσθιον L, ὄπισθεν καὶ τὸ ἔμπροσθεν H. [s] τὸ om. E. [t] καὶ τὸ ἀρ. M. [v] δὲ] γὰρ L. [w] γὰρ om. pr. E. [x] κίνησις αὐτῶν ἐκράτει F. [y] ἦν θάτερον F.H.M. [z] ποιεῖ F. [a] καὶ om. E.H.M. [b] καὶ om. E. [c] φιλοσόφων om. F. [d] κείνως E. [e] σμικρὸν L. [f] περὶ om. E.L. [g] πᾶσιν F.H. [h] τὸ ἐλάχιστον F. [i] μέγιστα κινήσει H, μέγιστα κινεῖ E.L. [k] δὲ F.

ἢ μεγέθει, διόπερ τὸ ἐν ἀρχῇ μικρὸν ἐν τῇ τελευτῇ γίνεται παμμέγεθες. Τὸ δ' ἄπειρον καὶ ἀρχῆς ἔχει δύναμιν καὶ τοῦ ποσοῦ τὴν μεγίστην, ὥστ' οὐδὲν ἄτοπον οὐδ' ἄλογον τὸ θαυμαστὴν εἶναι τὴν διαφορὰν ἐκ τοῦ λαβεῖν ὡς ἔστι τι σῶμα ἄπειρον. Διὸ περὶ αὐτοῦ λεκτέον ἐξ ἀρχῆς ἀναλα-
4 βοῦσιν. [a]Ἀνάγκη δὴ πᾶν σῶμα [l]ἢ τῶν ἁπλῶν εἶναι ἢ τῶν συνθέτων, ὥστε καὶ τὸ ἄπειρον [m]ἢ ἁπλοῦν [n]ἔσται ἢ σύνθετον. [a]Ἀλλὰ μὴν καὶ ὅτι γε πεπερασμένων τῶν ἁπλῶν ἀνάγκη πεπερασμένον εἶναι τὸ σύνθετον, δῆλον· τὸ γὰρ ἐκ πεπερασμένων καὶ πλήθει καὶ μεγέθει συγκείμενον [o]πεπέρανται [p]καὶ πλήθει καὶ μεγέθει· τοσοῦτον γάρ [q]ἐστιν [r]ἐξ
5 ὅσων ἐστὶ συγκείμενον. Λοιπὸν τοίνυν ἰδεῖν πότερον ἐνδέχεταί τι τῶν ἁπλῶν ἄπειρον εἶναι τὸ μέγεθος, ἢ τοῦτ' ἀδύνατον. Προχειρισάμενοι δὴ περὶ [s]τοῦ πρώτου τῶν σωμάτων, οὕτω [t]σκοπῶμεν καὶ περὶ τῶν λοιπῶν. [u]Ὅτι μὲν [v]τοίνυν ἀνάγκη τὸ σῶμα τὸ κύκλῳ φερόμενον πεπεράνθαι πᾶν,
6 ἐκ τῶνδε δῆλον. Εἰ γὰρ ἄπειρον τὸ κύκλῳ φερόμενον [w]σῶμα, ἄπειροι ἔσονται αἱ ἀπὸ τοῦ μέσου ἐκβαλλόμεναι. Τῶν δ' ἀπείρων τὸ διάστημα ἄπειρον. [x]Διάστημα δὲ λέγω τῶν γραμμῶν, [y]οὗ μηδὲν ἔστιν [z]ἔξω λαβεῖν μέγεθος ἁπτόμενον τῶν γραμμῶν. Τοῦτ' οὖν ἀνάγκη ἄπειρον εἶναι· τῶν γὰρ
7 πεπερασμένων ἀεὶ ἔσται πεπερασμένον. [a]Ἔτι δ' ἀεὶ ἔστι τοῦ δοθέντος [a]μεῖζον λαβεῖν, ὥστε καθάπερ ἀριθμὸν λέγομεν ἄπειρον, ὅτι [b]μέγιστος οὐκ ἔστιν, ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ διαστήματος. Εἰ οὖν τὸ μὲν ἄπειρον [c]μὴ ἔστι [d]διελθεῖν, ἀπείρου δ' ὄντος [e]ἀνάγκη [f]ἄπειρον τὸ διάστημα εἶναι, οὐκ ἂν ἐνδέχοιτο κινηθῆναι κύκλῳ· τὸν δ' οὐρανὸν ὁρῶμεν κύκλῳ [g]στρεφόμενον, καὶ τῷ λόγῳ δὲ διωρίσαμεν ὅτι

[l] ἤτοι F.H, ἤ τι M. [m] ἢ om. E. [n] εἶναι E. [o] πεπερασμένον L, incerto E. [p] καὶ πλήθει καὶ μεγέθει om. E.L. [q] ἔσται F.M. [r] ἐξ om. F. [s] τοῦ om. E. [t] σκοποῦμεν F. [v] τοίνυν] οὖν F. [w] σῶμα om. E.L. [x] διάστημα δὲ] διάστημα γὰρ E, ἄπειρον δὲ διάστημα L. [y] οὗ—γραμμῶν om. L. [z] λαβεῖν ἔξω F. [a] λαβεῖν μεῖζον F. [b] μέγεθος M. [c] οὐκ H.L. [d] διεξελθεῖν H. [e] ἀναγκαῖον H. [f] ἄπειρον ante εἶναι E.L, post εἶναι M. [g] περιστρεφόμενον F.M.

ἐστί τινος ἡ κύκλῳ κίνησις. Ἔτι ἀπὸ πεπερασμένου χρόνου 8
ἐὰν ἀφέλῃς [h] πεπερασμένον, ἀνάγκη καὶ τὸν λοιπὸν εἶναι
πεπερασμένον καὶ ἔχειν ἀρχήν. Εἰ δ' ὁ χρόνος [i] ὁ τῆς βα-
δίσεως ἔχει ἀρχήν, ἔστιν ἀρχὴ καὶ τῆς κινήσεως, ὥστε καὶ
τοῦ μεγέθους ὃ βεβάδικεν. Ὁμοίως [k] δὲ [l] τοῦτο καὶ ἐπὶ τῶν
ἄλλων. Ἔστω δὴ γραμμὴ ἄπειρος, ἐφ' [m] ἧ Α Γ Ε, ἐπὶ 9
θάτερα, [n] ἧ τὸ Ε· ἡ δ' ἐφ' ἧ [o] τὰ Β Β, ἐπ' ἀμφότερα ἄπει-
ρος. Εἰ δὴ [p] γράψει κύκλον ἡ τὸ Α Γ Ε ἀπὸ [q] τοῦ Γ
[r] κέντρου, τέμνουσά ποτε οἰσθήσεται [s] κύκλῳ [t] τὴν Β Β [v] ἡ
τὸ Α Γ Ε [w] πεπερασμένον χρόνον· ὁ γὰρ πᾶς χρόνος ἐν ὅσῳ
κύκλῳ ἠνέχθη ὁ οὐρανός, πεπερασμένος. Καὶ [x] ὁ ἀφῃρη-
μένος ἄρα, ὃν ἡ τέμνουσα ἐφέρετο. Ἔσται ἄρα τις ἀρχὴ
[y] ἧ πρῶτον ἡ [z] τὰ Α Γ Ε τὴν [a] τὰ Β Β ἔτεμεν. Ἀλλ' ἀδύ-
νατον. Οὐκ ἄρα ἔστι κύκλῳ στραφῆναι τὸ ἄπειρον. Ὥστ'
οὐδὲ τὸν κόσμον, εἰ ἦν ἄπειρος.

Ἔτι [b] δὲ καὶ ἐκ τῶνδε φανερόν, ὅτι τὸ ἄπειρον ἀδύνατον 10
κινηθῆναι. Ἔστω γὰρ ἡ τὸ Α φερομένη παρὰ τὴν Β, [c] πε-
περασμένη παρὰ πεπερασμένην. Ἀνάγκη [d] δὴ ἅμα τήν [e] τε
Α τῆς Β ἀπολελύσθαι καὶ τὴν Β τῆς Α· ὅσον γὰρ ἡ [f] ἑτέρα
[g] ἐπιβάλλει τῆς ἑτέρας, καὶ ἡ [h] ἑτέρα ἐκείνης τοσοῦτον. Εἰ
μὲν οὖν ἅμφω κινοῖντο εἰς τοὐναντίον, θᾶττον ἂν ἀπολύοιντο,
εἰ δὲ παρὰ μένουσαν [i] παραφέροιτο, βραδύτερον, τῷ αὐτῷ
τάχει κινουμένου τοῦ παραφερομένου. Ἀλλ' ἐκεῖνό γε φα- 11
νερόν, ὅτι ἀδύνατον τὴν ἄπειρον διελθεῖν ἐν πεπερασμένῳ
χρόνῳ. Ἐν ἀπείρῳ ἄρα· δέδεικται γὰρ τοῦτο πρότερον ἐν
τοῖς περὶ κινήσεως. Διαφέρει δέ γε οὐθὲν ἢ τὴν πεπερασμέ-
νην φέρεσθαι παρὰ τὴν ἄπειρον ἢ τὴν ἄπειρον παρ' ἐκείνην·

[h] *πεπερασμένον χρόνον ἀνάγκη* L. [i] ὁ ante *τῆς* om. F.H.M. [k] δὴ E.L. [l] τούτῳ H. [m] ἧς M, ἧς τὰ F.H. [n] ἧ] ποῦ ἧ H. [o] τὰ] τὰ δύο, L, om. E. [p] *γράφει* M. [q] *τοῦ α* F. [r] *κέντρου* om. E.L. [s] *κύκλῳ* margo F. [t] *τὴν τὰ β β* E.L.M. [v] ἢ *τὰ* E.L, ἢ *τὸ* M. [w] *ἐν πεπερασμένῳ χρόνῳ* L. [x] ὁ om. F.H. [y] ἧς F, dubio E. [z] *τὰ*] τὸ F.H.M. [a] *τὰ* om. E. [b] δὲ om. H. [c] *πεπερασμένη παρὰ* om. pr. E. [d] δὲ E. [e] *τε τὸ α* M. [f] *ἑτέρα* om. pr. E. [g] *ἐπιλάβῃ* M, *ὑπερβάλλει* F. [h] *ἑτέρα κίνησις ἐκείνης* E. [i] *φέροιτο* H.L.M.

ὅταν γὰρ ἐκείνη [k]παρ' ἐκείνην, κἀκείνη [l]παρ' ἐκείνην, [m]ὁμοίως κινουμένη καὶ ἀκίνητος· [n]πλὴν θᾶττον, ἐὰν κινῶνται [o]ἀμφό-
12 τεραι, ἀπολυθήσονται. [p]Καίτοι ἐνίοτ' οὐθὲν κωλύει τὴν κινουμένην παρ' ἠρεμοῦσαν θᾶττον παρελθεῖν ἢ [q]τὴν ἀντικινουμένην, ἐάν τις ποιήσῃ τὰς μὲν ἀντικινουμένας ἀμφοτέρας φερομένας βραδέως, τὴν δὲ παρὰ τὴν ἠρεμοῦσαν πολλῷ [r]ἐκείνων [s]θᾶττον φερομένην. Οὐδὲν οὖν πρὸς τὸν λόγον ἐμπόδιον ὅτι [t]παρ' ἠρεμοῦσαν, ἐπείπερ κινουμένην [v]ἐνδέχεται τὴν
13 Α παρὰ κινουμένην τὴν [w]Β βραδύτερον παρελθεῖν. Εἰ οὖν ἄπειρος ὁ χρόνος ὃν ἡ πεπερασμένη ἀπολύεται κινουμένη, καὶ ἐν ᾧ [x]ἡ ἄπειρος τὴν πεπερασμένην ἐκινήθη, ἀνάγκη ἄπειρον εἶναι. [1]Ἀδύνατον ἄρα τὸ ἄπειρον κινεῖσθαι [y]ὅλως· ἐὰν γὰρ καὶ τοὐλάχιστον κινηθῇ, [z]ἀνάγκη ἄπειρον [a]γίγνεσθαι χρό-
14 νον. [1]Ἀλλὰ μὴν ὅ [b]γ' οὐρανὸς [c]περιέρχεται καὶ στρέφεται ὅλως κύκλῳ ἐν πεπερασμένῳ χρόνῳ, ὥστε περίεισιν [d]ἅπασαν τὴν ἐντός, οἷον τὴν Α Β πεπερασμένην. [1]Ἀδύνατον ἄρα
15 ἄπειρον εἶναι τὸ κύκλῳ. [1]Ἔτι ὥσπερ γραμμὴν ἧς πέρας ἐστὶν ἀδύνατον εἶναι ἄπειρον, ἀλλ' εἴπερ, ἐπὶ μῆκος, καὶ ἐπίπεδον ὡσαύτως ᾗ πέρας οὐκ ἐνδέχεται· ὅταν δ' ὁρισθῇ, [e]οὐθαμῇ, οἷον τετράγωνον ἄπειρον ἢ κύκλον ἢ σφαῖραν, ὥσπερ
16 οὐδὲ [f]ποδιαίαν ἄπειρον. Εἰ οὖν μήτε σφαῖρα μήτε τετράγωνον μήτε κύκλος ἐστὶν ἄπειρος, μὴ ὄντος δὲ κύκλου οὐδ' ἂν ἡ κύκλῳ εἴη φορά, ὁμοίως δὲ μηδ' ἀπείρου ὄντος οὐκ ἂν εἴη ἄπειρος, εἰ μηδ' ὁ κύκλος ἄπειρός ἐστιν, [g]οὐκ ἂν κινοῖτο κυ-
17 κλικῶς ἄπειρον σῶμα. [1]Ἔτι [h]εἰ τὸ Γ κέντρον, [i]ἡ δὲ τὸ Α Β ἄπειρος καὶ ἡ τὸ Ε πρὸς ὀρθὴν ἄπειρος καὶ ἡ τὸ [k]Γ Δ

[k] παρ'] παραλλάττῃ L. [l] παρ'] παραλλάττει F.H.M, παραλλάττῃ L. [m] ὁμοίως om. E. [n] πλὴν ὅτι θᾶττον H. [o] ἀμφότερα M. [p] καίτοι γ' ἐνίοτε F.M, καὶ ἐνίοτε pr. E. [q] τὴν om. E.L. [r] κείνων E. [s] θᾶττον om. F. [t] παρ' om. E. [v] ἐνδέχεται τὴν A] ἐνδέχεται E, τὴν β ἐνδέχεται L. [w] Β] α L. et pro litteris sex septemve (π—τινα) corr. E. [x] ἡ post ᾧ om. E. [y] ὅλον E. [z] ἀνάγκη om. E. [a] γενέσθαι E.L. [b] γ' om. H. [c] περιέχεται (omissis καὶ στρέφεται) E, καὶ περιέρχεται (idque post καὶ στρέφεται) F. [d] ἅπασαν τοῦ κύκλου τὴν L. [e] οὐδαμῇ F.H.L.M. [f] ποδιαῖον H.M. [g] οὐκ ἂν—σῶμα om. pr. E. et corr. F. [h] εἰ] δ' εἰ F.L. [i] ἡ δὲ τὸ] ἢ τὸ δὲ M. [k] δ γ E.L.

κινουμένη, οὐδέποτ' [l]ἀπολυθήσεται τῆς E, ἀλλ' ἀεὶ ἕξει ὥσπερ ἡ Γ E· τέμνει γὰρ [m]ᾗ τὸ Z. Οὐκ ἄρα [n]περίεισι κύκλῳ ἡ ἄπειρος. [4]Ετι εἴπερ ἄπειρος ὁ οὐρανός, κινεῖται δὲ 18
κύκλῳ, ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον ἔσται διεληλυθώς. [4]Εστω γὰρ ὁ μὲν μένων οὐρανὸς [o]ἄπειρος, ὁ δ' ἐν τούτῳ κινούμενος ἴσος. [4]Ωστ' [p]εἰ [q]περιελήλυθε κύκλῳ [r]ἄπειρος [s]ὤν, ἄπειρον [t]τὸ ἴσον αὐτῷ διελήλυθεν ἐν πεπερασμένῳ χρόνῳ. [4]Αλλὰ τοῦτ' ἦν ἀδύνατον. [4]Εστι δὲ καὶ ἀντεστραμμένως 19
εἰπεῖν, ὅτι [v]εἰ πεπερασμένος ὁ χρόνος ἐν ᾧ περιεστράφη, καὶ τὸ μέγεθος ὃ διελήλυθεν [w]ἀνάγκη εἶναι πεπερασμένον· ἴσον δ' αὐτῷ [x]διελήλυθεν· πεπέρανται ἄρα καὶ αὐτός. [4]Οτι μὲν οὖν τὸ κύκλῳ κινούμενον οὐκ ἔστιν ἀτελεύτητον οὐδ' ἄπειρον, ἀλλ' ἔχει τέλος, φανερόν.

[4]Αλλὰ μὴν οὐδὲ [y]τὸ ἐπὶ τὸ μέσον οὐδὲ [z]τὸ ἀπὸ τοῦ 6
μέσου φερόμενον ἄπειρον ἔσται· ἐναντίαι γὰρ αἱ φοραὶ [a]ἡ ἄνω καὶ ἡ κάτω, αἱ δ' ἐναντίαι εἰς ἐναντίους τόπους. Τῶν δ' ἐναντίων εἰ θάτερον ὥρισται, καὶ θάτερον ὡρισμένον ἔσται. [b]Τὸ δὲ μέσον ὥρισται· εἰ γὰρ ὁποθενοῦν φέροιτο κάτω τὸ ὑφιστάμενον, οὐκ ἐνδέχεται [c]πορρωτέρω διελθεῖν τοῦ μέσου. [4]Ωρισμένου οὖν τοῦ [d]μέσου καὶ τὸν ἄνω τόπον ἀνάγκη ὡρίσθαι. Εἰ δ' οἱ τόποι ὡρισμένοι καὶ πεπερασμένοι, καὶ τὰ σώματα ἔσται πεπερασμένα. [e][4]Ετι εἰ τὸ ἄνω [f]καὶ κάτω 2
ὥρισται, [g]καὶ τὸ μεταξὺ ἀνάγκη ὡρίσθαι. [h]Εἰ γὰρ μὴ ὥρισται, ἄπειρος ἂν [i]εἴη κίνησις· τοῦτο δ' [k]ὅτι ἀδύνατον, δέδεικται πρότερον. [4]Ωρισται ἄρα τὸ μέσον, ὥστε καὶ τὸ ἐν τούτῳ σῶμα ἢ ὂν ἢ γενέσθαι δυνατόν. [4]Αλλὰ [l]μὴν τὸ

[l] ἀπολύσεται F. [m] ᾗ] ἡ E.H.M. [n] περίεισι κύκλον H, κύκλον περίεισιν F, κύκλῳ περίεισιν M. [o] ἄπειρος om. E. [p] εἰ] εἴπερ E.F.L. [q] ἐλήλυθε F. [r] ἄπειρος om. E.L. [s] ὢν om. E, ante ἄπειρος ponit L. [t] τὸν E. [v] εἰ] ἐπεὶ E, ἐπειδὴ F. [w] ἀναγκαῖον F.H.M. [x] περιελήλυθε· πεπέρασται F.M. [y] τὸ ante ἐπὶ om. L. [z] τὸ ante ἀπὸ om. E. [a] αἱ ἄνω καὶ αἱ F. [b] τὸ δὲ μέσον ὥρισται om. F. [c] πορρώτερον ἐλθεῖν E.H. [d] μέσου τόπου καὶ F.H.M. [e] ἔτι δ' εἰ H. [f] καὶ τὸ κάτω F.H.L. [g] καὶ τὸ μ.—ὥρισται om. M. [h] εἰ γὰρ μὴ ὥρισται om. E. [i] εἴη ἡ κίνησις F.H.M. [k] ὅτι om. E. [l] μὴν καὶ τὸ H.L.

ἄνω [m] καὶ κάτω φερόμενον σῶμα δύναται ἐν τούτῳ γενέσθαι· πέφυκε γὰρ τὸ μὲν ἀπὸ τοῦ μέσου κινεῖσθαι, τὸ δ' 3 ἐπὶ τὸ μέσον. Ἐκ τε δὴ [n] τούτων φανερὸν ὅτι οὐκ ἐνδέχεται σῶμα εἶναι ἄπειρον, καὶ πρὸς τούτοις εἰ βάρος μή ἐστιν ἄπειρον, οὐδ' ἂν τούτων τῶν σωμάτων οὐθὲν [o] εἴη ἄπειρον· ἀνάγκη γὰρ τοῦ ἀπείρου σώματος [p] ἄπειρον εἶναι [q] καὶ τὸ βάρος. [r] Ὁ δ' αὐτὸς λόγος [s] ἔσται καὶ ἐπὶ τοῦ κούφου· εἰ γάρ ἐστιν ἄπειρος βαρύτης, ἔστι καὶ κουφότης, [t] ἂν ἄπειρον 4 ᾖ τὸ ἐπιπολάζον. Δῆλον δ' ἐκ [v] τῶνδε. Ἔστω γὰρ [w] πεπερασμένον, καὶ εἰλήφθω τὸ μὲν ἄπειρον σῶμα ἐφ' ᾧ τὸ Α Β, τὸ δὲ βάρος αὐτοῦ ἐφ' ᾧ [x] τὸ Γ. Ἀφῃρήσθω οὖν ἀπὸ τοῦ ἀπείρου πεπερασμένον μέγεθος ἐφ' ᾧ [y] τὸ Β Δ· καὶ τὸ βάρος αὐτοῦ ἔστω ἐφ' ᾧ [z] τὸ Ε. Τὸ [a] δὴ Ε τοῦ Γ ἔλαττον ἔσται· τὸ γὰρ τοῦ ἐλάττονος βάρος ἔλαττον. Καταμετρείτω [b] δὴ τὸ ἔλαττον ὁποσακισοῦν, καὶ [c] ὡς τὸ βάρος τοὔλαττον πρὸς τὸ μεῖζον, τὸ Β Δ πρὸς τὸ Β Ζ γεγενήσθω· ἐνδέχεται γὰρ ἀφελεῖν τοῦ ἀπείρου [d] ὁποσονοῦν. 5 Εἰ τοίνυν [e] ἀνάλογον τὰ μεγέθη τοῖς βάρεσι, τὸ δ' ἔλαττον βάρος τοῦ ἐλάττονός [f] ἐστι μεγέθους, καὶ τὸ μεῖζον ἂν εἴη τοῦ μείζονος. Ἴσον ἄρα ἔσται [g] τὸ τοῦ πεπερασμένου καὶ τὸ τοῦ ἀπείρου βάρος. [h] Ἔτι εἰ τοῦ μείζονος σώματος μεῖζον τὸ βάρος, τὸ τοῦ Η Β μεῖζον ἔσται βάρος ἢ τὸ τοῦ [i] Ζ Β, ὥστε τὸ τοῦ πεπερασμένου [k] βάρος μεῖζον ἢ τὸ τοῦ ἀπείρου. [l] Καὶ τῶν ἀνίσων δὲ μεγεθῶν ταὐτὸν [m] βάρος 6 ἔσται· ἄνισον γὰρ τῷ πεπερασμένῳ τὸ ἄπειρον. Οὐθὲν δὲ διαφέρει τὰ βάρη σύμμετρα εἶναι ἢ ἀσύμμετρα· καὶ γὰρ

[m] καὶ τὸ κάτω H.L.M. [n] τούτου L. [o] εἴη ἂν ἄπειρον F, ἄπειρον εἴη H. [p] εἶναι καὶ τὸ βάρος ἄπειρον H. [q] καὶ om. E. [r] ὁ δ' αὐτὸς om. E. [s] ἐστὶ E.L. [t] ἐὰν F.H.M. [v] τούτων M. [w] πεπερασμένον τὸ βάρος καὶ F. [x] τὸ om. F.H.M. [y] τὸ ante Β Δ om. F.H.M. [z] τὸ ante Ε om. E. [a] δὲ L.M. [b] δὴ] οὖν F. [c] ὡς] εἰς E. [d] ὁσονοῦν E. [e] ἀνάλογα F. [f] μεγέθους ἐστὶ H. [g] τὸ om. H. [h] ἔτι δ' εἰ F.H.M. [i] β ζ E. [k] μεῖζον ἢ τοῦ ἀπείρου E, ἔσται μεῖζον ἢ τὸ τοῦ ἀπείρου L, ἢ τὸ τοῦ ἀπείρου ἔσται μεῖζον F, ἢ τὸ τοῦ ἀπείρου μεῖζον βάρος ἔσται H.M. [l] καὶ τὸ τῶν F.H.M. [m] ἔσται βάρος F.H, βάρους ἔσται M.

ἀσυμμέτρων ὄντων ὁ αὐτὸς ἔσται λόγος, οἷον [n] εἰ [o] τὸ Ε [p] τρίτον ὑπερβάλλει μετροῦν τὸ [q] Γ βάρος· τῶν γὰρ [r] Β Δ μεγεθῶν τριῶν ὅλων ληφθέντων μεῖζον ἔσται τὸ βάρος ἢ τὸ ἐφ' ᾧ [s] Γ. Ὥστε τὸ αὐτὸ ἔσται ἀδύνατον. Ἔτι δὲ [t] καὶ 7
ἐγχωρεῖ σύμμετρα λαβεῖν· οὐθὲν γὰρ διαφέρει ἄρχεσθαι ἀπὸ τοῦ βάρους ἢ ἀπὸ τοῦ μεγέθους, οἷον [v] ἂν ληφθῇ σύμμετρον βάρος [w] τῷ Γ τὸ ἐφ' ᾧ [x] τὸ Ε, καὶ ἀπὸ τοῦ ἀπείρου ἀφαιρεθῇ τὸ ἔχον τὸ ἐφ' ᾧ [y] τὸ Ε βάρος, οἷον τὸ [z] Β Δ, εἶτα ὡς τὸ βάρος [a] πρὸς τὸ βάρος, τὸ Β Δ πρὸς ἄλλο [b] γένηται μέγεθος, οἷον πρὸς τὸ Β Ζ· ἐνδέχεται γὰρ ἀπείρου ὄντος τοῦ μεγέθους ὁποσονοῦν ἀφαιρεθῆναι· τούτων γὰρ ληφθέντων σύμμετρα ἔσται καὶ τὰ μεγέθη καὶ τὰ βάρη ἀλλήλοις. Οὐδὲ δὴ τὸ μέγεθος [c] ὁμοιοβαρὲς εἶναι ἢ ἀνομοιο- 8
βαρὲς οὐδὲν διοίσει πρὸς τὴν ἀπόδειξιν· ἀεὶ γὰρ [d] ἔσται λαβεῖν ἰσοβαρῆ σώματα τῷ Β Δ, ἀπὸ τοῦ ἀπείρου ὁποσαοῦν ἢ ἀφαιροῦντας ἢ προστιθέντας. Ὥστε δῆλον [e] ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἔσται τοῦ ἀπείρου σώματος πεπερασμένον τὸ βάρος. Ἄπειρον ἄρα. Εἰ τοίνυν [f] τοῦτ' ἀδύνατον, καὶ τὸ ἄπειρόν τι [g] εἶναι σῶμα ἀδύνατον. Ἀλλὰ μὴν ὅτι [h] γ' 9
ἄπειρόν τι [i] εἶναι βάρος ἀδύνατον, ἐκ τῶνδε φανερόν. Εἰ γὰρ τὸ τοσονδὶ βάρος τὴν [k] τοσήνδε ἐν τῷδε τῷ χρόνῳ κινεῖται, [l] τὸ τοσοῦτον καὶ ἔτι ἐν ἐλάττονι, καὶ τὴν ἀναλογίαν ἣν τὰ βάρη [m] ἔχει, οἱ χρόνοι ἀνάπαλιν ἕξουσιν, [n] οἷον εἰ τὸ ἥμισυ βάρος ἐν τῷδε, τὸ διπλάσιον [o] ἐν ἡμίσει τούτου. Ἔτι τὸ πεπερασμένον βάρος [p] ἅπασαν πεπερασμένην διείσιν 10
ἔν τινι χρόνῳ πεπερασμένῳ. Ἀνάγκη ἄρα ἐκ [q] τούτων, εἴ τι ἔστιν ἄπειρον βάρος, κινεῖσθαι μὲν [r] ᾗ τοσόνδε ὅσον τὸ

[n] εἰ om. E. [o] τὸ E om. H. [p] τρίτον om. E. [q] Γ om. E.H. [r] Β] ε M. [s] Γ] τὸ γ M. [t] καὶ om. F. [v] ἐὰν H.M. [w] τῷ] τὸ E.M. [x] τὸ ante E om. H. [y] τὸ ante E om. E.M. [z] δ β E. [a] πρὸς τὸ βάρος om. E. [b] γεγένηται F.H.L. [c] ὁμοιομερὲς εἶναι ἢ ἀνομοιομερὲς M. [d] ἐστι F. [e] ἐκ τῶν εἰρημένων om. E. [f] τοῦτ'] ἐν τούτῳ M. [g] σῶμα εἶναι F. [h] γ' et τι om. E.L. [i] βάρος εἶναι F. [k] τοσηνδὶ H. [l] τὸ om. E. [m] ἔχει om. M. [n] οἷον om. E.F. [o] ἐν τῷ ἡμίσει F. [p] πᾶσαν F.H.M. [q] τούτου E.L. [r] ᾗ] ἢ L, om. cum ipso τοσόνδε pr. E.

πεπερασμένον, [s] καὶ ἔτι μὴ κινεῖσθαι δέ, [t] ἢ ἀνάλογον [v] μὲν δεῖ κατὰ τὰς ὑπεροχὰς [w] κινεῖσθαι, ἐναντίως δὲ τὸ μεῖζον ἐν
11 τῷ ἐλάττονι. Λόγος δ' οὐθείς ἐστι τοῦ ἀπείρου πρὸς τὸ πεπερασμένον, τοῦ δ' ἐλάττονος χρόνου πρὸς τὸν [x] μείζω πεπερασμένον· ἀλλ' ἀεὶ ἐν ἐλάττονι. [1]Ελάχιστος δ' οὐκ ἔστιν. Οὐδ' εἰ ἦν, ὄφελός [y] τι ἂν ἦν· ἄλλο γὰρ ἄν τι πεπερασμένον ἐλήφθη [z] ἐν τῷ αὐτῷ λόγῳ, ἐν ᾧ τὸ ἄπειρον πρὸς ἕτερον μεῖζον, ὥστ' ἐν ἴσῳ χρόνῳ τὴν ἴσην ἂν [a] ἐκινεῖτο τὸ
12 ἄπειρον τῷ πεπερασμένῳ. [1]Αλλ' ἀδύνατον. [1]Αλλὰ μὴν ἀνάγκη γε, εἴπερ ἐν ὁπηλικῳοῦν χρόνῳ πεπερασμένῳ δὲ κινεῖται τὸ ἄπειρον, καὶ ἄλλο ἐν τῷ αὐτῷ τούτῳ πεπερασμένον βάρος κινεῖσθαί τινα πεπερασμένην. [b] [1]Αδύνατον ἄρα ἄπειρον εἶναι βάρος, ὁμοίως δὲ καὶ κουφότητα. Καὶ σώματα ἄρ' ἄπειρον βάρος ἔχοντα καὶ κουφότητα ἀδύνατον.

13 [v]Οτι μὲν οὖν οὐκ ἔστιν [c] ἄπειρον σῶμα, δῆλον διά [d] τε τῶν κατὰ μέρος θεωροῦσι [e] τοῦτον τὸν τρόπον, καὶ καθόλου σκοπουμένοις μὴ μόνον [f] κατὰ τοὺς λόγους τοὺς ἐν τοῖς περὶ τὰς ἀρχὰς [g] εἰρημένους ἡμῖν (διωρίσθη γὰρ κἀκεῖ καθόλου πρότερον περὶ ἀπείρου πῶς ἔστι καὶ πῶς οὐκ ἔστιν) ἀλλὰ
14 καὶ νῦν ἄλλον τρόπον. Μετὰ δὲ ταῦτ' ἐπισκεπτέον κἂν εἰ μὴ ἄπειρον [h] μὲν τὸ σῶμα τὸ πᾶν, οὐ μὴν ἀλλὰ τοσοῦτόν γε ὥστ' εἶναι πλείους οὐρανούς· τάχα γὰρ ἄν τις τοῦτ' ἀπορήσειεν, ὅτι καθάπερ ὁ περὶ ἡμᾶς κόσμος συνέστηκεν, οὐθὲν κωλύει καὶ ἑτέρους εἶναι [i] πλείους μὲν ἑνός, μὴ μέντοι γε ἀπείρους. Πρῶτον δ' εἴπωμεν καθόλου περὶ τοῦ ἀπείρου.

7 [1]Ανάγκη [k] δὴ σῶμα [l] πᾶν ἤτοι ἄπειρον εἶναι ἢ πεπερασμένον, καὶ εἰ ἄπειρον, ἤτοι ἀνομοιομερὲς ἅπαν ἢ ὁμοιομερές, κἂν εἰ ἀνομοιομερές, ἤτοι ἐκ πεπερασμένων εἰδῶν ἢ

[s] καὶ ἔτι ante ὅσον H. [t] ἢ] ἢ L. [v] μὲν δεῖ corr. E. [w] κινεῖσθαι ante μὲν M. [x] μείζονα F. [y] τι ante ἂν om. E.L. [z] ἐν τῷ αὐτῷ λόγῳ om. M. [a] ἐκίνει E. [b] ἀδύνατον] ἀλλ' ἀδύνατον E. [c] σῶμα ἄπειρον F. [d] τε om. E.L. [e] τόνδε F. [f] κατὰ τοὺς λόγους om. M. [g] εἰρημένους E.H.L. [h] μέν ante τὸ om. E. [i] πλείους οὐρανούς, πλείους μὲν F. [k] δὴ τὸ σῶμα H.L. [l] ἅπαν H.

ἐξ ἀπείρων. Ὅτι μὲν τοίνυν οὐχ οἷόν τε ἐξ ἀπείρων, φανερόν, εἴ τις ἡμῖν ἐάσει μένειν τὰς πρώτας ὑποθέσεις· πεπερασμένων γὰρ τῶν [m]πρώτων κινήσεων οὐσῶν ἀνάγκη καὶ τὰς [n]ἰδέας τῶν ἁπλῶν σωμάτων εἶναι πεπερασμένας. [1]Ἁπλῆ μὲν γὰρ ἡ τοῦ ἁπλοῦ σώματος κίνησις, αἱ δ' ἁπλαῖ πεπερασμέναι κινήσεις εἰσίν· ἀνάγκη δὲ [o]ἀεὶ κίνησιν ἔχειν [p]σῶμα πᾶν φυσικόν. [2]Ἀλλὰ μὴν [q]εἴγε ἐκ πεπερασμένων ἔσται τὸ ἄπειρον, ἀνάγκη καὶ τῶν μορίων [r]ἕκαστον εἶναι ἄπειρον, λέγω δ' οἷον τὸ [s]ὕδωρ ἢ τὸ πῦρ. [3]Ἀλλ' ἀδύνατον· δέδεικται γὰρ ὅτι οὔτε βάρος οὔτε κουφότης ἐστὶν [t]ἄπειρος. [4]Ἔτι ἀναγκαῖον ἀπείρους [v]τῷ μεγέθει εἶναι καὶ τοὺς τόπους αὐτῶν, ὥστε καὶ τὰς κινήσεις ἀπείρους [w]εἶναι πάντων. Τοῦτο δ' ἀδύνατον, εἰ θήσομεν ἀληθεῖς [x]εἶναι τὰς πρώτας ὑποθέσεις καὶ μήτε τὸ κάτω φερόμενον εἰς ἄπειρον [y]ἐνδέχεσθαι φέρεσθαι μήτε τὸ ἄνω κατὰ τὸν αὐτὸν λόγον. [5]Ἀδύνατον γὰρ γίνεσθαι ὃ μὴ ἐνδέχεται γενέσθαι, [z]ὁμοίως ἐπὶ τοῦ τοιόνδε καὶ τοσόνδε καὶ [a]τοῦ ποῦ. Λέγω δ', εἰ ἀδύνατον γενέσθαι λευκὸν ἢ πηχυαῖον ἢ ἐν Αἰγύπτῳ, καὶ γίνεσθαί τι τούτων ἀδύνατον. [6]Ἀδύνατον ἄρα καὶ φέρεσθαι ἐκεῖ οὗ [b]μηθὲν δυνατὸν [c]ἀφικέσθαι φερόμενον. [d][7]Ἔτι εἰ καὶ [e]διεσπασμένον ἐστίν, οὐδὲν ἧττον ἐνδέχοιτ' ἂν τὸ ἐξ ἁπάντων πῦρ ἄπειρον εἶναι. [8]Ἀλλὰ σῶμα ἦν τὸ [f]πάντῃ [g]διάστασιν ἔχον· ὥστε πῶς οἷόν τε πλείω μὲν ἀνόμοια, ἕκαστον δ' αὐτῶν ἄπειρον εἶναι; [h]πάντῃ γὰρ ἕκαστον δεῖ ἄπειρον εἶναι. [9]Ἀλλὰ μὴν [i]οὐδὲ πᾶν ὁμοιομερὲς ἐνδέχεται [k]τὸ ἄπειρον εἶναι. Πρῶτον μὲν γὰρ οὐκ ἔστιν [l]ἄλλη παρὰ ταύτας [m]κίνησις. [10]Ἔξει οὖν μίαν τούτων. Εἰ δὲ τοῦτο, συμβήσεται ἢ βάρος ἄπειρον

[m] *πρώτων* om. E. [n] *ἰδίας* E. [o] *ἀεὶ* om. H.M. [p] *πᾶν σῶμα* F.M. [q] *εἴπερ γε* E.L. [r] *εἶναι ἕκαστον* M. [s] *πῦρ ἢ τὸ ὕδωρ* L. [t] *ἄπειρον* E.M. [v] *εἶναι τῷ μεγέθει* M. [w] *εἶναι* om. E, post *ἅπαντων* ponunt F.M: *ἁπάντων* enim F.L.M. [x] *τὰς πρώτας εἶναι* M. [y] *ἐνδέχεται* M. [z] *ὁμοίως καὶ ἐπὶ* L. [a] *τοῦ* om. E. [b] *μηδενὶ* M, *μὴ* L. [c] *ἐφικέσθαι* L, *ἀφικνεῖσθαι* F.H.M. [d] *ἔτι δ' εἰ* F.H.M. [e] *διεσπασμένα* E.L. [f] *πᾶν* E. [g] *διαστάσεις* L. [h] *πάντῃ—εἶναι* om. pr. F. [i] *οὐδ' ἅπαν* H. [k] *τὸ* om. F. [l] *παρὰ ταύτας ἄλλη* M. [m] *κινήσεις* E.F.

ἢ κουφότητα εἶναι ἄπειρον. [4]Αλλὰ μὴν [n]οὐδ' οἷόν τε τὸ
6 κύκλῳ σῶμα [o]φερόμενον [p]ἄπειρον. [4]Αδύνατον γὰρ τὸ
ἄπειρον φέρεσθαι κύκλῳ· οὐθὲν γὰρ διαφέρει τοῦτο λέγειν
ἢ τὸ τὸν οὐρανὸν φάναι ἄπειρον εἶναι, τοῦτο δὲ δέδεικται
ὅτι [q]ἀδύνατον. [4]Αλλὰ μὴν οὐδ' ὅλως γε τὸ ἄπειρον ἐνδέ-
χεται κινεῖσθαι. [11]Η γὰρ κατὰ φύσιν κινηθήσεται ἢ βίᾳ·
καὶ εἰ βίᾳ, [r]ἔστιν [s]αὐτῷ [t]καὶ ἡ κατὰ φύσιν, ὥστε καὶ
[v]τόπος ἄλλος [w]ἴδιος εἰς ὃν οἰσθήσεται. Τοῦτο δ' ἀδύ-
νατον.

7 [v]Οτι δ' ὅλως ἀδύνατον ἄπειρον ὑπὸ πεπερασμένου παθεῖν
τι ἢ ποιῆσαι τὸ πεπερασμένον, ἐκ τῶνδε φανερόν. [4]Εστω
γὰρ ἄπειρον ἐφ' οὗ [x]Α, [y]πεπερασμένον [z]ἐφ' οὗ [a]Β, χρό-
νος [b]ἐν ᾧ ἐκίνησέ τι ἢ ἐκινήθη [c]Γ. Εἰ δὴ ὑπὸ τοῦ Β τὸ Α
ἐθερμάνθη ἢ ὥσθη ἢ ἄλλο τι ἔπαθεν ἢ καὶ [d]ὁτιοῦν ἐκινήθη
ἐν τῷ χρόνῳ ἐφ' οὗ [e]Γ, ἔστω [f]τὸ Δ τοῦ Β ἔλαττον, καὶ τὸ
ἔλαττον ἐν τῷ ἴσῳ χρόνῳ ἔλαττον κινείτω· ἔστω δὲ τὸ ἐφ'
8 ᾧ Ε ὑπὸ τοῦ Δ ἠλλοιωμένον. [11]Ο δή ἐστι τὸ Δ πρὸς τὸ Β,
τὸ Ε ἔσται πρὸς πεπερασμένον τι. [4]Εστω δὴ τὸ μὲν ἴσον
ἐν ἴσῳ χρόνῳ ἴσον ἀλλοιοῦν, τὸ δ' ἔλαττον ἐν τῷ ἴσῳ ἔλατ-
τον, τὸ δὲ μεῖζον [g]μεῖζον, τοσοῦτον δὲ ὅσον ἀνάλογον ἔσται
9 [h]ὅπερ τὸ μεῖζον πρὸς τὸ ἔλαττον. Οὐκ ἄρα τὸ ἄπειρον
ὑπ' οὐδενὸς πεπερασμένου [i]κινήσεται [k]ἐν οὐθενὶ χρόνῳ· ἔλατ-
τον γὰρ ἄλλο ἐν τῷ [l]ἴσῳ ὑπὸ ἐλάττονος κινηθήσεται, πρὸς
[m]ὃ τὸ ἀνάλογον πεπερασμένον ἔσται· [n]τὸ γὰρ ἄπειρον
πρὸς [o]τὸ πεπερασμένον [p]ἐν οὐθενὶ λόγῳ ἐστίν. [4]Αλλὰ
μὴν οὐδὲ τὸ ἄπειρον ἐν οὐθενὶ χρόνῳ κινήσει τὸ πεπερασμέ-
10 νον. [11]Εστω γὰρ ἐφ' ᾧ τὸ Α ἄπειρον, [q]τὸ δὲ Β πεπε-

[n] οὐχ F. H. [o] φερόμενον] εἶναι F. [p] ἄπειρον om. E.H.M. [q] οὐ δυνατὸν E.L. [r] ἔσται H. [s] αὐτοῦ M. [t] καὶ ante ἡ om. E. [v] πόλος M. [w] ἴδιος ante ἄλλος ponit H, om. M: ἴσος E.L. [x] Α] τὸ α E.F.L. [y] πεπερασμένον—Β om. M. [z] ἐφ'] δὲ ἐφ' F. [a] Β] τὸ β L. [b] ἐν] δὲ ἐν F. [c] Γ] τὸ γ L. [d] ὅτι οὐκ L. [e] Γ] τὸ γ E. [f] τὸ α τοῦ β ἔλαττον L, τὸ δ ἔλαττον τοῦ β F, δὴ τοῦ β τὸ δ ἔλαττον M. [g] μεῖζον alterum om. E. [h] ὅπερ om. E. [i] κινηθήσεται F.H.L.M. [k] ἐν ante οὐθενὶ om. F. [l] ἴσῳ χρόνῳ ὑπὸ F.H M. [m] ὃ om. E.M. [n] τὸ om. pr. E. [o] τὸ om. E. [p] ἐν om. E.F. [q] τὸ δὲ] καὶ τὸ E.

ρασμένον, χρόνος ἐν ᾧ τὸ Γ. Οὐκοῦν τὸ Δ ἐν [r]τῷ Γ ἔλαττον [s]τοῦ Β κινήσει· [t]ἔστω τὸ Ζ. [v]Ὃ δή ἐστι τὸ Β Ζ ὅλον πρὸς τὸ Ζ, τὸ Ε [w]ἔχον [x]τὸν λόγον τοῦτον [y]ἔστω πρὸς [z]τὸ Δ. Κινήσει [a]ἄρα τὸ Ε τὸ Β Ζ ἐν τῷ Γ. [b]Τὸ πεπερασμένον τοίνυν καὶ τὸ ἄπειρον [c]ἐν ἴσῳ χρόνῳ ἀλλοιώσει. [d]Ἀλλ' ἀδύνατον· ἐν ἐλάττονι γὰρ τὸ μεῖζον ὑπέκειτο. 11
[d]Ἀλλ' ἀεὶ ὁ ληφθεὶς χρόνος [d]ταὐτὸ ποιήσει, ὥστ' οὐκ ἔσται χρόνος οὐθεὶς ἐν ᾧ κινήσει. [d]Ἀλλὰ μὴν ἐν ἀπείρῳ [e]γε οὐκ ἔστι κινήσει οὐδὲ κινηθῆναι· πέρας γὰρ οὐκ ἔχει, ἡ δὲ ποίησις καὶ τὸ πάθος ἔχει. Οὐδ' ἄπειρον δὴ ὑπ' ἀπείρου ἐνδέχεται οὐθὲν παθεῖν. [d]Ἔστω γὰρ τὸ Α ἄπειρον καὶ τὸ Β, χρόνος [f]δ' ἐν ᾧ ἔπαθε τὸ Β ὑπὸ τοῦ Α, ἐφ' [g]ᾧ Γ Δ. Τὸ [h]δὴ 12
ἐφ' ᾧ [i]τὸ Ε τοῦ ἀπείρου [k]μέρος, ἐπεὶ ὅλον πέπονθε τὸ [l]Β, οὐκ ἐν ἴσῳ χρόνῳ τὸ αὐτό· ὑποκείσθω γὰρ ἐν ἐλάττονι κινεῖσθαι [m]τὸ ἔλαττον χρόνῳ. [d]Ἔστω τὸ Ε κεκινημένον ὑπὸ τοῦ Α ἐν τῷ Δ. [d]Ὃ δὴ τὸ Δ πρὸς τὸ [n]Γ Δ, τὸ Ε ἐστὶ πρός τι τοῦ Β πεπερασμένον. Τοῦτο τοίνυν ἀνάγκη 13
ὑπὸ τοῦ Α κινηθῆναι ἐν τῷ Γ Δ χρόνῳ· ὑπὸ γὰρ τοῦ αὐτοῦ ὑποκείσθω ἐν τῷ [o]πλείονι καὶ ἐλάττονι χρόνῳ τὸ μεῖζον καὶ τὸ ἔλαττον πάσχειν, ὅσα ἀνάλογον τῷ χρόνῳ [p]διήρηται. [d]Ἐν οὐδενὶ ἄρα χρόνῳ δυνατὸν πεπερασμένῳ ἄπειρον ὑπ' ἀπείρου κινηθῆναι· ἐν ἀπείρῳ ἄρα. [d]Ἀλλ' ὁ μὲν ἄπειρος χρόνος οὐκ ἔχει [q]τέλος, τὸ δὲ κεκινημένον ἔχει. Εἰ τοίνυν 14
πᾶν σῶμα αἰσθητὸν ἔχει δύναμιν ποιητικὴν ἢ παθητικὴν ἢ ἄμφω, ἀδύνατον σῶμα ἄπειρον αἰσθητὸν εἶναι. [d]Ἀλλὰ μὴν καὶ ὅσα γε σώματα ἐν τόπῳ, πάντα αἰσθητά. Οὐκ ἔστιν ἄρα σῶμα ἄπειρον ἔξω τοῦ οὐρανοῦ οὐθέν. [d]Ἀλλὰ μὴν οὐδὲ

[r] τῷ Γ] τῷ γ χρόνῳ M. [s] κινήσει τοῦ β L. [t] ἔστω τὸ] ἐν τῷ E. [v] ὃ—τὸ Z om. E. [w] ἔχον] ἐχέτω L. [x] τὸν om. pr. E. [y] ἔστω om. E.L. [z] τὸ om. pr. E. [a] ἄρα τὸ E om. E. [b] τὸ π. τοίνυν καὶ τὸ ἄπειρον H.M. et omisso τὸ priore F, τὸ τοίνυν ἄπειρον καὶ τὸ π. L, τὸ τοίνυν ἄπειρον E. [c] ἐν τῷ ἴσῳ F.H.L.M. [d] τοῦτο E. [e] γε χρόνῳ οὐκ L. [f] δ' om. E. [g] ᾧ τὸ γ L. [h] δ' E.L. [i] τὸ om. F. [k] μέρους L, om. E. [l] pro B lacunam M. [m] τὸ ante ἔλαττον om. E. [n] Γ om. E. [o] πλέονι H. [p] διήρηται—χρόνῳ om. E. [q] πέρας H.

μέχρι τινός. Οὐθὲν ἄρα ὅλως σῶμα ἔξω τοῦ οὐρανοῦ. Εἰ μὲν γὰρ νοητόν, ἔσται ἐν [r] τόπῳ· τὸ γὰρ [s] ἔξω καὶ [t] ἔσω τόπον σημαίνει. [u] Ὥστ' ἔσται αἰσθητόν· αἰσθητὸν δ' οὐθὲν [v] μὴ ἐν τόπῳ.

15 Λογικώτερον δ' ἔστιν ἐπιχειρεῖν καὶ ὧδε. Οὔτε γὰρ κύκλῳ οἷόν τε κινεῖσθαι τὸ ἄπειρον ὁμοιομερὲς ὄν· μέσον [w] μὲν γὰρ τοῦ ἀπείρου οὐκ ἔστι, τὸ δὲ κύκλῳ περὶ τὸ μέσον κινεῖται. [x] Ἀλλὰ μὴν οὐδ' ἐπ' εὐθείας οἷόν τε φέρεσθαι τὸ ἄπειρον· δεήσει γὰρ ἕτερον [x] εἶναι τοσοῦτον τόπον ἄπειρον εἰς ὃν οἰσθήσεται κατὰ φύσιν, [y] καὶ ἄλλον τοσοῦτον εἰς ὃν παρὰ
16 φύσιν. [z] Ἔτι εἴτε [z] φύσει ἔχει κίνησιν [a] τοῦ εἰς εὐθὺ εἴτε βίᾳ κινεῖται, ἀμφοτέρως δεήσει ἄπειρον εἶναι τὴν κινοῦσαν ἰσχύν· ἥ τε γὰρ ἄπειρος ἀπείρου καὶ τοῦ ἀπείρου ἄπειρος [b] ἡ ἰσχύς. [u] Ὥστ' ἔσται [c] καὶ τὸ κινοῦν ἄπειρον, λόγος δ' ἐν τοῖς περὶ κινήσεως ὅτι οὐθὲν ἔχει ἄπειρον δύναμιν τῶν πεπερασμένων,
17 οὐδὲ τῶν ἀπείρων πεπερασμένην. Εἰ οὖν [d] τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν ἐνδέχεται κινηθῆναι, ἔσται [e] δύο ἄπειρα, τό τε κινοῦν οὕτω καὶ τὸ κινούμενον. [f] Ἔτι τὸ κινοῦν τὸ ἄπειρον τί ἐστιν; Εἰ μὲν γὰρ αὐτὸ [f] ἑαυτό, ἔμψυχον ἔσται. Τοῦτο δὲ πῶς δυνατὸν [g] ἄπειρον εἶναι ζῷον; Εἰ δ' ἄλλο [h] τι [i] τὸ κινοῦν, δύο [k] ἔσται [l] ἄπειρα, τό τε κινοῦν καὶ τὸ κινούμενον,
18 [m] διαφέροντα τὴν μορφὴν [n] καὶ τὴν δύναμιν. Εἰ δὲ μὴ συνεχὲς τὸ πᾶν, ἀλλ' [o] ὥσπερ λέγει Δημόκριτος καὶ Λεύκιππος, [p] διωρισμένα τῷ κενῷ, μίαν ἀναγκαῖον εἶναι πάντων τὴν κίνησιν. [q] Διώρισται μὲν γὰρ τοῖς σχήμασιν· τὴν δὲ φύσιν [r] εἶναί φασιν αὐτῶν μίαν, ὥσπερ ἂν εἰ χρυσὸς ἕκαστον [s] εἴη

[r] τόπῳ, εἰ δ' αἰσθητόν, ἔσται ἐν χρόνῳ. τὸ M. [s] ἔσω καὶ τὸ ἔξω H. [t] εἴσω F.M. [u] μὴ ὂν ἐν τόπῳ L, om. pr. E. [w] μὲν om. M. [x] φαίνεσθαι M. [y] καὶ—φύσιν om. pr. F. [z] ἔχει φύσει M. [a] που E. [b] ἡ om. L. [c] καὶ om. E. [d] καὶ παρὰ φύσιν τὸ κατὰ φύσιν ἐνδέχοιτο M. [e] ἄπειρα δύο F.M. [f] αὑτὸ H, om. E. [g] εἶναι ἄπειρον F. [h] τι om. E. [i] τὸ om. F.H. [k] ἔσται] ἔσται τὰ F. [l] ἄπειρα τό τε] καὶ τὸ E. [m] διαφέρον E. [n] καὶ τὴν om. pr. E. [o] ὡς λέγει περ E. [p] διωρισμένον L. [q] διαφέρουσι L. [r] φασὶν αὐτῶν εἶναι μίαν H, αὐτοῖς μίαν εἶναί φασιν F. [s] εἴη] ἂν εἴη F.

[t] κεχωρισμένον. Τούτων δέ, καθάπερ λέγομεν, ἀναγκαῖον εἶναι τὴν αὐτὴν κίνησιν· ὅπου γὰρ μία βῶλος, καὶ ἡ σύμπασα γῆ φέρεται, καὶ τό τε πᾶν πῦρ καὶ σπινθὴρ εἰς τὸν αὐτὸν τόπον. [v]Ωστ' οὔτε κοῦφον [v] ἁπλῶς οὐθὲν ἔσται τῶν σωμά- 19
των, εἰ πάντ' ἔχει βάρος· εἰ δὲ κουφότητα, [w] βαρὺ οὐδέν. [u]Ετι εἰ βάρος [x] ἔχει ἢ κουφότητα, ἔσται ἢ ἔσχατόν τι τοῦ παντὸς ἢ μέσον. Τοῦτο δ' ἀδύνατον ἀπείρου [y] γ' ὄντος. [v]Ολως [z] τε, οὗ μή ἐστι μέσον [a] μηδ' ἔσχατον, μηδὲ τὸ μὲν ἄνω τὸ δὲ κάτω, τόπος οὐθεὶς ἔσται τοῖς σώμασι τῆς φορᾶς. Τούτου δὲ μὴ ὄντος κίνησις οὐκ ἔσται· ἀνάγκη γὰρ κινεῖσθαι 20
ἤτοι κατὰ φύσιν ἢ παρὰ φύσιν, ταῦτα [b] δ' ὥρισται τοῖς τόποις τοῖς [c] τ' [d] οἰκείοις καὶ τοῖς ἀλλοτρίοις. [u]Ετι [e] εἰ οὖ παρὰ φύσιν [f] τι μένει ἢ φέρεται, [g] ἀνάγκη τινὸς [h] ἄλλου εἶναι [i] τοῦτον τὸν τόπον κατὰ φύσιν (τοῦτο δὲ πιστὸν ἐκ τῆς ἐπαγωγῆς), ἀνάγκη [k] δὴ [l] μὴ πάντα [m] ἢ βάρος ἔχειν ἢ κουφότητα, ἀλλὰ τὰ μὲν τὰ δ' [n] οὔ. [v]Οτι μὲν [o] τοίνυν οὐκ ἔστι τὸ σῶμα τοῦ παντὸς ἄπειρον, ἐκ [p] τούτων φανερόν.

Διότι δ' οὐδὲ πλείους [q] οἷόν τ' οὐρανοὺς εἶναι, λέγωμεν· 8
τοῦτο γὰρ ἔφαμεν ἐπισκεπτέον, εἴ τις μὴ νομίζει καθόλου δεδεῖχθαι περὶ τῶν σωμάτων ὅτι ἀδύνατον ἐκτὸς εἶναι τοῦ κόσμου τοῦδε ὁτιοῦν αὐτῶν, ἀλλὰ μόνον ἐπὶ τῶν ἀορίστως κειμένων εἰρῆσθαι τὸν λόγον. [v]Απαντὰ γὰρ καὶ μένει καὶ 2
κινεῖται [r] βίᾳ καὶ κατὰ φύσιν, [s] καὶ κατὰ φύσιν μέν, ἐν ᾧ μένει μὴ βίᾳ, καὶ φέρεται, καὶ εἰς ὃν φέρεται, [t] καὶ μένει, ἐν ᾧ δὲ βίᾳ, καὶ φέρεται [v] βίᾳ, καὶ εἰς ὃν [v] βίᾳ φέρεται, βίᾳ καὶ μένει. [u]Ετι εἰ βίᾳ ἤδε [w] ἡ φορά, ἡ ἐναντία κατὰ φύσιν.

[t] κεχωρισμένος E.M. [v] ἁπλῶς ἔσται οὐδὲν F, οὐδὲν ἁπλῶς ἔσται H.M. [w] οὐδὲν βαρὺ F, βαρὺ οὐδὲν ἐστιν L.M. [x] ἔχοι E.L. [y] γ' om. H. [z] τε] δ' E.L. [a] μηδ'] ἢ F. [b] δ' ὥρισται] διώρισται M. [c] τ' om. E. [d] ἰδίοις M. [e] εἰ om. E.H. [f] μένει τι F. [g] ἀναγκαῖον H. [h] εἶναι ἄλλου E.L. [i] τὸν τόπον τοῦτον M. [k] δὴ] ἄρα L, om. pr. E. [l] μηδὲ E.L. [m] ἢ post πάντα om. E.L. [n] οὔ] μή F.H.M. [o] τοίνυν om. F. [p] τῶνδε F. [q] οἷόν τ' εἶναι οὐρανοὺς M, οἷόν τ' εἶναι F. [r] κατὰ φύσιν καὶ βίᾳ H.L.M. [s] καὶ om. H.L. [t] καὶ ante μένει om. pr. E. [v] βίᾳ post φέρεται om. E, post ὃν om. H. [w] ἡ post ἤδε om. H.

[1] Ἐπὶ [x] δὲ τὸ μέσον τὸ ἐνταῦθα εἰ βίᾳ οἰσθήσεται ἡ γῆ ἐκεῖθεν, ἐντεῦθεν οἰσθήσεται ἐκεῖ κατὰ φύσιν· καὶ εἰ μένει ἐνταῦθα [y] ἡ [z] ἐκεῖθεν μὴ βίᾳ, καὶ οἰσθήσεται [a] κατὰ φύσιν
[3] δεῦρο. Μία [b] δ' ἡ κατὰ φύσιν. [c] Ἔτι ἀνάγκη πάντας [d] τοὺς κόσμους ἐκ τῶν αὐτῶν εἶναι σωμάτων, ὁμοίους [e] γ' ὄντας τὴν φύσιν. [2] Ἀλλὰ μὴν καὶ τῶν [f] σωμάτων ἕκαστον [g] ἀναγκαῖον τὴν αὐτὴν [h] ἔχειν δύναμιν, οἷον λέγω πῦρ καὶ γῆν καὶ τὰ μεταξὺ τούτων· εἰ γὰρ ὁμώνυμα ταῦτα καὶ μὴ κατὰ τὴν [i] αὐτὴν ἰδέαν λέγονται [k] τἀκεῖ τοῖς παρ' ἡμῖν, καὶ τὸ πᾶν
[4] ὁμωνύμως [l] ἂν λέγοιτο [m] κόσμος. Δῆλον τοίνυν ὅτι τὸ μὲν ἀπὸ τοῦ μέσου [n] φέρεσθαι πέφυκε, τὸ δ' ἐπὶ τὸ μέσον αὐτῶν, εἴπερ πᾶν ὁμοιοειδὲς τὸ πῦρ τῷ πυρὶ καὶ τῶν ἄλλων ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τούτῳ μόρια τοῦ πυρός. [3] Ὅτι δ' [o] ἀνάγκη οὕτως ἔχειν, ἐκ τῶν περὶ τὰς κινήσεις ὑποθέσεων [p] φανερόν· αἵ τε γὰρ κινήσεις πεπερασμέναι, [q] ἕκαστόν τε τῶν στοιχείων λέγεται καθ' ἑκάστην τῶν κινήσεων. [r] Ὥστ' εἴπερ καὶ αἱ κινήσεις [r] αἱ αὐταί, καὶ τὰ στοιχεῖα [s] ἀνάγκη εἶναι πανταχοῦ
[5] [t] ταὐτά. Πέφυκεν ἄρα φέρεσθαι καὶ ἐπὶ τόδε τὸ μέσον τὰ [v] ἐν ἄλλῳ κόσμῳ τῆς γῆς μόρια, καὶ πρὸς τόδε τὸ ἔσχατον τὸ ἐκεῖ πῦρ. [4] Ἀλλ' ἀδύνατον· τούτου γὰρ συμβαίνοντος ἀνάγκη φέρεσθαι ἄνω μὲν [w] τὴν γῆν [x] ἐν τῷ οἰκείῳ [y] κόσμῳ, τὸ δὲ πῦρ ἐπὶ τὸ μέσον, ὁμοίως δὲ καὶ τὴν ἐντεῦθεν γῆν ἀπὸ τοῦ μέσου φέρεσθαι κατὰ φύσιν, [z] πρὸς τὸ ἐκεῖ [a] φερομένην μέσον
[6] [b] διὰ τὸ τοὺς κόσμους οὕτω [c] κεῖσθαι πρὸς ἀλλήλους. [5] Ἡ γὰρ οὐ θετέον τὴν αὐτὴν εἶναι φύσιν [d] τῶν ἁπλῶν σωμάτων ἐν τοῖς πλείοσιν οὐρανοῖς, ἢ λέγοντας οὕτως τὸ μέσον ἓν

[x] δὴ E.F.H.L. [y] ἡ] ἢ L, om. M. [z] κεῖθεν E. [a] δεῦρο κατὰ φύσιν F.H.M. [b] δ'] γὰρ H.L. et pr. F. [c] ἔτι δ' ἀνάγκη M. [d] τοὺς κόσμους om. E. [e] γ' om. H. [f] σωμάτων γε ἕκαστον L. [g] ἀνάγκη H.M. [h] ἔχειν om. L. [i] αὐτὴν om. pr. E. [k] τὰ ἐκεῖ F.L.M. [l] λέγοιτο ἂν F.M. [m] ὁ κόσμος F.H.M. [n] πέφυκε φέρεσθαι M. [o] ἀναγκαῖον F.H.M. [p] φανερὸν ἀεὶ ἔσται αἱ F.M. [q] ἕκαστόν τε] καὶ ἕκαστον F.H.M. [r] αἱ post κινήσεις om. pr. E. [s] ἀναγκαῖον F.H.M. [t] τὰ αὐτά F.H.M. [v] ὅλῳ M. [w] τὴν om. pr. E. [x] ἐν] ἐπὶ F. [y] κόσμῳ] τόπῳ H. [z] πρὸς om. pr. E. [a] φερόμενον F.H. [b] διὰ τοῦ κόσμου pr. E. [c] κεινεῖσθαι E. [d] τῶν γε ἁπλῶν H.

ποιεῖν ἀνάγκη καὶ τὸ ἔσχατον· τούτου δ' ὄντος [e]ἀτόπου ἀδύνατον [f]εἶναι κόσμους πλείους [g]ἑνός. Τὸ δ' ἀξιοῦν ἄλλην [h]εἶναι φύσιν τῶν ἁπλῶν σωμάτων, [i]ἂν ἀποσχῶσιν ἔλαττον ἢ [k]πλεῖον τῶν οἰκείων τόπων, ἄλογον· τί γὰρ διαφέρει [l]τοσονδὶ [m]φάναι μῆκος [n]ἀποσχεῖν ἢ [o]τοσονδί; Διοίσει γὰρ [p]κατὰ λόγον, [q]ὅσῳ [r]πλεῖον μᾶλλον, τὸ δ' εἶδος τὸ αὐτό. [t]Ἀλλὰ μὴν ἀνάγκη γ' εἶναί [s]τινα κίνησιν αὐτῶν· ὅτι μὲν γὰρ κινοῦνται, φανερόν. Πότερον οὖν βίᾳ πάσας ἐροῦμεν [t]κινεῖσθαι καὶ τὰς ἐναντίας; [v]Ἀλλ' ὃ μὴ πέφυκεν ὅλως κινεῖσθαι, ἀδύνατον τοῦτο κινεῖσθαι βίᾳ. Εἰ τοίνυν ἐστί τις κίνησις αὐτῶν κατὰ φύσιν, [w]ἀνάγκη τῶν ὁμοιοειδῶν καὶ τῶν [x]καθ' ἕκαστον πρὸς ἕνα [y]ἀριθμῷ τόπον ὑπάρχειν τὴν κίνησιν, οἷον πρὸς τόδε τι μέσον καὶ πρὸς τόδε τι ἔσχατον. Εἰ δὲ πρὸς [z]εἴδει ταὐτά, πλείω δέ, [a]διότι καὶ τὰ καθ' ἕκαστα πλείω μέν, εἴδει δ' ἕκαστον ἀδιάφορον, οὐ [b]τῷ μὲν τῷ δ' οὔ [c]τοιοῦτον ἔσται τῶν μορίων, ἀλλ' ὁμοίως πᾶσιν· ὁμοίως γὰρ ἅπαντα κατ' εἶδος [d]ἀδιάφορα ἀλλήλων, ἀριθμῷ δ' ἕτερον ὁτιοῦν [e]ὁτουοῦν. Λέγω δὲ τοῦτο, ὅτι [f]εἰ [g]τὰ ἐνταῦθα [h]μόρια πρὸς ἄλληλα καὶ τὰ ἐν ἑτέρῳ κόσμῳ ὁμοίως ἔχει, [i]καὶ τὸ ληφθὲν ἐντεῦθεν οὐδὲν [k]διαφερόντως πρὸς τῶν ἐν [l]ἄλλῳ [m]τινὶ κόσμῳ μορίων καὶ πρὸς τῶν ἐν τῷ αὐτῷ, ἀλλ' ὡσαύτως· διαφέρουσι γὰρ οὐθὲν εἴδει ἀλλήλων. [v]Ὥστ' ἀναγκαῖον ἢ κινεῖν ταύτας τὰς ὑποθέσεις, ἢ τὸ μέσον ἓν εἶναι καὶ τὸ ἔσχατον. Τούτου δ' ὄντος ἀνάγκη καὶ τὸν οὐρανὸν ἕνα μόνον εἶναι [n]καὶ μὴ πλείους, τοῖς αὐτοῖς τεκμηρίοις τούτοις καὶ ταῖς αὐταῖς ἀνάγκαις. [v]Ὅτι δ' ἔστι τι οὗ πέφυκεν

[e] τοῦ ἀτόπου F, om. E.H.L.M. [f] κόσμους εἶναι M. [g] ἑνὸς om. pr. E. [h] φύσιν εἶναι F.M. [i] ἐὰν F.H.M. [k] πλείων L. [l] τοσόνδε M, τὸ τοσονδὶ F.H. [m] μῆκος φάναι F. [n] ἀπέχειν E.L. [o] τοσόνδε M. [p] κατὰ τὸν λ. H. [q] ὅσον M, ὅσῳ ᾧ pr. F. [r] πλείω M. [s] κίνησίν τινα F. [t] κινεῖσθαι om. pr. E. [v] ἀλλ' ὃ om. pr. E. [w] ἀνάγκη πρότερον τῶν L, ἀνάγκη καὶ τῶν M. [x] καθ' om. pr. E. [y] ἀριθμὸν M. [z] εἴδη E.L, τῷ εἴδει F. [a] ὅτι E. [b] τὸ μὲν τὸ E.H.M. [c] τοιούτων E. [d] διάφορα pr. E. [e] ὁτουοῦν] ὁτῳοῦν M. [f] εἰ om. E.F.L. [g] τὰ om. M. [h] πρὸς ἄλληλα μόρια M. [i] καὶ om. E.L. [k] διαφερόντων F.H.L. [l] ἄλλων E. [m] τινὶ om. F. [n] καὶ μὴ πλείους om. pr. E.

ἡ γῆ φέρεσθαι καὶ τὸ πῦρ, δῆλον [o] καὶ ἐκ τῶν ἄλλων. [v]Ὅλως γὰρ τὸ κινούμενον ἔκ τινος εἴς τι μεταβάλλει, καὶ ταῦτα ἐξ [p] οὗ καὶ εἰς ὃ [q] εἴδει διαφέρει. Πᾶσα δὲ πεπερασμένη μεταβολή, οἷον τὸ ὑγιαζόμενον ἐκ νόσου εἰς ὑγίειαν καὶ τὸ αὐξανόμενον ἐκ [r] μικρότητος εἰς μέγεθος. Καὶ τὸ φερόμενον
11 ἄρα· καὶ γὰρ τοῦτο γίνεταί ποθεν ποῖ. [s] Δεῖ ἄρα εἴδει διαφέρειν ἐξ οὗ καὶ εἰς ὃ πέφυκε φέρεσθαι, ὥσπερ τὸ ὑγιαζόμενον, [t] οὐχ οὗ ἔτυχεν, [v] οὐδ' οὗ βούλεται ὁ κινῶν. Καὶ τὸ πῦρ ἄρα καὶ ἡ γῆ οὐκ εἰς ἄπειρον φέρονται, ἀλλ' εἰς ἀντικείμενα. [w] Ἀντίκειται δὲ κατὰ τόπον τὸ ἄνω τῷ κάτω, ὥστε [x] ταῦτα ἔσται πέρατα τῆς φορᾶς, [y] ἐπεὶ καὶ [z] ἡ κύκλῳ ἔχει πως ἀντικείμενα τὰ κατὰ διάμετρον· τῇ δ' ὅλῃ οὐκ ἔστιν ἐναντίον οὐδέν. [a] Ὥστε καὶ τούτοις τρόπον τινὰ ἡ κίνησις
12 εἰς [b] τὰ ἀντικείμενα καὶ πεπερασμένα. Ἀνάγκη ἄρα εἶναί τι τέλος καὶ μὴ εἰς ἄπειρον φέρεσθαι. Τεκμήριον δὲ [c] τοῦ μὴ εἰς ἄπειρον φέρεσθαι καὶ [d] τὸ τὴν γῆν μέν, ὅσῳ ἂν ἐγγυτέρω ᾖ τοῦ μέσου, θᾶττον φέρεσθαι, τὸ δὲ πῦρ, ὅσῳ ἂν τοῦ ἄνω. Εἰ δ' ἄπειρον ἦν, ἄπειρος [e] ἂν [f] ἦν καὶ ἡ ταχυτὴς καὶ τὸ βάρος καὶ ἡ κουφότης· ὡς γὰρ τὸ κατωτέρω ταχυτῆτι [g] ἑτέρου τῷ [h] βαρεῖ ἂν ἦν ταχύ, οὕτως [i] εἰ ἄπειρος ἦν ἡ τούτου [k] ἐπίδοσις, καὶ ἡ τῆς ταχυτῆτος ἐπίδοσις ἄπειρος ἂν ἦν.
13 Ἀλλὰ μὴν οὐδ' ὑπ' ἄλλου φέρεται αὐτῶν [l] τὸ μὲν ἄνω τὸ δὲ κάτω· οὐδὲ βίᾳ, ὥσπερ τινές φασι τῇ ἐκθλίψει. Βραδύτερον γὰρ ἂν ἐκινεῖτο τὸ πλεῖον πῦρ ἄνω καὶ ἡ πλείων γῆ κάτω· νῦν δὲ τοὐναντίον ἀεὶ τὸ πλεῖον πῦρ θᾶττον φέρεται [m] καὶ ἡ πλείων γῆ εἰς τὸν [n] αὑτῆς τόπον. Οὐδὲ θᾶττον ἂν πρὸς τῷ τέλει ἐφέρετο, εἰ [o] τῇ βίᾳ καὶ τῇ ἐκθλίψει· [p] πάντα

[o] καὶ ante ἐκ om. M. [p] οὗ] οὐρανοῦ L. [q] εἴδει δὲ δ. H.M. [r] σμικρότητος F.L. [s] δεῖ] εἰ pr. E. [t] οὐχ] φέρεσθαι οὐχ H. [v] οὐδ'] φέρεται οὐδ' M. [w] ἀντίκεινται F. [x] ἔσται ταῦτα H. [y] ἐπεὶ δὲ καὶ E. [z] ἡ ἐν κύκλῳ L. [a] ὥστε—πεπερασμένα om. H. et pr. E.F. [b] τὰ om. M. et rc. E. [c] τοῦ μὴ εἰς ἄπειρα F.L. [d] τὸ τὴν—φέρεσθαι om. pr. F. [e] ἂν om. M. [f] ἦν om. E.M. [g] ἕτερον E.H.L, ἕτερον καὶ M. [h] βάρει M. [i] εἰ] εἰ οὖν E. [k] ἐπίδοσις om. M. [l] τὰ—τὰ L. [m] καὶ ἡ om. pr. E. [n] ἑαυτῆς E, αὐτὸν M, αὐτῶν F.H.L. [o] τῇ utrumque om. F.H.L. [p] πᾶν L.M.

γὰρ τοῦ [q] βιασαμένου [r] πορρωτέρω γιγνόμενα βραδύτερον φέρεται, καὶ [s] ὅθεν βίᾳ, ἐκεῖ [t] φέρεται [v] οὐ βίᾳ. [u] Ὥστ' ἐκ 14
τούτων θεωροῦσιν [w] ἔστι λαβεῖν τὴν πίστιν περὶ [x] ὧν λέγομεν ἱκανῶς. [y] Ἔτι δὲ καὶ διὰ τῶν ἐκ τῆς πρώτης φιλοσοφίας [y] λόγων δειχθείη ἄν, καὶ ἐκ τῆς κύκλῳ κινήσεως ἣν ἀναγκαῖον [z] ἀΐδιον ὁμοίως ἐνταῦθά [a] τ' εἶναι καὶ ἐν τοῖς ἄλλοις κόσμοις. Δῆλον δὲ κἂν ὧδε γένοιτο σκοπουμένοις ὅτι ἀνάγκη [b] ἕνα 15
εἶναι τὸν οὐρανόν. Τριῶν γὰρ ὄντων [c] τῶν σωματικῶν στοιχείων, τρεῖς ἔσονται καὶ οἱ τόποι τῶν στοιχείων, εἷς μὲν ὁ τοῦ ὑφισταμένου [d] σώματος ὁ περὶ τὸ μέσον, ἄλλος δὲ ὁ τοῦ κύκλῳ φερομένου, ὅσπερ ἐστὶν ἔσχατος, τρίτος [e] δ' ὁ μεταξὺ τούτων ὁ τοῦ [f] μέσου σώματος. [t] Ἀνάγκη γὰρ ἐν 16
τούτῳ εἶναι τὸ ἐπιπολάζον· εἰ γὰρ μὴ ἐν τούτῳ, [g] ἔξω ἔσται. [h] [t] Αλλ' ἀδύνατον ἔξω· τὸ μὲν γὰρ ἀβαρὲς τὸ δ' ἔχον βάρος, κατωτέρω δὲ ὁ τοῦ βάρος ἔχοντος σώματος [i] τόπος, εἴπερ ὁ πρὸς τῷ μέσῳ τοῦ βαρέος. [t] Ἀλλὰ μὴν οὐδὲ παρὰ φύσιν· [k] ἄλλῳ γὰρ ἔσται κατὰ φύσιν, [l] ἄλλο δ' οὐκ ἦν. [t] Ἀνάγκη 17
ἄρα [m] ἐν τῷ μεταξὺ εἶναι. [n] Τούτου δ' αὐτοῦ τίνες εἰσὶ διαφοραί, ὕστερον ἐροῦμεν. Περὶ μὲν οὖν τῶν σωματικῶν στοιχείων, ποιά [o] τ' ἐστὶ καὶ πόσα, καὶ [p] τίς ἑκάστου τόπος, ἔτι δ' ὅλως πόσοι [q] τὸ πλῆθος οἱ τόποι, δῆλον ἡμῖν ἐκ τῶν εἰρημένων.

[v] Ὅτι δ' οὐ μόνον εἷς ἐστὶν [r] οὐρανός, ἀλλὰ καὶ ἀδύνατον 9
[s] γενέσθαι πλείους, ἔτι δ' ὡς ἀΐδιος ἄφθαρτος ὢν καὶ [t] ἀγένητος, [v] λέγωμεν, πρῶτον διαπορήσαντες περὶ αὐτοῦ. Δόξειε γὰρ ἂν ὧδὶ σκοπουμένοις ἀδύνατον ἕνα καὶ μόνον εἶναι αὐτόν·

[q] βιαζομένου E. [r] πόρρω γινόμενον M. [s] ὅθεν ἂν βίᾳ F.H.M. [t] φέρονται F.M. [v] οὐ om. pr. E. [w] ἔσται M. [x] τῶν λεγομένων E.L. [y] λόγων et ἐκ om. E. [z] ἴδιον pr. E. [a] τ' om. F.M. [b] εἶναι ἕνα F.H. [c] τῶν om. F.H. [d] σώματος om. E.L. [e] δ' om. F.H. [f] μέσου] μεταξὺ H. [g] ἔσται ἔξω L, ἔστω ἔξω F. [h] ἀλλ' om. pr. E. [i] τόπος οὐκ ἔστιν εἴπερ L. [k] ἄλλο M. [l] ἄλλο δ'] ἀλλ' E. [m] ἐν τῷ om. E. [n] τούτου] τοῦ F. [o] τ' om. H. [p] τίς ἐστιν ἑκάστου F. [q] τοῦ πλήθους τόποι M. [r] οὐρανὸς] ὁ οὐρανὸς M, om. E.H.L. [s] πλείους γενέσθαι H.M. [t] ἀγέννητος E. [v] λέγομεν M.

ἐν ἅπασι γὰρ καὶ τοῖς φύσει καὶ τοῖς ἀπὸ τέχνης [w] συνεστῶσι καὶ γεγενημένοις ἕτερόν ἐστιν [x] αὐτὴ καθ' [y] αὑτὴν ἡ μορφὴ [z] καὶ μεμιγμένη μετὰ [a] τῆς ὕλης, οἷον τῆς σφαίρας ἕτερον τὸ εἶδος καὶ ἡ χρυσῆ [b] καὶ ἡ χαλκῆ σφαῖρα, καὶ πάλιν τοῦ κύκλου ἑτέρα ἡ μορφὴ καὶ ὁ χαλκοῦς καὶ ὁ ξύλινος κύκλος· τὸ γὰρ τί [c] ἦν εἶναι λέγοντες σφαίρᾳ ἢ κύκλῳ οὐκ ἐροῦμεν ἐν τῷ λόγῳ χρυσὸν ἢ χαλκόν, ὡς οὐκ ὄντα ταῦτα τῆς οὐσίας· [d] ἐὰν δὲ τὴν [e] χαλκῆν ἢ χρυσῆν, ἐροῦμεν, [f] καὶ ἐὰν μὴ δυνώμεθα νοῆσαι μηδὲ λαβεῖν ἄλλο τι παρὰ τὸ
2 καθ' ἕκαστον. [g] Ἐνίοτε γὰρ οὐθὲν κωλύει τοῦτο συμβαίνειν, οἷον εἰ [g] μόνος εἷς ληφθείη κύκλος· οὐθὲν γὰρ ἧττον ἄλλο ἔσται τὸ κύκλῳ εἶναι καὶ τῷδε τῷ κύκλῳ, καὶ τὸ μὲν εἶδος, τὸ δ' εἶδος ἐν τῇ ὕλῃ [h] καὶ τῶν καθ' ἕκαστον. [i] Ἐπεὶ οὖν ἐστὶν ὁ οὐρανὸς αἰσθητός, τῶν καθ' ἕκαστον ἂν εἴη· τὸ γὰρ αἰσθητὸν ἅπαν ἐν τῇ ὕλῃ [j] ὑπῆρχεν. Εἰ δὲ τῶν καθ' ἕκαστον, ἕτερον ἂν εἴη τῷδε [k] τῷ οὐρανῷ εἶναι καὶ οὐρανῷ [l] ἁπλῶς.
3 [v] Ἕτερον ἄρα ὅδε [m] ὁ οὐρανὸς [n] καὶ οὐρανὸς ἁπλῶς, καὶ τὸ μὲν ὡς εἶδος καὶ μορφὴ τὸ δ' ὡς [o] τῇ ὕλῃ μεμιγμένον. [p] Ὧν δ' ἐστὶ μορφή τις καὶ εἶδος, ἤτοι ἔστιν ἢ ἐνδέχεται πλείω γενέσθαι τὰ καθ' ἕκαστα. Εἴτε γὰρ ἔστιν εἴδη, καθάπερ [p] φασί τινες, ἀνάγκη τοῦτο συμβαίνειν, εἴτε [q] καὶ [r] χωριστὸν μηθὲν τῶν τοιούτων, οὐθὲν ἧττον· ἐπὶ πάντων γὰρ οὕτως [s] ὁρῶμεν, ὅσων ἡ οὐσία ἐν ὕλῃ ἐστίν, πλείω καὶ ἄπειρα ὄντα
4 τὰ [t] ὁμοιοειδῆ. [v] Ὥστε [v] ἤτοι εἰσὶ [w] πλείους [x] οἱ οὐρανοὶ [y] ἢ ἐνδέχεται πλείους [z] εἶναι. [a] Ἐκ μὲν [a] οὖν τούτων ὑπολάβοι [b] τις ἂν [c] καὶ εἶναι καὶ ἐνδέχεσθαι πλείους [d] εἶναι οὐρανούς·

[w] γεγενημένοις καὶ συνεστῶσιν F. [x] αὐτή τε καθ' F.H.M. [y] ἑαυτὴν M. [z] καὶ ἡ μεμ. L.M. [a] τῆς post μετὰ om. F. [b] σφαῖρα καὶ ἡ χαλκῆ M. [c] ἦν om. pr. E. [d] ἂν F.H.L.M. [e] χρυσῆν ἢ χαλκῆν M. [f] καὶ ἐὰν] κἂν H.M, καὶ F. [g] μόνον F. [h] καὶ τῶν] καὶ τὸ E. [i] ὑπάρχει F. [k] τῷ] τὸ H.M. [l] ἁπλῶς] καὶ ἁπλῶς M. [m] ὁ om. pr. E. [n] καὶ] καὶ ὁ H.M. [o] τῇ om. L. [p] τινές φασιν H.M. [q] καὶ] καὶ μὴ E. [r] μηθὲν τῶν τοιούτων χωριστὸν F. [s] ἐροῦμεν F. [t] ὁμοειδῆ M. [v] ἤτοι om. E. [w] πλείους εἰσὶν H.M. [x] οἱ om. F.H.L.M, dubio E. [y] ἢ—εἶναι om. pr. E. [z] εἶναι] γενέσθαι L.M. [a] οὖν] δὴ F.H.M. [b] ἄν τις F. [c] καὶ post ἂν om. M. [d] εἶναι om. E.

σκεπτέον δὲ πάλιν τί τούτων λέγεται καλῶς καὶ τί οὐ καλῶς. Τὸ μὲν [e] οὖν ἕτερον εἶναι τὸν λόγον τὸν ἄνευ τῆς ὕλης καὶ τὸν ἐν τῇ ὕλῃ τῆς μορφῆς καλῶς τε λέγεται, καὶ [f] ἔστω [g] τοῦτ' ἀληθές. [i] Ἀλλ' οὐδὲν ἧττον οὐδεμία ἀνάγκη 5
διὰ τοῦτο πλείους εἶναι κόσμους, οὐδ' ἐνδέχεται γενέσθαι πλείους, εἴπερ οὗτος ἐξ ἁπάσης ἐστὶ τῆς ὕλης, [h] ὥσπερ ἔστιν. [i] Ὡδὶ δὲ μᾶλλον [i] ἴσως [k] τὸ λεγόμενον ἔσται δῆλον. Εἰ
[l] γάρ ἐστιν ἡ γρυπότης καμπυλότης ἐν ῥινὶ ἢ σαρκί, καὶ ἔστιν ὕλη τῇ γρυπότητι ἡ σάρξ, εἰ ἐξ ἁπασῶν τῶν σαρκῶν μία γένοιτο σὰρξ καὶ ὑπάρξειεν ταύτῃ τὸ γρυπόν, οὐθὲν [m] ἂν ἄλλ' οὔτ' εἴη γρυπὸν οὔτ' ἐνδέχοιτο γενέσθαι. [i] Ὁμοίως 6
δὲ καὶ [n] εἰ τῷ ἀνθρώπῳ [o] ἐστὶν ὕλη σάρκες καὶ ὀστᾶ, εἰ ἐκ πάσης τῆς σαρκὸς [p] καὶ πάντων τῶν ὀστῶν ἄνθρωπος γένοιτο ἀδυνάτων ὄντων διαλυθῆναι, οὐκ ἂν ἐνδέχοιτο [q] εἶναι ἄλλον ἄνθρωπον. [i] Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὅλως γὰρ ὅσων ἐστὶν ἡ οὐσία ἐν ὑποκειμένῃ [r] τινὶ ὕλῃ, τούτων [s] οὐδὲν ἐνδέχεται [t] γενέσθαι μὴ ὑπαρχούσης [v] τινὸς ὕλης.
[i] Ὁ δ' οὐρανὸς ἔστι μὲν τῶν καθ' [w] ἕκαστα καὶ τῶν ἐκ τῆς 7
ὕλης· ἀλλ' εἰ μὴ ἐκ μορίου αὐτῆς συνέστηκεν ἀλλ' ἐξ ἁπάσης, τὸ μὲν εἶναι αὐτῷ οὐρανῷ καὶ τῷδε τῷ οὐρανῷ ἕτερόν ἐστιν, οὐ μέντοι οὔτ' [x] ἂν εἴη ἄλλος οὔτ' ἂν ἐνδέχοιτο γενέσθαι πλείους διὰ τὸ πᾶσαν τὴν ὕλην [y] περιειληφέναι τοῦτον. Λείπεται ἄρα [z] τοῦτο δεῖξαι, [a] ὅτι ἐξ ἅπαντος τοῦ φυσικοῦ καὶ τοῦ αἰσθητοῦ συνέστηκε σώματος. Εἴπωμεν δὲ πρῶτον τί λέγομεν εἶναι τὸν οὐρανὸν καὶ ποσαχῶς, ἵνα μᾶλλον ἡμῖν δῆλον γένηται τὸ ζητούμενον. [i] Ἕνα μὲν οὖν τρόπον οὐρα- 8
νὸν λέγομεν τὴν οὐσίαν τὴν τῆς ἐσχάτης τοῦ παντὸς περιφορᾶς, ἢ σῶμα φυσικὸν τὸ ἐν τῇ ἐσχάτῃ περιφορᾷ τοῦ

[e] οὖν om. E. [f] ἔστι H.M. [g] τοῦτ' om. H. [h] ὥσπερ καὶ ἔστιν F. [i] ἴσως om. F.H. [k] ἔσται τὸ λεγόμενον F.H. [l] γάρ] περ L. [m] ἂν om. E.L.M. [n] εἰ ἐν τῷ F. [o] ὕλη ἐστὶ H.M. [p] καὶ ἐκ π. L.M. [q] ἄλλον εἶναι H.L.M. [r] ὕλῃ τινὶ F, τῇ ὕλῃ H. [s] οὐδὲν ἐνδ.] ἐνδ. μηδὲν F. [t] γίγνεσθαι E.L. [v] τινὸς om. E. [w] ἕκαστον M. [x] ἂν ante εἴη om. E. [y] προειληφέναι L. [z] τοῦτο] αὐτὸ τοῦτο F.H.M. [a] διότι E.

παντός· [b] εἰώθαμεν γὰρ τὸ ἔσχατον καὶ τὸ ἄνω μάλιστα καλεῖν οὐρανόν, ἐν ᾧ καὶ τὸ θεῖον [c] πᾶν ἱδρῦσθαί φαμεν. [d] Ἄλλον δ' αὖ [d] τρόπον τὸ συνεχὲς σῶμα τῇ ἐσχάτῃ περιφορᾷ τοῦ παντός, ἐν ᾧ σελήνη καὶ ἥλιος καὶ ἔνια τῶν
9 ἄστρων· καὶ γὰρ ταῦτα ἐν τῷ οὐρανῷ εἶναί φαμεν. [d] Ἔτι δ' ἄλλως λέγομεν οὐρανὸν τὸ περιεχόμενον σῶμα ὑπὸ τῆς ἐσχάτης περιφορᾶς· τὸ γὰρ ὅλον καὶ τὸ πᾶν εἰώθαμεν λέγειν οὐρανόν.. Τριχῶς δὴ λεγομένου [e] τοῦ οὐρανοῦ, τὸ ὅλον τὸ ὑπὸ τῆς ἐσχάτης περιεχόμενον περιφορᾶς ἐξ ἅπαντος ἀνάγκη συνεστάναι τοῦ φυσικοῦ καὶ τοῦ αἰσθητοῦ σώματος διὰ τὸ μήτ' εἶναι μηδὲν ἔξω σῶμα τοῦ οὐρανοῦ μήτ' ἐνδέ-
10 χεσθαι γενέσθαι. Εἰ γὰρ ἔστιν ἔξω τῆς ἐσχάτης περιφορᾶς σῶμα φυσικόν, [f] ἀνάγκη αὐτὸ ἤτοι τῶν ἁπλῶν εἶναι σωμάτων ἢ τῶν συνθέτων, καὶ ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν ἔχειν. Τῶν μὲν οὖν ἁπλῶν οὐθὲν ἂν εἴη. Τὸ [g] μὲν γὰρ κύκλῳ φερόμενον δέδεικται ὅτι οὐκ ἐνδέχεται μεταλλάξαι τὸν [h] αὑτοῦ τόπον. [i] Ἀλλὰ μὴν οὐδὲ τὸ [i] ἀπὸ [k] τοῦ μέσου
11 δυνατόν, οὐδὲ τὸ ὑφιστάμενον. Κατὰ φύσιν μὲν γὰρ οὐκ ἂν εἴησαν (ἄλλοι γὰρ αὐτῶν οἰκεῖοι τόποι), παρὰ φύσιν δ' εἴπερ εἰσίν, ἄλλῳ τινὶ ἔσται κατὰ φύσιν ὁ ἔξω τόπος· [l] τὸν γὰρ τούτῳ παρὰ φύσιν [m] ἀναγκαῖον ἄλλῳ εἶναι κατὰ φύσιν. [i] Ἀλλ' οὐκ ἦν ἄλλο σῶμα παρὰ ταῦτα. Οὐκ [n] ἄρ' [o] ἐστὶ δυνατὸν οὐθὲν τῶν ἁπλῶν ἔξω εἶναι τοῦ οὐρανοῦ σῶμα. Εἰ δὲ μὴ τῶν ἁπλῶν, οὐδὲ τῶν μικτῶν· ἀνάγκη γὰρ εἶναι καὶ
12 τὰ ἁπλᾶ τοῦ μικτοῦ ὄντος. [i] Ἀλλὰ μὴν οὐδὲ γενέσθαι δυνατόν· ἤτοι γὰρ [p] κατὰ φύσιν [q] ἔσται ἢ παρὰ φύσιν, καὶ [r] ἢ ἁπλοῦν ἢ μικτόν, ὥστε πάλιν ὁ αὐτὸς ἥξει λόγος· οὐθὲν γὰρ διαφέρει σκοπεῖν εἰ ἔστιν ἢ [s] εἰ γενέσθαι δυνατόν. Φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων ὅτι οὔτ' ἔστιν ἔξω οὔτ' [t] ἐγχωρεῖ

[b] εἰώθαμεν—τοῦ παντός om. L. [c] πᾶν] περὶ H. [d] τρόπον φαμὲν τὸ M. [e] τοῦ παντὸς οὐρανοῦ F.H.M. [f] ἀναγκαῖον H. [g] μὲν om. E. [h] ἑαυτοῦ L.M. [i] ἐπὶ pr. E. [k] τοῦ] τοῦδε τοῦ F. [l] τὸν] τὸ μὲν F. [m] ἄλλῳ ἀναγκαῖον F. [n] ἄρ'] ἔτι F. [o] ἔσται E. [p] παρὰ φ. ἢ κατὰ φ. (omisso ἔσται) F. [q] ἔσται ἢ παρὰ φύσιν om. E [r] ἢ post καὶ om. E. [s] εἰ post ἢ om. F.H. [t] ἐνδέχεται F.

γενέσθαι σώματος [v] ὄγκον οὐθενός· ἐξ ἁπάσης [w] γάρ [x] ἐστι τῆς οἰκείας ὕλης ὁ πᾶς κόσμος· ὕλη γὰρ ἦν αὐτῷ τὸ φυσικὸν σῶμα καὶ αἰσθητόν. [v]Ωστ' οὔτε νῦν εἰσὶ [y] πλείους οὐρανοὶ 13
οὔτ' ἐγένοντο, οὔτ' ἐνδέχεται [z] γενέσθαι πλείους· ἀλλ' εἷς [a] καὶ μόνος [b] καὶ τέλειος οὗτος οὐρανός ἐστιν. [v]Αμα δὲ δῆ-
λον ὅτι οὐδὲ τόπος οὐδὲ κενὸν οὐδὲ χρόνος ἐστὶν ἔξω τοῦ οὐρανοῦ· ἐν [c] ἅπαντι γὰρ [d] τόπῳ δυνατὸν ὑπάρξαι σῶμα· κενὸν δ' εἶναί φασιν ἐν ᾧ μὴ [e] ἐνυπάρχει σῶμα, δυνατὸν δ' [f] ἐστὶ γενέσθαι· [g] χρόνος δὲ ἀριθμὸς κινήσεως· κίνησις δ' ἄνευ φυσικοῦ σώματος οὐκ ἔστιν. [v]Εξω δὲ τοῦ οὐρανοῦ [h] δέδει- 14
κται ὅτι οὔτ' ἔστιν οὔτ' ἐνδέχεται γενέσθαι σῶμα. Φανερὸν ἄρα ὅτι οὔτε τόπος οὔτε κενὸν οὔτε χρόνος ἐστὶν [i] ἔξωθεν· διόπερ οὔτ' ἐν τόπῳ τἀκεῖ πέφυκεν, οὔτε χρόνος αὐτὰ ποιεῖ γηράσκειν, οὐδ' ἐστὶν οὐδενὸς οὐδεμία μεταβολὴ τῶν ὑπὲρ τὴν ἐξωτάτω τεταγμένων [k] φοράν, ἀλλ' ἀναλλοίωτα καὶ ἀπαθῆ τὴν ἀρίστην ἔχοντα ζωὴν καὶ τὴν αὐταρκεστάτην διατελεῖ τὸν ἅπαντα αἰῶνα. Καὶ γὰρ τοῦτο τοὔνομα θείως ἔφθεγ- 15
κται παρὰ τῶν ἀρχαίων. Τὸ γὰρ τέλος τὸ περιέχον τὸν τῆς ἑκάστου ζωῆς χρόνον, οὗ μηθὲν ἔξω κατὰ φύσιν, αἰὼν ἑκάστου κέκληται. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὸ τοῦ παντὸς οὐρανοῦ τέλος καὶ τὸ τὸν [l] πάντα χρόνον [m] καὶ τὴν ἀπειρίαν περιέχον τέλος αἰών ἐστιν, ἀπὸ τοῦ [n] ἀεὶ εἶναι εἰληφὼς τὴν ἐπωνυμίαν, ἀθάνατος καὶ θεῖος. [v]Οθεν καὶ τοῖς 16
ἄλλοις ἐξήρτηται, τοῖς μὲν ἀκριβέστερον τοῖς δ' [o] ἀμαυρῶς, τὸ εἶναί τε καὶ ζῆν. [p]Καὶ [q]γὰρ καθάπερ ἐν τοῖς ἐγκυκλίοις φιλοσοφήμασι περὶ τὰ θεῖα πολλάκις προφαίνεται τοῖς λόγοις ὅτι τὸ θεῖον ἀμετάβλητον ἀναγκαῖον εἶναι πᾶν τὸ πρῶτον καὶ ἀκρότατον· [r]ὃ οὕτως ἔχον μαρτυρεῖ τοῖς εἰρημένοις.

[v] ὄγκου M. [w] γάρ] ἄρ' H.M. [x] ἐστιν ante ὁ M. [y] πλείους οἱ οὐρανοὶ F. [z] πλείους γενέσθαι M. [a] καὶ om. F. [b] οὗτος καὶ τέλειος M. [c] παντὶ H. [d] τόπῳ om. pr. F. [e] ἐνυπάρχειν E, ὑπάρχει F.H.M. [f] ἐστὶ om. E.L. [g] ἔστι δὲ χρόνος L, χρόνος δέ ἐστιν F.M. [h] ἀποδέδεικται M. [i] ἔξω F.H. [k] περιφοράν M. [l] ἅπαντα F.H.L.M. [m] καὶ τὸ τὴν F.M. [n] αἰεὶ L. [o] ἀμαυρότερον L.M. [p] καθάπερ γὰρ, omissa καὶ, H. [q] γὰρ om. corr. F. [r] ὃ om. E.

17 Οὔτε γὰρ ἄλλο κρεῖττόν ἐστιν ὅ τι [s]κινήσει ([t]ἐκεῖνο γὰρ [v]ἂν εἴη θειότερον) οὔτ' ἔχει φαῦλον οὐθέν, οὔτ' ἐνδεὲς τῶν αὐτοῦ καλῶν οὐδενός ἐστιν. Καὶ ἄπαυστον δὴ κίνησιν κινεῖται εὐλόγως· [w]πάντα [x]γὰρ παύεται κινούμενα, ὅταν ἔλθῃ εἰς τὸν οἰκεῖον τόπον· τοῦ δὲ κύκλῳ σώματος [y]ὁ αὐτὸς τόπος ὅθεν ἤρξατο καὶ εἰς [z]ὃν τελευτᾷ.

10 Τούτων [a]δὲ διωρισμένων λέγωμεν μετὰ ταῦτα πότερον [b]ἀγένητος ἢ γενητὸς καὶ ἄφθαρτος ἢ φθαρτός, διεξελθόντες πρότερον τὰς τῶν ἄλλων ὑπολήψεις· αἱ γὰρ τῶν ἐναντίων ἀποδείξεις ἀπορίαι [c]περὶ τῶν ἐναντίων εἰσίν. [v]Αμα δὲ καὶ μᾶλλον ἂν εἴη πιστὰ τὰ μέλλοντα λεχθήσεσθαι προακηκοόσι τὰ τῶν [d]ἀμφισβητούντων λόγων δικαιώματα· τὸ γὰρ [e]ἐρήμην καταδικάζεσθαι δοκεῖν ἧττον ἂν ἡμῖν [f]ὑπάρχοι· καὶ γὰρ δεῖ διαιτητὰς ἀλλ' οὐκ ἀντιδίκους εἶναι τοὺς μέλλοντας [g]τάλη-2 θὲς κρίνειν ἱκανῶς. Γενόμενον μὲν οὖν ἅπαντες εἶναί φασιν, ἀλλὰ γενόμενον οἱ μὲν ἀΐδιον, οἱ δὲ φθαρτὸν ὥσπερ ὁτιοῦν ἄλλο τῶν [h]φύσει συνισταμένων, οἱ δ' ἐναλλὰξ ὁτὲ μὲν οὕτως [i]ὁτὲ δὲ ἄλλως ἔχειν φθειρόμενον, καὶ τοῦτο [k]ἀεὶ διατελεῖν οὕτως, ὥσπερ [l]Ἐμπεδοκλῆς ὁ [l]Ακραγαντῖνος καὶ 3 [l]Ηράκλειτος ὁ [l]Εφέσιος. Τὸ μὲν οὖν γενέσθαι μὲν ἀΐδιον δ' ὅμως [l]εἶναι φάναι τῶν ἀδυνάτων. Μόνα γὰρ ταῦτα θετέον εὐλόγως ὅσα ἐπὶ πολλῶν ἢ πάντων ὁρῶμεν ὑπάρχοντα, περὶ δὲ τούτου συμβαίνει τοὐναντίον· ἅπαντα γὰρ τὰ γινό-4 μενα καὶ φθειρόμενα φαίνεται. [l]Ετι δὲ τὸ μὴ ἔχον ἀρχὴν τοῦ ὠδὶ ἔχειν, ἀλλ' ἀδύνατον ἄλλως ἔχειν πρότερον τὸν ἅπαντα αἰῶνα, ἀδύνατον καὶ μεταβάλλειν· ἔσται γάρ τι αἴτιον, ὃ εἰ [m]ὑπῆρχε πρότερον, δυνατὸν [n]ἂν ἦν ἄλλως ἔχειν [o]τὸ ἀδύνατον ἄλλως ἔχειν. Εἰ [p]δὲ πρότερον ἐξ ἄλλως ἐχόντων συν-

[s] κινήσειεν F. [t] κεῖνο E. [v] ἂν om. F. [w] ἅπαντα F.H.M. [x] γὰρ δὴ π. F. [y] ὁ αὐτὸς τόπος om. pr. F. [z] ὃ F. [a] δὲ om. F. [b] ἀγέννητος ἢ γεννητὸς F.H.L. [c] περὶ om. corr. F. [d] ἀμφισβητουμένων L. [e] ἠρέμην E. [f] ὑπάρχῃ H. [g] τἀληθῆ M. [h] φύσει om. E.H.L.M. [i] ἔχειν ὅτε δὲ ἄλλως H. [k] αἰεὶ L, om. H. [l] εἶναι om. M, post φάναι ponit H. [m] πρότερον ὑπῆρχε F. [n] ἂν om. F. [o] τὸ—ἔχειν om. H. et corr. E. [p] δὴ E.

ἑστη ὁ κόσμος, εἰ μὲν ἀεὶ οὕτως ἐχόντων καὶ ἀδυνάτων ἄλλως ἔχειν, οὐκ ἂν [q] ἐγένετο. Εἰ δὲ γέγονεν, ἀνάγκη δηλονότι κἀκεῖνα δυνατὰ εἶναι ἄλλως ἔχειν καὶ μὴ ἀεὶ οὕτως ἔχειν, ὥστε καὶ συνεστῶτα διαλυθήσεται [r] καὶ διαλελυμένα συνέστη ἔμπροσθεν, καὶ τοῦτ' ἀπειράκις ἢ οὕτως [s] εἶχεν ἢ δυνατὸν [t] ἦν. Εἰ δὲ τοῦτ', οὐκ ἂν εἴη ἄφθαρτος, οὔτ' εἰ ἄλλως [v] εἶχέ ποτε οὔτ' εἰ δυνατὸν ἄλλως ἔχειν. [w] Ἦν δέ τινες βοήθειαν [x] ἐπιχειροῦσι φέρειν ἑαυτοῖς τῶν λεγόντων ἄφθαρτον μὲν εἶναι γενόμενον δέ, οὐκ ἔστιν [y] ἀληθής· ὁμοίως γάρ φασι τοῖς τὰ διαγράμματα γράφουσι καὶ σφᾶς εἰρηκέναι περὶ τῆς γενέσεως, οὐχ ὡς γενομένου ποτέ, ἀλλὰ διδασκαλίας χάριν ὡς μᾶλλον γνωριζόντων, ὥσπερ τὸ διάγραμμα [z] γιγνόμενον θεασαμένους. Τοῦτο δ' ἐστίν, ὥσπερ λέγομεν, οὐ τὸ αὐτό· ἐν [a] μὲν γὰρ τῇ ποιήσει τῶν διαγραμμάτων πάντων τεθέντων εἶναι ἅμα [b] τὸ αὐτὸ συμβαίνει, ἐν δὲ ταῖς τούτων ἀποδείξεσιν οὐ ταὐτόν. Ἀλλ' ἀδύνατον· τὰ γὰρ λαμβανόμενα πρότερον καὶ ὕστερον ὑπεναντία ἐστίν· ἐξ ἀτάκτων γάρ [c] ποτε τεταγμένα γενέσθαι φασίν, ἅμα δὲ [d] τὸ αὐτὸ ἄτακτον εἶναι καὶ τεταγμένον ἀδύνατον, ἀλλ' [e] ἀνάγκη γένεσιν εἶναι τὴν χωρίζουσαν καὶ χρόνον· ἐν δὲ τοῖς διαγράμμασιν οὐδὲν τῷ χρόνῳ κεχώρισται. Ὅτι μὲν οὖν [f] ἀδύνατον αὐτὸν ἅμ' ἀΐδιον εἶναι καὶ γενέσθαι, φανερόν. Τὸ δ' ἐναλλὰξ συνιστάναι καὶ διαλύειν οὐθὲν ἀλλοιότερον ποιεῖν ἐστὶν ἢ τὸ κατασκευάζειν αὐτὸν ἀΐδιον μὲν ἀλλὰ μεταβάλλοντα τὴν μορφήν, ὥσπερ εἴ τις ἐκ παιδὸς ἄνδρα γινόμενον καὶ ἐξ ἀνδρὸς παῖδα ὁτὲ μὲν φθείρεσθαι ὁτὲ δ' εἶναι οἴοιτο· δῆλον γὰρ ὅτι [g] καὶ εἰς ἄλληλα τῶν στοιχείων συνιόντων οὐχ ἡ τυχοῦσα τάξις γίγνεται καὶ σύστασις, ἀλλ' ἡ αὐτή, ἄλλως τε καὶ κατὰ τοὺς τοῦτον τὸν λόγον εἰρηκότας, οἳ τῆς διαθέσεως

[q] ἐγίγνετο L. [r] καὶ δ.] εἰ καὶ δ. H. [s] ἔσχεν F. [t] ἦν] ἂν ἦν F. [v] ἔσχε L.M. [w] ἐπιχειροῦσιν ἐπιφέρειν F.H, ἐπιφέρειν ἐπιχειροῦσιν M. [x] ἀληθές M. [y] φησι L. [z] γενόμενον H. [a] μὲν om. M. [b] ταὐτὸν H. [c] ποτε] τὰ H, om. E. [d] τὸ αὐτὸ om. E.H. [e] ἀνάγκη om. E. [f] ἅμ' αὐτὸν ἀδύνατον εἶναι ἀΐδιον H, ἀδύνατον ἅμ' ἀΐδιον αὐτὸν εἶναι F. [g] καὶ om. F.

10 ἑκατέρας αἰτιῶνται τὸ ἐναντίον. [v]Ωστ' εἰ τὸ ὅλον σῶμα συνεχὲς ὂν ὁτὲ μὲν οὕτως ὁτὲ δ' ἐκείνως διατίθεται καὶ διακεκόσμηται, ἡ δὲ τοῦ ὅλου σύστασίς ἐστι κόσμος καὶ οὐρανός, οὐκ ἂν ὁ κόσμος γίγνοιτο καὶ φθείροιτο, ἀλλ' αἱ διαθέσεις
11 αὐτοῦ. Τὸ δ' ὅλως [h]γενόμενον φθαρῆναι καὶ μὴ ἀνακάμπτειν ὄντος μὲν ἑνὸς ἀδύνατόν ἐστιν· πρὶν γὰρ γενέσθαι ἀεὶ ὑπῆρχεν ἡ [i]πρὸ αὐτοῦ σύστασις, ἣν μὴ γενομένην οὐχ οἷόν τ' εἶναί φαμεν μεταβάλλειν· ἀπείρων δ' [k]ὄντων ἐνδέχεται
12 μᾶλλον. [l]Ἀλλὰ μὴν καὶ τοῦτο πότερον ἀδύνατον ἢ δυνατόν, ἔσται δῆλον ἐκ τῶν ὕστερον· εἰσὶ γάρ τινες οἷς ἐνδέχεσθαι δοκεῖ καὶ [m]ἀγένητόν τι ὂν φθαρῆναι καὶ γενόμενον ἄφθαρτον διατελεῖν, ὥσπερ ἐν τῷ Τιμαίῳ· ἐκεῖ γάρ [n]φησι τὸν οὐρανὸν γενέσθαι μέν, [o]οὐ [p]μὴν ἀλλ' ἔσεσθαί γε [q]τὸν
[r]ἀεὶ χρόνον. Πρὸς οὓς [s]φυσικῶς μὲν περὶ [t]τοῦ οὐρανοῦ [v]μόνον εἴρηται, καθόλου [w]δὲ [x]περὶ [y]ἅπαντος σκεψαμένοις ἔσται καὶ περὶ τούτου δῆλον.

11 Πρῶτον δὲ διαιρετέον πῶς ἀγένητα [z]καὶ γενητά [a]φαμεν καὶ φθαρτὰ [b]καὶ ἄφθαρτα· πολλαχῶς γὰρ λεγομένων, [c]κἂν μηδὲν διαφέρῃ πρὸς τὸν λόγον, ἀνάγκη τὴν διάνοιαν ἀορίστως ἔχειν, ἄν τις τῷ διαιρουμένῳ πολλαχῶς ὡς ἀδιαιρέτῳ
2 χρῆται· [d]ἄδηλον γὰρ κατὰ ποίαν φύσιν [e]αὐτῷ συμβαίνει τὸ λεχθέν. Λέγεται δ' [f]ἀγένητον ἕνα [g]μὲν τρόπον ἐὰν ᾖ τι νῦν πρότερον μὴ ὂν ἄνευ γενέσεως καὶ μεταβολῆς, καθάπερ ἔνιοι τὸ ἅπτεσθαι καὶ τὸ κινεῖσθαι λέγουσιν· [h]οὐ γὰρ εἶναι γίνεσθαί φασιν ἁπτόμενον, [i]οὐδὲ κινούμενον. [v]Ενα δ' εἴ τι ἐνδεχόμενον [k]γίνεσθαι ἢ γενέσθαι μή ἐστιν· ὁμοίως γὰρ καὶ

[h] *γινόμενον* F. [i] *πρὸς αὐτοὺς* E. [k] *ὄντων κόσμων ἐνδέχεται* M, *ὄντων τῶν κόσμων ἐνδέχεται* H.L. [l] *ἀλλὰ μὴν*] *οὐ μὴν ἀλλὰ* F.H.M. [m] *ἀγέννητον* E. [n] *φησιν ὁ τίμαιος τὸν* F.M. [o] *οὐ*] *ἀλλ' οὐ* pr. F. [p] *μὴν*] *μὴν φθαρτὸν* F.M. [q] *τὸν*] *τὸν λοιπὸν* F.H.L.M. [r] *ἀεὶ* om. F. [s] *φυσικῶς—εἴρηται* om. E. [t] *τοῦ* om. H. cum corr. F. et rc. E. [v] *μόνου* margo F: pr. enim om. [w] *δὲ* om. pr. E. [x] *περὶ* om. corr. F. [y] *παντὸς ἐπισκεψαμένοις* H. [z] *καὶ γενητὰ* om. E. [a] *λέγομεν* H. [b] *καὶ ἄφθαρτα* om. E. [c] *καὶ* E. [d] *δῆλον* E. [e] *αὐτῶν* E.F.H.M. [f] *ἀγέννητον* E. [g] *μὲν τὸν τρόπον* M. [h] *οὐ*] *οὐδὲ* F. [i] *οὐδὲ*] *οὐδὲ καὶ* F. [k] *γίνεσθαι ἢ* om. E.

τοῦτο ἀγένητον, ὅτι ἐνδέχεται γενέσθαι. [v]Ενα δ' εἴ τι ὅλως 3
ἀδύνατον γενέσθαι, ὥσθ' ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μή. Τὸ δ'
ἀδύνατον λέγεται διχῶς· ἢ γὰρ [l]τῷ μὴ ἀληθὲς εἶναι εἰπεῖν
ὅτι γένοιτ' ἄν, ἢ [m]τῷ μὴ ῥᾳδίως μηδὲ ταχὺ ἢ καλῶς. Τὸν 4
αὐτὸν δὲ τρόπον [n]καὶ τὸ γενητὸν ἕνα μὲν εἰ μὴ ὂν πρότερον
ὕστερον ἔστιν, εἴτε [o]γενόμενον εἴτ' ἄνευ τοῦ γίνεσθαι, ὁτὲ
μὲν μὴ ὄν, πάλιν δ' ὄν· ἕνα δ' εἰ δυνατόν, εἴτε τῷ ἀληθεῖ διο-
ρισθέντος τοῦ δυνατοῦ εἴτε τῷ ῥᾳδίως· ἕνα δ' ἐὰν [p]ἡ γένεσις
αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, εἶτ' ἤδη ὄντος, διὰ τοῦ γί-
νεσθαι δ' ὄντος, εἴτε καὶ μήπω ὄντος, ἀλλ' ἐνδεχομένου. [q]Καὶ 5
φθαρτὸν δὲ καὶ ἄφθαρτον ὡσαύτως· εἴτε γὰρ πρότερόν τι
ὂν ὕστερον [r]ἢ μὴ ἐστιν ἢ [s]ἐνδέχεται μὴ εἶναι, φθαρτὸν εἶναί
φαμεν, [t]εἴτε φθειρόμενόν ποτε καὶ μεταβάλλον, [v]εἴτε μή.
[u]Ἔστι δ' ὅτε καὶ τὸ διὰ τοῦ φθείρεσθαι ἐνδεχόμενον μὴ εἶναι
[w]φθαρτὸν εἶναί φαμεν, καὶ ἔτι ἄλλως τὸ ῥᾳδίως φθειρόμενον,
ὃ εἴποι ἄν τις εὔφθαρτον. Καὶ περὶ τοῦ ἀφθάρτου ὁ αὐτὸς 6
λόγος· ἢ γὰρ τὸ ἄνευ φθορᾶς ὁτὲ μὲν ὂν ὁτὲ δὲ μὴ ὄν, οἷον
τὰς ἀφάς, ὅτι ἄνευ τοῦ φθείρεσθαι πρότερον οὖσαι ὕστερον
οὐκ εἰσίν, ἢ τὸ ὂν μὲν [x]δυνατὸν δὲ μὴ εἶναι, [y]ἢ οὐκ ἐσόμενόν
ποτε, νῦν δ' ὄν· σὺ γὰρ [z]εἶ, καὶ ἡ ἀφὴ νῦν· ἀλλ' ὅμως
[a]φθαρτόν, ὅτι [b]ἔσται ποτὲ [c]ὅτε οὐκ ἀληθὲς [d]σε εἰπεῖν ὅτι
εἶ, οὐδὲ [e]ταῦτα ἅπτεσθαι. Τὸ δὲ μάλιστα κυρίως, τὸ ὂν 7
μέν, ἀδύνατον δὲ φθαρῆναι οὕτως ὥστε νῦν ὂν ὕστερον μὴ
εἶναι ἢ [f]ἐνδέχεσθαι μὴ εἶναι, ἢ καὶ τὸ μήπω ἐφθαρμένον, [g]ὂν
[h]δέ, ἐνδεχόμενον δ' ὕστερον μὴ εἶναι. Λέγεται δ' ἄφθαρτον
καὶ τὸ μὴ ῥᾳδίως φθειρόμενον. Εἰ [i]δὴ ταῦθ' οὕτως ἔχει, 8
σκεπτέον πῶς λέγομεν τὸ δυνατὸν [k]καὶ ἀδύνατον· τό τε

[l] τῷ] τὸ F.M. [m] τῷ] τὸ F. [n] καὶ τὸ] κατὰ E. [o] γιγνόμενον E.L.M. [p] ἡ] ἢ ἡ H. [q] καὶ ante φθ. om. E. [r] ἢ post ὕστ. om. L. [s] μὴ εἶναι ἐνδέχεται E.L. [t] εἴτε—εἶναί φαμεν om. M. [v] εἴτε μή corr. E. [w] φαμεν εἶναι φθαρτόν H. [x] ἀδύνατον δὲ L, καὶ δυνατὸν δὲ E, καὶ δυνατὸν H. [y] ἢ καὶ οὐκ L. [z] εἶ νῦν καὶ F. [a] φθαρτοὶ M. [b] ἔστιν E.L. [c] ὅτι L.M, om. E. [d] σε om. H. et corr. E. [e] ταύτην M. [f] ἐνδέχεσθαι—ἢ καὶ om. H. [g] ὂν om. E. [h] δέ om. F.H.L.M. [i] δὲ E.L. [k] καὶ τὸ ἀδ. F.H.

γὰρ κυριώτατα λεγόμενον ἄφθαρτον [l]τῷ μὴ δύνασθαι [m]φθαρῆναι ἄν, μηδ' ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μή· [n]λέγεται δὲ καὶ τὸ ἀγένητον τὸ ἀδύνατον, καὶ [o]τὸ μὴ δυνάμενον γενέσθαι οὕτως [p]ὥστε πρότερον μὲν μὴ εἶναι ὕστερον δὲ εἶναι, οἷον [q]τὴν διά-
9 μετρον σύμμετρον. Εἰ δή τι δύναται κινηθῆναι στάδια ἑκατὸν ἢ ἆραι βάρος, ἀεὶ πρὸς τὸ πλεῖστον λέγομεν, οἷον τάλαντα ἆραι ἑκατὸν ἢ στάδια βαδίσαι ἑκατόν (καίτοι καὶ τὰ μόρια δύναται τὰ ἐντός, εἴπερ καὶ τὴν ὑπεροχήν), ὡς δέον ὁρίζεσθαι πρὸς τὸ τέλος καὶ [r]τὴν ὑπεροχὴν τὴν δύναμιν.
10 [t]Ἀνάγκη μὲν οὖν τὸ δυνατὸν καθ' ὑπεροχὴν τοσαδὶ καὶ τὰ ἐντὸς δύνασθαι, οἷον εἰ τάλαντα [s]ἑκατὸν ἆραι, καὶ δύο, [t]κἂν εἰ στάδια ἑκατόν, καὶ δύο δύνασθαι βαδίσαι. [t]Ἡ δὲ δύναμις τῆς ὑπεροχῆς ἐστίν· κἂν εἴ τι ἀδύνατον τοσονδὶ καθ' ὑπερβολὴν εἰπόντων, καὶ τὰ πλείω ἀδύνατον, οἷον ὁ χίλια [v]βαδί-
11 σαι στάδια μὴ δυνάμενος δῆλον ὅτι καὶ χίλια καὶ ἕν. Μηθὲν δ' [w]ἡμᾶς παρενοχλείτω· διωρίσθω γὰρ κατὰ τῆς ὑπεροχῆς τὸ τέλος λεγόμενον τὸ κυρίως δυνατόν. Τάχα γὰρ [x]ἐνσταίη τις ἂν ὡς οὐκ ἀνάγκη τὸ λεχθέν· ὁ γὰρ ὁρῶν στάδιον [y]οὐ καὶ τὰ ἐντὸς ὄψεται μεγέθη, [z]ἀλλὰ τοὐναντίον μᾶλλον ὁ δυνάμενος [a]ἰδεῖν στιγμὴν ἢ ἀκοῦσαι [b]μικροῦ ψόφου καὶ τῶν
12 μειζόνων ἕξει αἴσθησιν. [t]Ἀλλ' οὐθὲν διαφέρει πρὸς τὸν λόγον· διωρίσθω γὰρ ἤτοι ἐπὶ τῆς δυνάμεως ἢ ἐπὶ [c]τοῦ πράγματος ἡ ὑπερβολή. Τὸ γὰρ λεγόμενον δῆλον· ἡ μὲν γὰρ ὄψις ἡ τοῦ [d]ἐλάττονος [e]ὑπερέχει, ἡ δὲ ταχυτὴς ἡ τοῦ πλείονος.

12 Διωρισμένων δὲ τούτων λεκτέον [f]τὸ ἐφεξῆς. Εἰ δή ἐστιν ἔνια δυνατὰ [g]καὶ εἶναι καὶ μή, ἀνάγκη [h]χρόνον τινὰ ὡρίσθαι

[l] τῷ] τὸ M. [m] ἂν φθαρῆναι F.H.M. [n] λέγεται δὲ] λέγεται δὴ F.M. [o] τὸ ante μὴ om. E.F.M. [p] ὥσπερ E, ὡς M. [q] τὴν om. M. [r] τὴν ὑποχὴν E, τῆς ὑπεροχῆς L. [s] ἆραι ἑκατὸν H. [t] κἂν] καὶ H.M. [v] στάδια βαδίσαι H. [w] ἡμᾶς] ἡμᾶς τὸ τελευταῖον ὧν δύναται margo L. [x] ἂν ἐνσταίη τις L. [y] οὐ καὶ] οὐκ ἂν E.L, καὶ M. [z] ἀλλὰ] ἀλλὰ καὶ H. [a] ἰδεῖν ἢ στιγμὴν ἢ M. [b] σμικροῦ H. [c] τοῦ om. E. [d] ἐλάσσονος F. [e] ὑπερέχει—πλείονος om pr. E. [f] τὸ om. M. [g] καὶ ante εἶναι om. M. [h] τινὰ χρόνον F.H.M.

τὸν πλεῖστον καὶ τοῦ εἶναι καὶ τοῦ μή, λέγω δ' [i] ὃν δυνατὸν τὸ πρᾶγμα εἶναι καὶ [i] ὃν δυνατὸν μὴ εἶναι [k] καθ' ὁποιανοῦν κατηγορίαν, οἷον ἄνθρωπον ἢ λευκὸν ἢ τρίπηχυ ἢ [l] ἄλλ' ὁτιοῦν τῶν τοιούτων. Εἰ γὰρ μὴ ἔσται ποσός τις, ἀλλ' ἀεὶ πλείων τοῦ προτεθέντος καὶ [m] οὐκ ἔστιν οὗ ἐλάττων, ἄπειρον ἔσται χρόνον [n] τὸ αὐτὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι ἄλλον ἄπειρον. [t] Ἀλλὰ τοῦτ' ἀδύνατον. [t] Ἀρχὴ δ' ἔστω ἐντεῦθεν· 2 τὸ γὰρ ἀδύνατον καὶ τὸ ψεῦδος οὐ [o] ταὐτὸ σημαίνει. [u] Ἔστι δὲ τὸ ἀδύνατον καὶ [p] τὸ δυνατὸν καὶ τὸ ψεῦδος καὶ τὸ ἀληθὲς τὸ μὲν ἐξ ὑποθέσεως (λέγω δ', [q] οἷον τὸ τρίγωνον [r] ἀδύνατον δύο ὀρθὰς ἔχειν, εἰ τάδε, καὶ ἡ διάμετρος [s] σύμμετρος, [t] εἰ τάδε), ἔστι δ' ἁπλῶς καὶ δυνατὰ καὶ ἀδύνατα καὶ ψευδῆ καὶ ἀληθῆ. Οὐ δὴ [v] ταὐτόν ἐστι ψεῦδός [w] τέ [x] τι εἶναι ἁπλῶς 3 καὶ ἀδύνατον [y] ἁπλῶς· τὸ γάρ σε μὴ ἑστῶτα φάναι ἑστάναι ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. [z] Ὁμοίως δὲ [a] καὶ τὸ τὸν κιθαρίζοντα [b] μὲν μὴ ᾄδοντα δὲ ᾄδειν φάναι ψεῦδος, ἀλλ' οὐκ ἀδύνατον. Τὸ δ' ἅμα ἑστάναι καὶ καθῆσθαι, καὶ τὴν διάμετρον [c] σύμμετρον [d] εἶναι, οὐ μόνον ψεῦδος ἀλλὰ καὶ ἀδύνατον. [e] Οὐ δὴ ταὐτόν [f] ἐστιν ὑποθέσθαι ψεῦδος καὶ 4 ἀδύνατον. Συμβαίνει [g] δ' ἀδύνατον ἐξ ἀδυνάτου. Τοῦ μὲν οὖν [h] καθῆσθαι καὶ ἑστάναι ἅμα ἔχει τὴν δύναμιν, ὅτι [i] ὅτε ἔχει [k] ἐκείνην, καὶ τὴν ἑτέραν· ἀλλ' οὐχ ὥστε ἅμα καθῆσθαι καὶ ἑστάναι, ἀλλ' ἐν ἄλλῳ χρόνῳ. Εἰ [l] δή τι ἄπειρον [m] χρόνον ἔχει πλειόνων δύναμιν, οὐκ ἔστιν ἐν ἄλλῳ χρόνῳ, ἀλλὰ τοῦθ' ἅμα. [v] Ὥστ' εἴ τι ἄπειρον χρόνον [n] ὂν φθαρτόν 5 ἐστι, δύναμιν [o] ἔχοι ἂν τοῦ μὴ εἶναι. Εἰ δὴ ἄπειρον χρόνον

[i] ὃν F. [k] καθ' om. pr. E. [l] ἄλλο τι ὁτιοῦν F. [m] οὗ οὐκ ἔστιν F. [n] τὸ αὐτὸ om. E.H, in margine ponit F. [o] ταυτὸν M. [p] τὸ om. E. ter. [q] οἷον καὶ τὸ E.M. [r] ἀδύνατον om. E. [s] σύμμετρος om. E. [t] εἰ τάδε om. E.F.H.M. [v] ταυτό E.L. [w] τέ om. H. [x] τι om. F. [y] ἁπλῶς om. E. [z] ὁμοίως δὲ om. F.H. [a] καὶ τὸ om. E.L. [b] μὲν om. E.H.L. [c] σύμμετρον om. E. [d] εἶναι om. E.H. [e] οὐ δὴ—ἀδύνατον om. pr. F. [f] ἐστιν om. H. [g] δὴ H. [h] ἑστάναι καὶ καθῆσθαι H. [i] ὅτε om. H. [k] κείνην E. [l] δέ F.H.M. [m] χρόνων ἔχει M, ἔχει χρόνον F. [n] ὂν om. E. [o] ἔχει (supra posito οι) F.

p ἐστίν, q ἔστω ὑπάρχον ὃ δύναται r μὴ εἶναι. v Ἅμα ἄρ' ἔσται τε καὶ οὐκ ἔσται κατ' ἐνέργειαν. Ψεῦδος μὲν οὖν συμβαίνοι ἄν, s ὅτι ψεῦδος ἐτέθη. t Ἀλλ' εἰ μὴ ἀδύνατον ἦν,
6 v οὐκ ἂν καὶ ἀδύνατον ἦν τὸ συμβαῖνον. v Ἅπαν ἄρα τὸ ἀεὶ ὂν ἁπλῶς ἄφθαρτον. t Ὁμοίως δὲ καὶ ἀγένητον· w εἰ γὰρ γενητόν, ἔσται δυνατὸν χρόνον τινὰ μὴ εἶναι. Φθαρτὸν μὲν γάρ ἐστι τὸ πρότερον μὲν ὄν, νῦν δὲ μὴ ὂν ἢ ἐνδεχόμενόν ποτε ὕστερον μὴ εἶναι· γενητὸν δὲ ὃ ἐνδέχεται πρότερον μὴ εἶναι, ἀλλ' οὐκ ἔστιν ἐν ᾧ χρόνῳ δυνατὸν τὸ ἀεὶ ὄν. v Ὥστε μὴ εἶναι οὔτ' ἄπειρον οὔτε πεπερασμένον· καὶ γὰρ τὸν πεπε-
7 ρασμένον χρόνον δύναται εἶναι, εἴπερ καὶ τὸν ἄπειρον. Οὐκ ἄρα ἐνδέχεται τὸ αὐτὸ καὶ ἓν ἀεί τε δύνασθαι εἶναι x καὶ μὴ εἶναι. t Ἀλλὰ μὴν οὐδὲ τὴν ἀπόφασιν, οἷον λέγω μὴ ἀεὶ εἶναι. t Ἀδύνατον ἄρα καὶ ἀεὶ μέν τι εἶναι, φθαρτὸν δ' εἶναι. t Ὁμοίως δ' οὐδὲ γενητόν. Δυοῖν γὰρ ὅροιν εἰ ἀδύνατον τὸ ὕστερον ἄνευ τοῦ προτέρου y ὑπάρξαι, z ἐκεῖνο δ' ἀδύνατον a ὑπάρξαι, καὶ τὸ ὕστερον. v Ὥστ' εἰ τὸ ἀεὶ ὂν μὴ ἐνδέχεταί
8 ποτε μὴ εἶναι, ἀδύνατον καὶ γενητὸν εἶναι. t Ἐπεὶ δ' b ἡ ἀπόφασις τοῦ μὲν ἀεὶ δυναμένου εἶναι τὸ c μὴ d ἀεὶ δυνάμενον εἶναι, e τὸ δ' ἀεὶ f δυνάμενον μὴ εἶναι g ἐναντίον, οὗ ἀπόφασις τὸ μὴ ἀεὶ h δυνάμενον μὴ εἶναι, ἀνάγκη τὰς ἀποφάσεις ἀμφοῖν τῷ αὐτῷ ὑπάρχειν, καὶ εἶναι μέσον τοῦ ἀεὶ ὄντος καὶ i τοῦ ἀεὶ μὴ ὄντος τὸ δυνάμενον εἶναι καὶ μὴ εἶναι· ἡ γὰρ
9 ἑκατέρου ἀπόφασίς ποτε ὑπάρξει, εἰ μὴ k εἴη l ἀεί. m v Ὥστε καὶ τὸ μὴ ἀεὶ μὴ ὂν ἔσται ποτὲ καὶ οὐκ ἔσται, καὶ τὸ μὴ ἀεὶ δυνάμενον εἶναι δηλονότι, ἀλλά ποτε n ὄν· ὥστε καὶ μὴ εἶναι. Τὸ αὐτὸ ἄρ' o ἔσται δυνατὸν εἶναι καὶ μή, καὶ τοῦτ' ἔστιν

p ἐστίν om. E.H. q ἔσται E. r μὴ εἶναι om. E.L. s ὅτι] τι E. t ἦν om. H. v οὐκ—ἦν om. E. w εἰ γὰρ γενητόν om. E. x καὶ ἀεὶ μὴ F. y ὑπάρξειν M. z ἐκεῖνο δ'] εἰ ἐκεῖνο F. a ὑπάρχειν F.H.M. et corr. E. b ἡ om. E. c μηδ' M. d ἀεὶ—τὸ δ' om. E. e τοῦ H. f δυνατὸν E.H.L.M. g ἐναντίου, omisso οὗ, H. ἐναντίον—εἶναι in litura E. h δυνατὸν L. et rc. E. i τοῦ om. E. k εἴη om. H, post ἀεὶ ponunt F.L. l ἀεί. ὥστε καὶ τὸ μὴ om. E. m ὥστε καὶ] ὥστ' εἰ F.H.M. n ὄν om. E. o ἔσται τὸ δ. E.L.M.

ἀμφοῖν μέσον. Λόγος δὲ καθόλου ὅδε. Ἔστω [p] γὰρ τὸ Α καὶ τὸ Β μηδενὶ τῷ αὐτῷ δυνάμενα ὑπάρχειν, [q] ἅπαντι δὲ τὸ Α ἢ τὸ Γ καὶ τὸ Β ἢ [r] τὸ Δ. Ἀνάγκη δὴ ᾧ μήτε τὸ Α ὑπάρχει μήτε τὸ Β, παντὶ ὑπάρχειν [s] τὰ Γ Δ. Ἔστω [t] δὴ τὸ Ε τὸ μεταξὺ τῶν Α Β· ἐναντίων γὰρ τὸ μηθέτερον μέσον. Τούτῳ δὴ ἀνάγκη ἄμφω ὑπάρχειν τό τε Γ καὶ τὸ Δ. Παντὶ γὰρ ἢ τὸ [v] Α ἢ τὸ Γ, ὥστε καὶ τῷ Ε· ἐπεὶ οὖν τὸ Α ἀδύνατον, τὸ Γ ὑπάρξει. [t] Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ Δ. Οὔτε δὴ τὸ ἀεὶ ὂν γενητὸν [w] οὐδὲ φθαρτόν, [x] οὔτε τὸ ἀεὶ μὴ ὄν. Δῆλον [y] δ' ὅτι καὶ εἰ γενητὸν ἢ φθαρτόν, οὐκ ἀΐδιον. [v] Ἅμα γὰρ ἔσται δυνάμενον ἀεὶ εἶναι [z] καὶ δυνάμενον μὴ ἀεὶ εἶναι· τοῦτο δ' ὅτι ἀδύνατον, δέδεικται πρότερον. [s] Ἆρ' οὖν εἰ καὶ [a] ἀγένητον, ὂν δέ, τοῦτ' ἀνάγκη ἀΐδιον εἶναι; [t] Ὁμοίως δὲ καὶ εἰ ἄφθαρτον, ὄν δέ. Λέγω δὲ τὸ ἀγένητον [b] καὶ ἄφθαρτον τὰ κυρίως λεγόμενα, ἀγένητον μὲν [c] ὃ ἔστι νῦν, καὶ πρότερον οὐκ ἀληθὲς ἦν εἰπεῖν τὸ μὴ εἶναι, ἄφθαρτον δὲ ὃ νῦν ὂν ὕστερον μὴ ἀληθὲς ἔσται εἰπεῖν μὴ εἶναι. [u] Ἡ [d] εἰ μὲν ταῦτα ἀλλήλοις [e] ἀκολουθεῖ καὶ τό τε ἀγένητον ἄφθαρτον καὶ τὸ ἄφθαρτον ἀγένητον, ἀνάγκη καὶ τὸ ἀΐδιον ἑκατέρῳ ἀκολουθεῖν, καὶ εἴτε [f] τι [g] ἀγένητον, ἀΐδιον, [h] εἴτε [i] τι ἄφθαρτον, [k] ἀΐδιον. Δῆλον δὲ [l] καὶ ἐκ τοῦ ὁρισμοῦ αὐτῶν· καὶ [m] γὰρ ἀνάγκη, εἰ φθαρτόν, γενητόν. [n] Ἡ γὰρ [n] ἀγένητον [o] ἢ γενητόν· εἰ [p] δὲ ἀγένητον, ἄφθαρτον ὑπόκειται. Καὶ εἰ γενητὸν [q] δή, φθαρτὸν ἀνάγκη· [r] ἢ γὰρ φθαρτὸν ἢ ἄφθαρτον· ἀλλ' εἰ ἄφθαρτον, ἀγένητον ὑπέκειτο. Εἰ δὲ μὴ ἀκολουθοῦσιν ἀλλήλοις τὸ ἄφθαρτον καὶ [s] τὸ [t] ἀγένητον, οὐκ ἀνάγκη οὔτε τὸ ἀγένητον οὔτε τὸ

[p] γὰρ α καὶ β E. [q] παντὶ F. [r] τὸ ante Δ om M. [s] τὰ] τὸ F.M. [t] δὲ F. [v] γ ἢ τὸ α E.L. [w] οὐδὲ φθαρτόν—γενητὸν om. pr. F. [x] οὐδὲ F.L. [y] δ' om. L. [z] καὶ—εἶναι om. pr. E. [a] ἀγέννητον E. [b] καὶ τὸ ἄφθαρτον M. [c] ὃ δή ἐστι F. [d] εἰ om. E. [e] ἀκολουθοῦσι E.H.L. [f] τι om. E.F.L.M. [g] ἀΐδιον ἀγένητον F. [h] εἴτε] καὶ εἴτε M. [i] τι om. E.H.L.M. [k] ἀΐδιον om. E. [l] καὶ om. H. [m] γὰρ post καὶ om. pr. E. [n] ἀγέννητον E. [o] ἢ—ἀγένητον om. pr. E. [p] δὲ] γὰρ L. et rc. E. [q] δέ H.L. [r] ἢ γὰρ φθ. ἢ ἄφθαρτον om. pr. E. [s] τὸ post καὶ om. E.H.L. [t] ἀγέννητον L.

ἄφθαρτον ἀΐδιον εἶναι. [u]Οτι δ' ἀνάγκη ἀκολουθεῖν, ἐκ τῶνδε φανερόν. Τὸ γὰρ γενητὸν καὶ [v]τὸ φθαρτὸν ἀκολουθοῦσιν
14 ἀλλήλοις. Δῆλον δὲ καὶ τοῦτο ἐκ τῶν πρότερον· τοῦ γὰρ ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος ἐστὶ μεταξὺ ᾧ μηθέτερον ἀκολουθεῖ, τοῦτο δ' ἐστὶ τὸ [w]γενητὸν καὶ φθαρτόν. Δυνατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ὡρισμένον χρόνον ἑκάτερον· λέγω δ' ἑκάτερον [x]καὶ εἶναι ποσόν τινα χρόνον καὶ μὴ εἶναι. Εἰ τοίνυν [y]ἐστί τι γενητὸν [z]ἢ φθαρτόν, ἀνάγκη τοῦτο
15 μεταξὺ εἶναι. [u]Εστω γὰρ τὸ [a]Α τὸ ἀεὶ ὄν, τὸ δὲ Β τὸ ἀεὶ μὴ ὄν, τὸ δὲ Γ γενητόν, τὸ δὲ Δ φθαρτόν. [t]Ανάγκη δὴ τὸ Γ μεταξὺ εἶναι [b]τοῦ Α καὶ τοῦ Β. Τῶν μὲν γὰρ οὐκ ἔστι χρόνος ἐπ' οὐδέτερον τὸ πέρας ἐν ᾧ [c]ἢ τὸ Α οὐκ ἦν ἢ τὸ Β ἦν· τῷ δὲ γενητῷ ἀνάγκη [d]ἢ ἐνεργείᾳ [e]εἶναι ἢ δυνάμει, τοῖς δὲ Α Β οὐδετέρως. Ποσὸν ἄρα τινὰ καὶ ὡρισμένον χρόνον
16 καὶ ἔσται καὶ πάλιν οὐκ ἔσται [f]τὸ Γ. [t]Ομοίως δὲ καὶ ἐπὶ τοῦ Δ [g]φθαρτοῦ. Γενητὸν ἄρα καὶ φθαρτὸν ἑκάτερον. [t]Ακολουθοῦσιν ἄρα [h]ἀλλήλοις τὸ γενητὸν καὶ [i]τὸ φθαρτόν. [u]Εστω δὴ τὸ ἐφ' ᾧ Ε ἀγένητον, τὸ δ' ἐφ' ᾧ Ζ γενητόν, τὸ δ' ἐφ' ᾧ Η ἄφθαρτον, τὸ δ' ἐφ' ᾧ Θ φθαρτόν. [k]Τὰ [l]δὴ
17 Ζ Θ δέδεικται ὅτι [m]ἀκολουθεῖ ἀλλήλοις. [u]Οταν [n]δ' ᾖ οὕτω κείμενα ὡς ταῦτα, οἷον [o]τὸ μὲν Ζ καὶ [p]τὸ Θ ἀκολουθοῦντα, [q]τὸ δὲ Ε καὶ τὸ Ζ μηθενὶ τῷ αὐτῷ, [r]ἅπαντι δὲ θάτερον, ὁμοίως δὲ καὶ τὰ Η Θ, ἀνάγκη [s]καὶ [t]τὰ [v]Ε Η ἀκολουθεῖν ἀλλήλοις. [w] [u]Εστω γὰρ τῷ Η τὸ Ε μὴ ἀκολουθοῦν. [x]Τὸ ἄρα Ζ ἀκολουθήσει· παντὶ γὰρ τὸ Ε ἢ τὸ Ζ. [t]Αλλὰ μὴν ᾧ τὸ Ζ, καὶ τὸ Θ. Τῷ ἄρα Η τὸ Θ [y]ἀκολουθήσει. [t]Αλλ'

[v] τὸ om. E.H.M. [w] γεννητὸν L. [x] καὶ om. L. [y] ἔστιν ἢ γενητόν τι M. [z] ἤ τι φθ. E. [a] Α—Β τὸ om. E. [b] τοῦ α καὶ β F.H, τῶν α β M. [c] ἢ om. E.F.L. [d] ἢ post ἀνάγκη om. E. [e] εἶναι om. E, post δυνάμει ponit L. [f] τὸ Γ om. E.L. [g] φθαρτοῦ om. E.L. [h] ἀλλήλοις post φθαρτόν M. [i] τὸ post καὶ om. F.H. [k] τὰ] τὸ M. [l] δὲ L. [m] ἀκολουθοῦσιν M. [n] δ' ᾖ] δὴ F.L. [o] τὸ μὲν] τὰ μὲν H.L. [p] τὸ Θ] τὰ θ H.L, θ F.M. [q] τὸ δὲ Ε καὶ τὸ] τὰ δὲ, ε καὶ τὰ H.L. [r] ἅπαντα δὲ θάτερα M. [s] καὶ post ἀνάγκη om. L. [t] τὸ pr. F. [v] η ε E. [w] ἔστι M. [x] τὸ ζ ἄρα ἀκολουθεῖ E. [y] ἀκολουθεῖ M.

ὑπέκειτο ἀδύνατον εἶναι. [r]Ο δ' αὐτὸς λόγος καὶ ὅτι τὸ Η 18
τῷ Ε. [s]Ἀλλὰ μὴν οὕτως ἔχει τὸ ἀγένητον, ἐφ' [z]ᾧ Ε, πρὸς
τὸ γενητόν, ἐφ' [a]ᾧ Ζ, καὶ τὸ ἄφθαρτον, ἐφ' [b]ᾧ Η, πρὸς
τὸ [c]φθαρτόν, ἐφ' [b]ᾧ Θ. Τὸ [d]δὴ φάναι μηδὲν κωλύειν γινό-
μενόν τι ἄφθαρτον εἶναι καὶ ἀγένητον ὂν φθαρῆναι, ἅπαξ
ὑπαρχούσης τῷ μὲν τῆς γενέσεως τῷ δὲ τῆς φθορᾶς, ἀναι-
ρεῖν ἐστὶ τῶν δεδομένων τι. [t]Η γὰρ ἄπειρον ἢ ποσόν τινα 19
ὡρισμένον χρόνον [e]δύναται ἅπαντα ἢ ποιεῖν ἢ πάσχειν, ἢ
εἶναι ἢ μὴ εἶναι, καὶ τὸν ἄπειρον διὰ τοῦτο, ὅτι ὥρισταί πως
ὁ ἄπειρος [f]χρόνος, οὗ οὐκ ἔστι πλείων. Τὸ δὲ πῇ ἄπειρον
[g]οὔτ' ἄπειρον οὔθ' ὡρισμένον. [u]Ετι τί μᾶλλον ἐπὶ τῷδε
τῷ σημείῳ ἀεὶ ὂν πρότερον [h]ἐφθάρη ἢ μὴ ὂν ἄπειρον ἐγέ-
νετο; Εἰ γὰρ μηθὲν μᾶλλον, ἄπειρα δὲ τὰ σημεῖα, δῆλον 20
ὅτι ἄπειρον χρόνον ἦν τι γενητὸν καὶ φθαρτόν. Δύναται
ἄρα μὴ εἶναι [i]τὸν ἄπειρον χρόνον· ἅμα [k]γὰρ ἔξει δύναμιν
τοῦ μὴ εἶναι καὶ εἶναι, τὸ μὲν πρότερον, εἰ φθαρτόν, τὸ δ'
ὕστερον, εἰ γενητόν. [v]Ωστ' ἐὰν ὑπάρχειν θῶμεν [l]ἀδύνατα,
τὰ ἀντικείμενα ἅμα [m]ὑπάρχει. [w]Ετι δὲ καὶ τοῦθ' ὁμοίως ἐν 21
ἅπαντι σημείῳ ὑπάρξει, ὥστ' ἄπειρον χρόνον τοῦ μὴ εἶναι
καὶ τοῦ εἶναι ἕξει δύναμιν· ἀλλὰ δέδεικται ὅτι ἀδύνατον
[n]τοῦτο. [x]Ετι [o]εἰ πρότερον ἡ δύναμις ὑπάρχει τῆς ἐνερ-
γείας, ἅπανθ' [p]ὑπάρξει τὸν χρόνον, καὶ [q]ὂν ἀγένητον ἦν,
καὶ μὴ ὂν τὸν ἄπειρον χρόνον, γίγνεσθαι [r]δὲ δυνάμενον.
[y]Αμα [s]δὴ οὐκ ἦν καὶ τοῦ εἶναι δύναμιν εἶχε, καὶ τοῦ τότε 22
[t]μὴ εἶναι καὶ ὕστερον ἄπειρον ἄρα χρόνον. Φανερὸν δὲ καὶ
ἄλλως ὅτι ἀδύνατον φθαρτὸν ὂν μὴ φθαρῆναί ποτε· [v]ἀεὶ
γὰρ [w]ἔσται ἅμα καὶ φθαρτὸν [x]καὶ ἄφθαρτον ἐντελεχείᾳ,

[z] ᾧ τὸ ε L. [a] ᾧ τὸ ζ F.H.L. [b] ᾧ—ᾧ] οὗ—οὗ E.L. [c] ἄφθαρτον L. [d] δὲ F.H.M. [e] δύνανται F, οὐ δύναται E. [f] χρόνος om. E.M. [g] οὔτ' ἄπειρον om. pr. E. [h] ἔφθαρται M. [i] τὸν om. E.L. [k] γὰρ] ἄρα E.L. [l] ἃ δύναται F.M, ἃ δύνανται E.L. [m] ὑπάρχει, supra posito ξ, H. [n] τοῦτο om. H. [o] εἰ] εἴπερ F.H.M. [p] ὑπάρχει L. [q] ὂν H.L.M. [r] δὲ om. E.H.M. [s] δὴ] δὲ E.L.M. [t] μὴ om. E.F.L.M. [v] ἀεὶ καὶ γὰρ M. [w] ἔσται τε ἅμα F. [x] καὶ ἄφθαρτον om. pr. E.

ὥστε ἅμα ἔσται δυνατὸν ἀεί τε εἶναι καὶ μὴ ἀεί. Φθείρεται ἄρα ποτὲ τὸ [y] φθαρτόν, καὶ εἰ γενητόν, [z] γέγονεν· δυνατὸν
23 γὰρ [a] γεγονέναι, καὶ μὴ ἀεὶ [b] ἄρα εἶναι. [d]Εστι δὲ καὶ [c] ὧδε θεωρῆσαι ὅτι ἀδύνατον ἢ γενόμενόν ποτε ἄφθαρτόν [d] τι διατελεῖν, ἢ ἀγένητον ὂν καὶ ἀεὶ πρότερον ὂν φθαρῆναι. Οὐδὲν γὰρ ἀπὸ τοῦ αὐτομάτου οὔτ' ἄφθαρτον οὔτ' ἀγένητον οἷόν τ' εἶναι. Τὸ μὲν γὰρ αὐτόματόν [e] ἐστι καὶ τὸ ἀπὸ τύχης παρὰ τὸ ἀεὶ καὶ [f] τὸ ὡς ἐπὶ [g] τὸ πολὺ ἢ ὂν ἢ [h] γινόμενον· τὸ δ' ἄπειρον χρόνον ἢ ἁπλῶς ἢ ἀπό τινος [i] χρόνου ἢ ἀεὶ ἢ
24 ὡς ἐπὶ τὸ πολὺ ὑπάρχει ὄν. [d]Ανάγκη τοίνυν φύσει τὰ τοιαῦτα ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μή. Τῶν δὲ τοιούτων ἡ αὐτὴ δύναμις τῆς ἀντιφάσεως, καὶ ἡ ὕλη [k] αἰτία τοῦ εἶναι καὶ μή. [v]Ωστ' ἀνάγκη [l] ἅμα ὑπάρχειν ἐνεργείᾳ [m] ἀντικείμενα. [d]Αλλὰ μὴν οὐδέν γ' ἀληθὲς εἰπεῖν νῦν [n] ὅτι ἐστὶ [o] πέρυσιν, οὐδὲ
25 [o] πέρυσιν ὅτι νῦν ἐστίν. [d]Αδύνατον ἄρα μὴ ὄν ποτε ὕστερον ἀΐδιον εἶναι· ἕξει γὰρ ὕστερον [p] καὶ τὴν τοῦ μὴ εἶναι δύναμιν. Πλὴν [q] οὐ τοῦ τότε μὴ εἶναι [r] ὅτε ἔστιν (ὑπάρχει γὰρ ἐνεργείᾳ ὄν), [s] ἀλλὰ τοῦ [o] πέρυσιν καὶ ἐν τῷ παρελθόντι χρόνῳ. [d]Εστω δὴ οὗ ἔχει τὴν δύναμιν ὑπάρχον [t] ἐνεργείᾳ·
26 [v] ἔσται [w] ἄρα ἀληθὲς εἰπεῖν νῦν ὅτι οὐκ ἔστι [o] πέρυσιν. [d]Αλλ' ἀδύνατον· οὐδεμία γὰρ δύναμις τοῦ γεγονέναι ἐστίν, ἀλλὰ τοῦ εἶναι ἢ ἔσεσθαι. [d]Ομοίως δὲ [x] καὶ εἰ πρότερον ὂν ἀΐδιον ὕστερον μή [y] ἐστιν· ἕξει γὰρ δύναμιν οὗ ἐνεργείᾳ οὐκ ἔστιν.
[z] [v]Ωστ' [a] ἂν θῶμεν τὸ δυνατόν, ἀληθὲς ἔσται εἰπεῖν νῦν ὅτι
27 τοῦτ' ἔστι [b] πέρυσιν καὶ ὅλως ἐν τῷ παρελθόντι χρόνῳ. Καὶ φυσικῶς δὲ καὶ μὴ καθόλου σκοποῦσιν ἀδύνατον ἢ ἀΐδιον ὂν πρότερον [c] φθαρῆναι ὕστερον, ἢ πρότερον μὴ ὂν ὕστερον

[y] ἄφθαρτον F.M. [z] γε γονέναι E. [a] γεγονέναι om. E. [b] ἄρα om. F.H.M. [c] οὕτω H. [d] τι om. E. [e] ἐστι] εἶναι F. [f] τὸ ante ὡς om. E. [g] τὸ om. E. [h] γενόμενον L. [i] χρόνου om. E.F.H.L. [k] αἰτία ante ἡ F.M, om. pr. E. [l] ἅμα] καὶ ἅμα E.H.L. [m] τὰ ἀντι-κείμενα F.HM. [n] ὁτι οὐκ ἔστι H. [o] πέρισυ F. [p] καὶ om. E.H. [q] οὐ τὴν τοῦ H.M. et margo F. [r] ὅτε ἔστιν om. E.L. [s] ἀλλ' ἐν τῷ π. καὶ ἐν τῷ παρελυθότι L. [t] ἐνέργειαν M. [v] ἔστιν H. [w] ἄρα et οὐκ om. E. [x] εἰ καὶ F. [y] ἐστιν] ἔσται L. [z] ὡς L. [a] ἐὰν M. [b] πέρισυν F. [c] ὕστερον φθαρῆναι H.

ἀΐδιον εἶναι. Τὰ γὰρ [d] φθαρτὰ καὶ γενητὰ καὶ ἀλλοιωτὰ πάντα· ἀλλοιοῦται [e] δὲ τοῖς ἐναντίοις καὶ ἐξ ὧν [f] συνίσταται τὰ φύσει ὄντα, [g] καὶ ὑπὸ τῶν αὐτῶν τούτων φθείρεται.

B.

[v]Οτι μὲν [h] οὖν οὔτε γέγονεν ὁ πᾶς οὐρανὸς οὔτ' ἐνδέχεται 1
φθαρῆναι, καθάπερ [i] τινές φασιν [k] αὐτόν, ἀλλ' [l] ἔστιν εἷς καὶ ἀΐδιος, ἀρχὴν μὲν καὶ τελευτὴν οὐκ ἔχων τοῦ παντὸς αἰῶνος, ἔχων δὲ καὶ περιέχων ἐν [m] αὐτῷ τὸν ἄπειρον χρόνον, ἔκ τε τῶν εἰρημένων ἔξεστι [n] λαβεῖν τὴν πίστιν, καὶ διὰ τῆς δόξης [o] τῆς παρὰ τῶν [p] ἄλλως λεγόντων καὶ γεννώντων αὐτόν· εἰ γὰρ οὕτως μὲν ἔχειν ἐνδέχεται, καθ' ὃν δὲ τρόπον ἐκεῖνοι [q] γενέσθαι λέγουσιν οὐκ ἐνδέχεται, μεγάλην ἂν ἔχοι καὶ τοῦτο ῥοπὴν εἰς πίστιν περὶ τῆς ἀθανασίας αὐτοῦ καὶ [r] τῆς ἀϊδιότητος. Διόπερ καλῶς ἔχει συμπείθειν [s] ἑαυτὸν τοὺς ἀρχαίους 2
καὶ [t] μάλιστα πατρίους [v] ἡμῶν ἀληθεῖς εἶναι λόγους, ὡς ἔστιν ἀθάνατόν τι καὶ θεῖον τῶν ἐχόντων μὲν κίνησιν, ἐχόντων [w] δὲ τοιαύτην ὥστε μηθὲν εἶναι πέρας αὐτῆς, ἀλλὰ μᾶλλον ταύτην τῶν ἄλλων πέρας· τό τε γὰρ πέρας τῶν περιεχόντων ἐστί, καὶ [x] αὕτη [y] ἡ κυκλοφορία τέλειος οὖσα περιέχει τὰς ἀτελεῖς καὶ τὰς ἐχούσας πέρας καὶ [z] παῦλαν, [a] αὐτὴ μὲν οὐδεμίαν [b] οὔτ' ἀρχὴν ἔχουσα οὔτε τελευτήν, ἀλλ' ἄπαυστος οὖσα τὸν ἄπειρον χρόνον, τῶν δ' ἄλλων [c] τῶν μὲν αἰτία τῆς ἀρχῆς, τῶν δὲ δεχομένη τὴν παῦλαν. Τὸν δ' οὐρανὸν καὶ τὸν ἄνω τόπον 3
οἱ μὲν ἀρχαῖοι τοῖς θεοῖς ἀπένειμαν ὡς ὄντα μόνον ἀθάνατον· ὁ δὲ νῦν μαρτυρεῖ λόγος ὡς ἄφθαρτος καὶ [d] ἀγένητος, ἔτι δ' ἀπαθὴς πάσης θνητῆς δυσχερείας ἐστίν, πρὸς δὲ τούτοις ἄπονος διὰ τὸ μηδεμιᾶς προσδεῖσθαι βιαίας ἀνάγκης, [e] ἣ κατέχει

[d] γενητὰ καὶ φθαρτὰ H. [e] δὲ] δὲ ἐν F, δέ πως L, om. E. [f] συνίστανται L. [g] καὶ om. E. [h] οὖν om. E. [i] φασί τινες M. [k] αὐτὸν om. F.H. [l] εἷς ἐστὶ M. [m] ἑαυτῷ F.H.M. [n] λαμβάνειν E.H.L. [o] τῆς παρὰ om. E. [p] ἄλλων E. [q] γενέσθαι om. F. [r] τῆς post καὶ om. E.L. [s] ἑαυτῷ M. [t] μάλιστα τοὺς πατρίους L. [v] ἡμῖν F.H.M. [w] δὲ] μέντοι M. [x] αὐτὴ M. [y] ἡ κυκλοφορία om. E.F.H.M. [z] παύλην L, πάλιν E. [a] αὕτη L. [b] οὔτ' om. E. [c] τῶν μὲν—ἀρχῆς om. pr. E. [d] ἀγένητος] ἀθάνατος H. [e] ἣ L.

κωλύουσα φέρεσθαι πεφυκότα [f]αὐτὸν ἄλλως· πᾶν γὰρ τὸ τοιοῦτον ἐπίπονον, ὅσῳπερ ἂν ἀϊδιώτερον ᾖ, καὶ διαθέσεως
4 τῆς ἀρίστης [g]ἄμοιρον. Διόπερ [h]οὔτε κατὰ τὸν [i]τῶν παλαιῶν μῦθον ὑπολητέον ἔχειν, οἳ φασιν [j]Ἄτλαντός τινος αὐτῷ προσδεῖσθαι τὴν σωτηρίαν· ἐοίκασι γὰρ καὶ τοῦτον οἱ συστήσαντες τὸν λόγον τὴν αὐτὴν ἔχειν ὑπόληψιν τοῖς ὕστερον· [k]ὡς [l]γὰρ περὶ βάρος ἐχόντων καὶ γεηρῶν ἁπάντων τῶν ἄνω σωμάτων ὑπέστησαν αὐτῷ μυθικῶς ἀνάγκην ἔμψυχον.
5 Οὔτε δὴ τοῦτον τὸν τρόπον ὑπολητέον, οὔτε διὰ τὴν δίνησιν [m]θάττονος τυγχάνοντα φορᾶς τῆς οἰκείας ῥοπῆς [n]ἔτι σώζεσθαι τοσοῦτον χρόνον, καθάπερ [j]Ἐμπεδοκλῆς φησίν.
6 [j]Ἀλλὰ μὴν [o]οὐδ' [p]ὑπὸ ψυχῆς εὔλογον ἀναγκαζούσης μένειν ἀΐδιον· οὐδὲ γὰρ τῆς ψυχῆς οἷόν τ' εἶναι τὴν τοιαύτην ζωὴν ἄλυπον καὶ μακαρίαν· ἀνάγκη γὰρ καὶ τὴν κίνησιν μετὰ βίας οὖσαν, εἴπερ [q]κινεῖσθαι πεφυκότος τοῦ πρώτου σώματος [r]ἄλλως κινεῖ συνεχῶς, ἄσχολον εἶναι καὶ πάσης ἀπηλλαγμένην ῥαστώνης ἔμφρονος, εἴ γε μηδ' ὥσπερ τῇ ψυχῇ τῇ τῶν θνητῶν ζῴων ἐστὶν [s]ἀνάπαυσις ἡ περὶ τὸν ὕπνον γινομένη τοῦ σώματος ἄνεσις, ἀλλ' ἀναγκαῖον [j]Ἰξίονός τινος μοῖ-
7 ραν κατέχειν αὐτὴν ἀΐδιον καὶ ἄτρυτον. Εἰ δή, καθάπερ εἴπομεν, ἐνδέχεται τὸν εἰρημένον [t]ἔχειν τρόπον περὶ τῆς πρώτης φορᾶς, οὐ μόνον αὐτοῦ περὶ τῆς ἀϊδιότητος οὕτως [v]ὑπολαβεῖν ἐμμελέστερον, ἀλλὰ καὶ τῇ μαντείᾳ τῇ περὶ [w]τὸν θεὸν μόνως ἂν ἔχοιμεν οὕτως ὁμολογουμένως ἀποφαίνεσθαι συμφώνους λόγους. [j]Ἀλλὰ τῶν μὲν τοιούτων λόγων ἄλις ἔστω [x]τὰ νῦν.

2 [y][j]Ἐπειδὴ [z]δέ τινές εἰσιν οἳ φασιν εἶναί τι δεξιὸν καὶ ἀριστερὸν τοῦ οὐρανοῦ, καθάπερ οἱ καλούμενοι Πυθαγόρειοι (ἐκείνων γὰρ [a]οὗτος ὁ λόγος ἐστίν), σκεπτέον πότερον τοῦ-

[f] ἄλλως αὐτὸν H. [g] ἄμοιρον] μόριον E. [h] οὐδὲ F.H.M. [i] τῶν παλαιῶν] παλαιὸν F. [k] ὥσπερ F.H.M. [l] γὰρ om. E. [m] ἐλάττονος E.L. [n] ἔστι M. [o] οὔτε E.L. [p] ὑπὸ τῆς ψυχῆς F.H.M. [q] κινεῖσθαι] κινεῖ φέρεσθαι F.H.L.M. [r] ἄλλως καὶ κινεῖ F.H.L.M. [s] ἀνάπνευσις E. [t] τρόπον ἔχειν F.H. [v] ὑπολαμβάνειν F.H. [w] τῶν θεῶν F.M. [x] τὸ E.L. [y] ἐπεὶ H.L. [z] δέ om. E. [a] ἐστὶν οὗτος ὁ λόγος H.

τον ἔχει τὸν τρόπον ὡς ἐκεῖνοι λέγουσιν, [b] ἢ μᾶλλον ἑτέρως, εἴπερ δεῖ προσάπτειν τῷ τοῦ παντὸς [c] σώματι ταύτας τὰς ἀρχάς. Εὐθὺς γὰρ πρῶτον, εἰ τὸ δεξιὸν ὑπάρχει καὶ τὸ ἀριστερόν, ἔτι [d] πρότερον τὰς προτέρας ὑπολεπτέον [e] ὑπάρχειν ἀρχὰς ἐν αὐτῷ. Διώρισται μὲν οὖν περὶ τούτων ἐν τοῖς 2
περὶ τὰς τῶν ζῴων κινήσεις διὰ τὸ τῆς φύσεως οἰκεῖα τῆς ἐκείνων εἶναι· φανερῶς γὰρ ἔν γε τοῖς ζῴοις ὑπάρχοντα φαίνεται τοῖς μὲν πάντα τὰ τοιαῦτα μόρια, λέγω δ' οἷον τό τε [f] δεξιὸν καὶ τὸ ἀριστερόν, τοῖς δ' ἔνια, τοῖς δὲ φυτοῖς τὸ ἄνω καὶ [g] τὸ κάτω μόνον. Εἰ δὲ δεῖ καὶ τῷ οὐρανῷ προσάπτειν 3
τι τῶν τοιούτων, καὶ τὸ πρῶτον, καθάπερ εἴπομεν, ἐν τοῖς ζῴοις ὑπάρχον εὔλογον ὑπάρχειν ἐν αὐτῷ· τριῶν γὰρ ὄντων ἕκαστον [h] οἷον ἀρχή τις ἐστίν. Λέγω δὲ τὰ τρία τὸ ἄνω καὶ [i] τὸ κάτω, καὶ [i] τὸ [k] πρόσθεν καὶ τὸ ἀντικείμενον, καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν· ταύτας γὰρ τὰς διαστάσεις εὔλογον ὑπάρχειν τοῖς σώμασι τοῖς τελείοις πάσας. [l]Ἔστι δὲ τὸ μὲν 4
ἄνω τοῦ μήκους ἀρχή, τὸ δὲ δεξιὸν τοῦ πλάτους, τὸ δὲ [l] πρόσθεν τοῦ βάθους. [l]Ἔτι δ' ἄλλως κατὰ τὰς κινήσεις· ἀρχὰς γὰρ ταύτας λέγω ὅθεν ἄρχονται [m] πρῶτον αἱ κινήσεις τοῖς ἔχουσιν. [l]Ἔστι δὲ ἀπὸ μὲν τοῦ ἄνω ἡ αὔξησις, ἀπὸ δὲ τῶν δεξιῶν ἡ κατὰ τόπον, ἀπὸ δὲ τῶν ἔμπροσθεν ἡ κατὰ τὴν αἴσθησιν· ἔμπροσθεν [n] γὰρ λέγω ἐφ' [o] ᾧ αἱ αἰσθήσεις. Διὸ 5
[p] καὶ οὐκ ἐν ἅπαντι σώματι τὸ ἄνω [q] καὶ κάτω καὶ τὸ δεξιὸν καὶ ἀριστερὸν καὶ τὸ ἔμπροσθεν καὶ ὄπισθεν ζητητέον, ἀλλ' ὅσα ἔχει κινήσεως ἀρχὴν ἐν [r] αὐτοῖς ἔμψυχα ὄντα· τῶν γὰρ ἀψύχων ἐν οὐθενὶ ὁρῶμεν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. Τὰ μὲν γὰρ ὅλως οὐ κινεῖται, τὰ δὲ κινεῖται μὲν ἀλλ' οὐ παντα-χόθεν ὁμοίως, οἷον τὸ πῦρ ἄνω μόνον καὶ ἡ γῆ ἐπὶ τὸ μέσον.
[l]Ἀλλ' ἐν [s] μὲν τούτοις λέγομεν τὸ ἄνω [t] καὶ κάτω καὶ τὸ 6

[b] ἢ om. E. [c] σώματι καὶ ταύτας M. [d] πρότερον τὰς om. E. [e] ὑπάρχειν om. F. [f] ἀριστερὸν καὶ τὸ δεξιὸν F.H.M. [g] τὸ post καὶ om. E. [h] οἷον om. E. [i] τὸ ante κ. et ante πρ. om. E. [k] πρόσθιον E.L. [l] δ' ἔμπροσθεν F.L.M. [m] αἱ κινήσεις πρῶτον F.M. [n] γὰρ] δὲ F. [o] ᾧ L.M. [p] καὶ om. E. [q] καὶ τὸ κάτω et καὶ τὸ ἀριστερὸν et καὶ τὸ ὄπισθεν F.H.L.M. [r] ἑαυτοῖς F.H.M. [s] μὲν om. E. [t] καὶ τὸ κάτω F.H.L.M.

δεξιὸν [v] καὶ ἀριστερὸν πρὸς ἡμᾶς [w] ἐπαναφέροντες· [x] ἢ γὰρ κατὰ τὰ ἡμέτερα δεξιά, ὥσπερ οἱ μάντεις, ἢ καθ' ὁμοιότητα τοῖς ἡμετέροις, [y] οἷον τὰ τοῦ ἀνδριάντος, ἢ τὰ ἐναντίως ἔχοντα [z] τῇ θέσει, δεξιὸν [a] μὲν τὸ κατὰ τὸ ἡμέτερον [b] ἀριστερόν, ἀριστερὸν δὲ [c] τὸ κατὰ τὸ ἡμέτερον δεξιόν, [[d] καὶ ὄπισθεν
7 τὸ κατὰ τὸ ἡμέτερον [e] ἔμπροσθεν]. [f] Ἐν αὐτοῖς δὲ τούτοις οὐδεμίαν ὁρῶμεν διαφοράν· ἐὰν γὰρ ἀνάπαλιν στραφῇ, τὰ ἐναντία ἐροῦμεν δεξιὰ καὶ ἀριστερὰ καὶ ἄνω καὶ κάτω καὶ [g] ἔμπροσθεν καὶ ὄπισθεν. Διὸ καὶ τῶν [h] Πυθαγορείων [i] ἄν τις θαυμάσειεν ὅτι δύο μόνας ταύτας ἀρχὰς ἔλεγον, τὸ δεξιὸν καὶ [j] τὸ ἀριστερόν, τὰς δὲ τέτταρας [k] παρέλιπον οὐθὲν ἧττον κυρίας οὔσας· [l] οὐθὲν γὰρ ἐλάττω διαφορὰν ἔχει [m] τὰ ἄνω πρὸς τὰ κάτω καὶ [n] τὰ [o] ἔμπροσθεν πρὸς τὰ ὄπισθεν ἢ τὰ
8 δεξιὰ πρὸς τὰ ἀριστερὰ ἐν [p] ἅπασι τοῖς ζῴοις. Τὰ μὲν γὰρ τῇ δυνάμει [q] διαφέρει μόνον, τὰ δὲ καὶ τοῖς σχήμασι, καὶ τὸ μὲν ἄνω καὶ τὸ κάτω πᾶσι τοῖς ἐμψύχοις ἐστὶν ὁμοίως ζῴοις καὶ φυτοῖς, τὸ δὲ δεξιὸν καὶ [r] τὸ ἀριστερὸν οὐκ ἐνυπάρχει τοῖς
9 φυτοῖς. [s] Ἔτι δ' ὡς τὸ μῆκος τοῦ πλάτους πρότερον, εἰ τὸ μὲν ἄνω τοῦ μήκους ἀρχή, τὸ δὲ δεξιὸν τοῦ πλάτους, ἡ δὲ τοῦ προτέρου ἀρχὴ προτέρα, πρότερον ἂν εἴη τὸ ἄνω τοῦ δεξιοῦ κατὰ γένεσιν, ἐπειδὴ πολλαχῶς λέγεται τὸ πρότερον. Πρὸς δὲ τούτοις, εἰ τὸ μὲν ἄνω ἐστὶ τὸ ὅθεν ἡ κίνησις, τὸ δὲ δεξιὸν ἀφ' οὗ, τὸ δ' [s] εἰς τὸ [t] πρόσθεν ἐφ' ὅ, [v] καὶ οὕτως [w] ἂν [x] ἔχοι
10 τινὰ δύναμιν ἀρχῆς [y] τὸ ἄνω πρὸς τὰς ἄλλας ἰδέας. Διά τε δὴ τὸ [z] παραλιπεῖν τὰς [a] κυριωτέρας ἀρχὰς δίκαιον αὐτοῖς ἐπιτιμᾶν, καὶ [b] διότι ταύτας ἐν [c] ἅπασιν ὁμοίως [d] ἐνόμιζον

[v] καὶ τὸ ἀριστερὸν F.H.M. [w] ἀναφέροντες H.L. [x] ἢ] εἰ E. [y] οἷον] ὥσπερ E.L. [z] τὴν θέσιν M. [a] μὲν γὰρ καὶ ἔμπροσθεν τὸ H. [b] ἀριστερὸν καὶ ὄπισθεν ἀριστερὸν H. [c] τὸ κατὰ τὸ ἡμ. δεξιόν] τοὐναντίον F.M. [d] καὶ—ἔμπροσθεν om. E. [e] ἐπίπροσθεν F.M, δεξιὸν καὶ ἔμπροσθεν H.L. [f] ὄπισθεν καὶ ἔμπροσθεν E. [g] πυθαγορίων E, ut solet. [h] θαυμάσειεν ἄν τις H. [i] τὸ om. E.L. [k] παρέλειπον H, παρέληπον E. [l] ὅθεν M. [m] τὸ ἄνω πρὸς τὸ H. [n] τὸ H. [o] ἔμπρ. πρὸς τὰ] ἔμπρ. καὶ τὸ H. [p] πᾶσι L. [q] μόνον διαφέρει F.H.M. [r] τὸ post καὶ om. E. [s] εἰς τὸ corr. E, om. L. [t] ἔμπροσθεν L. et pr. E. [v] κἂν F.M. [w] ἂν om. E.F.M. [x] ἔχῃ F. [y] τὸ ἄνω] τὰ ἄνω L. [z] παραλείπειν E. [a] κυριωτάτας F. [b] διὸ E. [c] πᾶσιν H. [d] ἐνόμιζον ante ἐν F.

ὑπάρχειν. [r]Ημῖν δ' [e]ἐπειδὴ ὥρισται πρότερον ὅτι ἐν τοῖς ἔχουσιν ἀρχὴν κινήσεως αἱ τοιαῦται δυνάμεις [f]ἐνυπάρχουσιν, ὁ δ' οὐρανὸς ἔμψυχος καὶ ἔχει κινήσεως ἀρχήν, δῆλον ὅτι [g]ἔχει [h]καὶ τὸ ἄνω καὶ τὸ κάτω καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. Οὐ δεῖ γὰρ ἀπορεῖν διὰ τὸ σφαιροειδὲς εἶναι τὸ 11
σχῆμα τοῦ παντός, ὅπως ἔσται [i]τούτου τὸ μὲν δεξιὸν τὸ δὲ ἀριστερὸν ὁμοίων γ' ὄντων τῶν μορίων ἁπάντων καὶ κινουμένων τὸν ἅπαντα χρόνον, [k]ἀλλὰ νοεῖν ὥσπερ ἂν εἴ τις, ἐν οἷς ἔχει τὸ δεξιὸν πρὸς τὸ ἀριστερὸν διαφορὰν καὶ τοῖς σχήμασιν, εἶτα περιθείη σφαῖραν· ἕξει μὲν γὰρ τὴν δύναμιν διαφέρουσαν, [l]δόξει δ' οὐ διὰ τὴν ὁμοιότητα τοῦ σχήματος. Τὸν αὐτὸν [m]δὲ τρόπον καὶ περὶ τῆς ἀρχῆς τοῦ κινεῖσθαι· 12
καὶ γὰρ εἰ μηδέποτ' ἤρξατο, [n]ὅμως ἔχειν ἀναγκαῖον ἀρχήν, ὅθεν ἂν ἤρξατο, εἰ ἤρχετο [o]κινούμενον, [p]κἂν εἰ σταίη, κινηθείη [q]ἂν πάλιν. Λέγω δὲ μῆκος μὲν αὐτοῦ τὸ κατὰ τοὺς πόλους διάστημα, καὶ τῶν πόλων [r]τὸν μὲν ἄνω [r]τὸν δὲ κάτω· διαφορὰν γὰρ ἐν τούτοις μόνοις ὁρῶμεν τῶν ἡμισφαιρίων, τῷ μὴ κινεῖσθαι τοὺς πόλους. [v]Ἅμα δὲ [s]καὶ εἰώθαμεν 13
λέγειν τὰ πλάγια ἐν τῷ κόσμῳ οὐ τὸ ἄνω καὶ τὸ κάτω, ἀλλὰ [t]τὰ περὶ τοὺς πόλους, ὡς τούτου μήκους ὄντος· τὸ γὰρ εἰς τὸ πλάγιόν ἐστι τὸ [v]περὶ τὸ ἄνω καὶ τὸ κάτω. Τῶν δὲ πόλων ὁ μὲν [w]ὑπὲρ ἡμᾶς φαινόμενος τὸ κάτω μέρος ἐστίν, ὁ δ' ἡμῖν ἄδηλος τὸ ἄνω. Δεξιὸν γὰρ ἑκάστου λέγομεν, ὅθεν 14
ἡ ἀρχὴ τῆς κατὰ τόπον κινήσεως· τοῦ δ' οὐρανοῦ [x]ἀρχὴν τῆς περιφορᾶς, ὅθεν αἱ ἀνατολαὶ τῶν [y]ἄστρων, ὥστε τοῦτ' ἂν εἴη δεξιόν, οὗ δ' [z]αἱ δύσεις, ἀριστερόν. Εἰ οὖν ἄρχεταί [a]τε ἀπὸ τῶν δεξιῶν καὶ ἐπὶ τὰ δεξιὰ περιφέρεται, ἀνάγκη [b]τὸ ἄνω εἶναι τὸν ἀφανῆ πόλον· εἰ γὰρ ἔσται ὁ φανερός, ἐπ'

[e] ἐπεὶ διώρισται F.H.M. [f] ὑπάρχουσιν E. [g] ἔχει post ὅτι om. F.M. [h] καὶ post ἔχει om. H. [i] αὐτοῦ F.M. [k] ἀλλ' ἐννοεῖν M. [l] δόξειε M. [m] δὴ M, om. E.F. [n] ὅμως—ἤρξατο margo F. [o] κινούμενον] κινούμενον κινεῖσθαι E.H.L. [p] καὶ F. [q] ἂν om. E. [r] τὸ—τὸ E. [s] καὶ om. F. [t] τὸ παρὰ E.H.L. [v] παρὰ E.H.L.M. [w] πρὸς F.M. [x] ἀρχὴ H.M. [y] ἀστέρων E. [z] αἱ om. E. [a] τε om. E.H. [b] εἶναι τὸ ἄνω H.

15 ἀριστερὰ ἔσται ἡ κίνησις, ὅπερ οὔ φαμεν. Δῆλον τοίνυν ὅτι ὁ ἀφανὴς πόλος ἐστὶ τὸ ἄνω. Καὶ οἱ μὲν ἐκεῖ οἰκοῦντες ἐν τῷ ἄνω εἰσὶν ἡμισφαιρίῳ καὶ πρὸς τοῖς δεξιοῖς, ἡμεῖς δ' ἐν τῷ [c] κάτω καὶ πρὸς τοῖς ἀριστεροῖς, ἐναντίως ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν· ἐκεῖνοι γὰρ ἡμᾶς ἄνω [d] τε ποιοῦσι καὶ ἐν τῷ δεξιῷ μέρει, τοὺς δ' ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ. Συμ-
16 βαίνει δὲ τοὐναντίον. [1] Ἀλλὰ τῆς μὲν δευτέρας περιφορᾶς, οἷον τῆς τῶν πλανήτων, ἡμεῖς μὲν ἐν τοῖς ἄνω καὶ [e] ἐν τοῖς δεξιοῖς [f] ἐσμέν, ἐκεῖνοι δὲ ἐν τοῖς κάτω καὶ [g] ἐν τοῖς ἀριστεροῖς· ἀνάπαλιν γὰρ [h] τούτοις ἡ ἀρχὴ τῆς κινήσεώς ἐστι διὰ τὸ ἐναντίας [i] εἶναι τὰς φοράς, ὥστε [k] συμβαίνει ἡμᾶς [l] μὲν εἶναι πρὸς τῇ ἀρχῇ ἐκείνους δὲ πρὸς τῷ τέλει. Περὶ μὲν οὖν τῶν κατὰ τὰς [m] διαστάσεις μορίων καὶ τῶν κατὰ τόπον ὡρισμένων τοσαῦτα [n] εἰρήσθω.

3 [1] Ἐπεὶ δ' οὐκ ἔστιν ἐναντία κίνησις ἡ κύκλῳ τῇ κύκλῳ, σκεπτέον διὰ τί πλείους [o] εἰσὶ φοραί, καίπερ πόρρωθεν πειρωμένοις ποιεῖσθαι τὴν ζήτησιν, πόρρω δ' οὐχ οὕτω τῷ τόπῳ, πολὺ δὲ [p] μᾶλλον τῷ τῶν συμβεβηκότων αὐτοῖς πέρι πάμπαν [q] ὀλίγην ἔχειν αἴσθησιν. [v] Ὁμως δὲ λέγωμεν. [1] Ἡ
2 δ' αἰτία περὶ αὐτῶν [r] ἐνθένδε ληπτέα. [v] Ἕκαστόν ἐστιν, ὧν [s] ἐστὶν ἔργον, ἕνεκα τοῦ ἔργου. Θεοῦ δ' ἐνέργεια ἀθανασία· τοῦτο δ' ἐστὶ ζωὴ ἀΐδιος. [v] Ὥστ' ἀνάγκη τῷ [t] θείῳ κίνησιν ἀΐδιον ὑπάρχειν. [1] Ἐπεὶ δ' ὁ οὐρανὸς [v] τοιοῦτος (σῶμα γάρ τι θεῖον), διὰ τοῦτο ἔχει τὸ ἐγκύκλιον σῶμα, ὃ φύσει κινεῖται κύκλῳ ἀεί. Διὰ τί οὖν οὐχ ὅλον [w] τὸ σῶμα τοῦ οὐρανοῦ
3 τοιοῦτον; [v] Ὅτι ἀνάγκη μένειν τι τοῦ σώματος τοῦ φερομένου κύκλῳ τὸ ἐπὶ τοῦ μέσου, [x] τούτου δ' οὐθὲν οἷόν τε μένειν μόριον, οὔθ' ὅλως οὔτ' ἐπὶ τοῦ μέσου. Καὶ γὰρ ἂν ἡ

[c] κατωτάτω M. [d] τε ante γὰρ H, om. E. [e] ἐν post καὶ om. E. [f] ἐσμέν om. F. [g] ἐν post καὶ om. E. [h] τούτοις ἀρχὴ E, ἡ ἀρχὴ τούτοις F.H.M. [i] εἶναι om. E. [k] συμβαίνειν E.M. [l] μὲν om. F. [m] διαστάσεις τῶν μ. E. [n] εἰρήσθωσαν M. [o] εἰσὶν αἱ φ. M. [p] μ. τῶν τῶν καθ' αὑτὰ συμβ. M. [q] ὀλίγων E. [r] ἐντεῦθεν H. [s] ἔργον ἐστιν F.M. [t] θεῷ H.L.M. et pr. F. [v] τοιοῦτον F.H.M. [w] τοῦ οὐρανοῦ τὸ σῶμα F. [x] τούτου—μέσου om. pr. F.

κατὰ φύσιν κίνησις ἦν αὐτοῦ ἐπὶ τὸ μέσον· φύσει δὲ κύκλῳ κινεῖται· οὐ γὰρ ἂν ἦν ἀΐδιος ἡ κίνησις· οὐθὲν γὰρ παρὰ φύσιν ἀΐδιον. Ὕστερον [y] δὲ τὸ παρὰ φύσιν τοῦ κατὰ φύ- 4
σιν, [z] καὶ ἔκστασίς τίς ἐστιν ἐν τῇ γενέσει τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν. Ἀνάγκη τοίνυν γῆν εἶναι· τοῦτο γὰρ ἠρεμεῖ ἐπὶ τοῦ μέσου. Νῦν μὲν οὖν ὑποκείσθω τοῦτο, ὕστε-
ρον δὲ [a] λεχθήσεται περὶ αὐτοῦ. Ἀλλὰ μὴν εἰ γῆν, ἀνάγκη 5
καὶ πῦρ εἶναι· [b] τῶν γὰρ [c] ἐναντίων [d] εἰ θάτερον φύσει, ἀνάγκη καὶ θάτερον εἶναι φύσει, [e] ἐάν περ ᾖ ἐναντίον, καὶ εἶναί τινα αὐτοῦ φύσιν· ἡ γὰρ αὐτὴ ὕλη τῶν ἐναντίων, καὶ τῆς στερήσεως πρότερον ἡ κατάφασις, λέγω δ' οἷον τὸ θερ-
μὸν τοῦ ψυχροῦ. [f] Ἡ δ' ἠρεμία καὶ τὸ βαρὺ [f] λέγονται κατὰ στέρησιν κουφότητος καὶ κινήσεως. Ἀλλὰ μὴν εἴπερ 6
ἔστι πῦρ καὶ γῆ, ἀνάγκη καὶ τὰ μεταξὺ αὐτῶν εἶναι σώματα· ἐναντίωσιν γὰρ ἔχει ἕκαστον τῶν στοιχείων [g] πρὸς ἕκαστον. Ὑποκείσθω δὲ καὶ τοῦτο νῦν, ὕστερον δὲ πειρατέον δεῖξαι. Τούτων δ' ὑπαρχόντων φανερὸν ὅτι ἀνάγκη γένεσιν εἶναι διὰ τὸ μηδὲν οἷόν τ' αὐτῶν εἶναι ἀΐδιον· πάσχει γὰρ καὶ ποιεῖ τἀναντία ὑπ' ἀλλήλων, καὶ φθαρτικὰ ἀλλήλων [h] ἐστίν. Ἔτι 7
δ' οὐκ εὔλογον [i] εἶναί τι κινητὸν ἀΐδιον, οὗ μὴ ἐνδέχεται [k] εἶναι κατὰ φύσιν τὴν κίνησιν ἀΐδιον· τούτων δ' ἐστὶ κίνησις. Ὅτι μὲν τοίνυν ἀναγκαῖον εἶναι γένεσιν, ἐκ τούτων δῆλον. Εἰ δὲ γένεσιν, [l] ἀναγκαῖον καὶ ἄλλην εἶναι φοράν, ἢ μίαν ἢ πλείους· κατὰ γὰρ τὴν τοῦ ὅλου ὡσαύτως ἀναγκαῖον [m] ἔχειν τὰ στοιχεῖα τῶν σωμάτων πρὸς ἄλληλα. Λεχθήσεται δὲ 8
καὶ περὶ τούτου ἐν τοῖς ἑπομένοις σαφέστερον. Νῦν δὲ το-
σοῦτόν ἐστι δῆλον, διὰ τίνα αἰτίαν πλείω τὰ ἐγκύκλιά [n] ἐστι σώματα, ὅτι ἀνάγκη γένεσιν εἶναι, γένεσιν δ', εἴπερ καὶ πῦρ,

[y] δὲ] γὰρ F.M. [z] καὶ—κατὰ φύσιν om. F.M. [a] δειχθήσεται E.L. [b] ὧν H.M. [c] ἐναντίον F. [d] εἰ om. F.H.M. [e] ἄν F.H.L.M. [f] λέγεται E.L. [g] πρὸς ἕκαστα L, om. pr. E. [h] εἰσὶν F, om. E. [i] κινητόν τι ἀΐδιον εἶναι F, τι κινητὸν εἶναι ἀΐδιον M. [k] εἶναι in margine F, post φύσιν H. [l] ἀνάγκη M. ἀναγκαῖον post εἶναι F. [m] ἔχειν καὶ τὰ L. [n] εἰσι F.M.

τοῦτο δὲ καὶ [o]τἆλλα, εἴπερ καὶ γῆν· ταύτην δ' ὅτι ἀνάγκη μένειν τι ἀεί, [p]εἴπερ κινεῖσθαί [q]τι ἀεί.

4 Σχῆμα δ' [r]ἀνάγκη σφαιροειδὲς ἔχειν τὸν οὐρανόν· τοῦτο γὰρ οἰκειότατόν [s]τε τῇ οὐσίᾳ καὶ τῇ φύσει πρῶτον. Εἴπωμεν [t]δὲ καθόλου περὶ τῶν σχημάτων, τὸ ποιόν ἐστι πρῶτον, καὶ ἐν ἐπιπέδοις καὶ [v]ἐν στερεοῖς. [w]Ἅπαν δὴ σχῆμα ἐπίπεδον [w]ἢ εὐθύγραμμόν ἐστιν ἢ περιφερόγραμμον. [x]Καὶ τὸ μὲν εὐθύγραμμον ὑπὸ πλειόνων περιέχεται γραμμῶν, τὸ δὲ
2 περιφερόγραμμον ὑπὸ μιᾶς. [y]Ἐπεὶ δὲ πρότερον [y]τῇ φύσει ἐν ἑκάστῳ γένει τὸ ἓν τῶν πολλῶν καὶ τὸ ἁπλοῦν [z]τῶν συνθέτων, πρῶτον ἂν εἴη τῶν ἐπιπέδων σχημάτων ὁ κύκλος. [a]Ἔτι δὲ [a]εἴπερ τέλειόν ἐστιν οὗ μηδὲν ἔξω [b]λαβεῖν αὐτοῦ δυνατόν, ὥσπερ ὥρισται πρότερον, καὶ τῇ μὲν εὐθείᾳ [c]πρόσθεσίς ἐστιν ἀεί, [d]τῇ δὲ τοῦ κύκλου οὐδέποτε, φανερὸν ὅτι τέλειος ἂν εἴη ἡ περιέχουσα τὸν κύκλον· ὥστ' εἰ τὸ τέλειον πρότερον τοῦ ἀτελοῦς, [e]καὶ διὰ ταῦτα [f]πρότερον ἂν εἴη τῶν
3 σχημάτων ὁ κύκλος. [b]Ὡσαύτως δὲ καὶ ἡ σφαῖρα τῶν στερεῶν· [g]μόνη γὰρ περιέχεται μιᾷ ἐπιφανείᾳ, τὰ δ' εὐθύγραμμα πλείοσιν· ὡς γὰρ ἔχει ὁ κύκλος ἐν τοῖς ἐπιπέδοις,
4 οὕτως ἡ σφαῖρα ἐν τοῖς στερεοῖς. [a]Ἔτι δὲ καὶ οἱ διαιροῦντες εἰς ἐπίπεδα καὶ ἐξ ἐπιπέδων τὰ σώματα γεννῶντες μεμαρτυρηκέναι φαίνονται τούτοις· μόνην γὰρ τῶν στερεῶν οὐ διαιροῦσι τὴν σφαῖραν ὡς οὐκ ἔχουσαν πλείους ἐπιφανείας ἢ μίαν· ἡ γὰρ εἰς τὰ ἐπίπεδα διαίρεσις οὐχ ὡς [h]ἂν τέμνων τις εἰς τὰ μέρη διέλοι τὸ ὅλον, τοῦτον [i]διαιρεῖται τὸν τρόπον,
5 ἀλλ' ὡς εἰς ἕτερα τῷ εἴδει. [a]Ὅτι μὲν οὖν [k]πρῶτόν ἐστιν ἡ σφαῖρα τῶν στερεῶν [l]σχημάτων, [m]δῆλον. [a]Ἔστι δὲ καὶ

[o] τὰ ἄλλα E.F. [p] εἴπερ καὶ κ. F.H. [q] τι δεῖ ἀεί L. [r] σφαιροειδὲς ἀνάγκη E.L. [s] τε post τῇ F, om. E. [t] δὲ] δὲ πρῶτον E. [v] ἐν post καὶ om. E.F. [w] ἢ om. E. [x] καὶ τὸ—περιφερόγραμμον om. pr. F. [y] τῇ φύσει om. E. [z] τοῦ συνθέτου F.M. [a] ἐπεὶ E.L. [b] αὐτοῦ λαβεῖν F, τῶν αὐτοῦ λαβεῖν H.M, λαβεῖν τῶν αὐτοῦ L. [c] πρόθεσίς H. [d] τῇ] ἐπὶ H. [e] κἂν L. [f] πρότερος F.H. [g] μόνη γὰρ] ἐκείνη γὰρ μόνη L. [h] ἂν] ανει E. [i] διαιρεῖ F. [k] πρότερόν F. [l] σωμάτων H. [m] ἐστι δῆλον E.

κατὰ τὸν ἀριθμὸν τὴν τάξιν ἀποδιδοῦσιν [n] οὕτω [o] τιθεμένοις [p] εὐλογώτατον, τὸν μὲν κύκλον κατὰ τὸ ἕν, τὸ δὲ τρίγωνον κατὰ τὴν δύαδα, [q] ἐπειδὴ [r] δύο ὀρθαί· ἐὰν δὲ τὸ ἓν κατὰ [s] τὸ τρίγωνον, ὁ κύκλος [t] οὐκέτι ἔσται σχῆμα. [1] Ἐπεὶ δὲ τὸ μὲν πρῶτον σχῆμα τοῦ πρώτου σώματος, πρῶτον δὲ σῶμα τὸ ἐν τῇ ἐσχάτῃ περιφορᾷ, σφαιροειδὲς ἂν εἴη τὸ τὴν κύκλῳ [v] περιφερόμενον φοράν. Καὶ τὸ συνεχὲς ἄρα ἐκείνῳ· τὸ 6
γὰρ τῷ σφαιροειδεῖ συνεχὲς σφαιροειδές. [2] Ὡσαύτως δὲ καὶ τὰ πρὸς τὸ μέσον τούτων· τὰ γὰρ ὑπὸ τοῦ σφαιροειδοῦς περιεχόμενα καὶ ἁπτόμενα ὅλα σφαιροειδῆ ἀνάγκη εἶναι· τὰ δὲ κάτω [w] τῆς τῶν [x] πλανητῶν ἅπτεται τῆς [y] ἐπάνω σφαίρας. [u] Ὥστε σφαιροειδὴς ἂν εἴη πᾶσα· πάντα γὰρ ἅπτεται καὶ συνεχῆ ἐστὶ [z] ταῖς σφαίραις. [1] Ἔτι δὲ ἐπεὶ φαίνεται καὶ 7
ὑπόκειται κύκλῳ περιφέρεσθαι τὸ πᾶν, δέδεικται δ' ὅτι τῆς ἐσχάτης περιφορᾶς οὔτε κενόν ἐστιν ἔξωθεν οὔτε τόπος, ἀνάγκη καὶ [a] διὰ ταῦτα σφαιροειδῆ εἶναι αὐτόν. Εἰ γὰρ [b] ἔσται [c] εὐθύγραμμος, συμβήσεται [d] καὶ τόπον [e] ἔξω εἶναι [f] καὶ σῶμα καὶ κένον. Κύκλῳ γὰρ [g] στρεφόμενον τὸ εὐθύ- 8
γραμμον οὐδέποτε τὴν αὐτὴν ἐφέξει χώραν, ἀλλ' [h] ὅπου πρότερον ἦν σῶμα, νῦν οὐκ ἔσται, καὶ οὗ νῦν οὐκ ἔστι, πάλιν ἔσται διὰ τὴν παράλλαξιν τῶν γωνιῶν. [2] Ὁμοίως δὲ κἂν εἴ τι ἄλλο σχῆμα γένοιτο μὴ ἴσας ἔχον τὰς ἐκ τοῦ [i] μέσου γραμμάς, οἷον φακοειδὲς ἢ ὠοειδές· ἐν [k] ἅπασι γὰρ συμβήσεται καὶ τόπον [l] ἔξω καὶ κενὸν εἶναι τῆς φορᾶς διὰ τὸ μὴ τὴν αὐτὴν χώραν κατέχειν τὸ ὅλον. [1] Ἔτι δ' [m] εἰ [n] τῶν μὲν 9
κινήσεων [o] τὸ μέτρον ἡ τοῦ οὐρανοῦ φορὰ διὰ τὸ [p] εἶναι [q] μόνη συνεχὴς καὶ ὁμαλὴς καὶ ἀΐδιος, ἐν ἑκάστῳ δὲ [r] μέτρον

[n] οὕτω om. E. [o] θεμένοις E.L. [p] εὐλογώτερον F. [q] ἐπεὶ F.H.M. [r] ὀρθαὶ δύο E.L, δύο ὀρθὰς ἔχει H.M. [s] τὸ post κατὰ om. E. [t] οὐκέτι] οὐκ E.L. [v] φερόμενον F.H.M. [w] τῆς om. E.L. [x] πλανήτων M. [y] ἄνω φορᾶς H.M. [z] ταῖς om. E. [a] δι' αὐτὰ H. [b] ἐστιν F. [c] εὐθύγραμμον H. [d] καὶ] ἢ καὶ M. [e] εἶναι ἔξω F.H.M. [f] καὶ σῶμα καὶ] ἢ καὶ σῶμα ἢ καὶ M. [g] φερόμενον M. [h] ὅπου] οὔπω M. [i] μέσου] κέντρου F. [k] ἅπαντι M. [l] εἶναι καὶ κενὸν ἔξω F. [m] εἰ] εἴπερ F. [n] μὲν τῶν M. [o] τὸ om. H.M. [p] μόνη εἶναι H.M. [q] μόνην συνεχῆ καὶ ὁμαλῆ καὶ ἀΐδιον F. [r] μέτρῳ M.

τὸ ἐλάχιστον, ἐλαχίστη δὲ κίνησις ἡ ταχίστη, [s] δῆλον ὅτι ταχίστη ἂν εἴη πασῶν τῶν κινήσεων ἡ τοῦ οὐρανοῦ κίνησις. [t]Αλλὰ μὴν τῶν [t] ἀπὸ τοῦ αὐτοῦ [v] ἐπὶ τὸ αὐτὸ ἐλαχίστη ἐστὶν ἡ τοῦ κύκλου γραμμή· κατὰ δὲ τὴν ἐλαχίστην [w] ταχίστη ἡ κίνησις· ὥστ' εἰ ὁ οὐρανὸς κύκλῳ [x] τε φέρεται καὶ
10 τάχιστα κινεῖται, σφαιροειδῆ αὐτὸν ἀνάγκη εἶναι. Λάβοι δ' ἄν τις καὶ ἐκ τῶν περὶ τὸ μέσον ἱδρυμένων σωμάτων ταύτην τὴν πίστιν. Εἰ γὰρ τὸ μὲν ὕδωρ ἐστὶ περὶ τὴν γῆν, ὁ δ' ἀὴρ περὶ τὸ ὕδωρ, τὸ δὲ πῦρ περὶ [y] τὸν ἀέρα, καὶ τὰ ἄνω σώματα κατὰ τὸν [z] αὐτὸν λόγον· συνεχῆ μὲν γὰρ οὐκ
11 ἔστιν, ἅπτεται δὲ τούτων. [r]Η δὲ τοῦ ὕδατος ἐπιφάνεια [a] σφαιροειδής ἐστιν, τὸ δὲ τῷ σφαιροειδεῖ συνεχὲς ἢ [b] κείμενον περὶ τὸ σφαιροειδὲς καὶ αὐτὸ τοιοῦτον [c] ἀναγκαῖον [d] εἶναι. [v]Ωστε [e] κἂν διὰ [f] τούτου φανερὸν [g] εἴη ὅτι σφαιροειδής ἐστιν ὁ οὐρανός. [t]Αλλὰ μὴν ὅτι γε ἡ τοῦ ὕδατος ἐπιφάνεια τοιαύτη, φανερὸν ὑπόθεσιν [h] λαβοῦσιν ὅτι πέφυκεν [i] ἀεὶ συρρεῖν τὸ ὕδωρ εἰς τὸ κοιλότερον· κοιλότερον δέ
12 ἐστι τὸ τοῦ κέντρου ἐγγύτερον. [v]Ηχθωσαν οὖν ἐκ τοῦ κέντρου ἡ Α Β καὶ ἡ Α Γ, καὶ ἐπεζεύχθω ἐφ' [k] ἧς Β Γ. [l] [r]Η οὖν ἀχθεῖσα ἐπὶ τὴν βάσιν, [m] ἐφ' ἧς [n] Α Δ, ἐλάττων ἐστὶ τῶν ἐκ τοῦ κέντρου· κοιλότερος ἄρα ὁ τόπος. [v]Ωστε [o] περιρρεύσεται τὸ ὕδωρ, ἕως ἂν ἰσασθῇ. [v]Ιση δὲ ταῖς ἐκ τοῦ κέντρου [p] ἡ Α Ε. [v]Ωστ' ἀνάγκη πρὸς ταῖς ἐκ τοῦ κέντρου εἶναι
13 τὸ ὕδωρ· τότε γὰρ ἠρεμήσει. [r]Η δὲ τῶν ἐκ τοῦ κέντρου ἁπτομένη περιφερής· σφαιροειδὴς ἄρα ἡ τοῦ ὕδατος ἐπιφάνεια, ἐφ' ἧς [q] Β Ε Γ. [v]Οτι μὲν οὖν σφαιροειδής ἐστιν ὁ κόσμος, δῆλον ἐκ τούτων, καὶ ὅτι κατ' ἀκρίβειαν ἔντορνος

[s] δῆλον ὅτι om. E.L. [t] ἀπ' αὐτοῦ L, ἀφ' αὐτοῦ E.H.M. [v] ἐπ' αὐτὸ E, ἐφ' αὑτὸ H L, ἐφ' ἑαυτὸ M. [w] ταχίστη κίνησις E, κίνησις ταχίστη L. [x] τε om. E.L. [y] τὸν om. M. [z] αὐτὸν om. E. [a] δής—κείμενον rc. supra lituram E. [b] κείμενον] κινούμενον L. [c] ἀναγκαῖον margo F. [d] εἶναι om. E. [e] καὶ F.L.M. [f] τοῦτο E.L. [g] εἴη] ἂν εἴη F.M. [h] λαμβάνουσιν E. [i] ἀεὶ om. corr. E. [k] ἧς] ᾗ τὸ E.H. [l] ἡ οὖν] ἐπεὶ οὖν ἡ H. [m] ἐφ' ἧς om. pr. E. [n] Α Δ] ἡ α δ F.L. [o] περιρεύσει καὶ E, ἐπιρρεῦσαι F. [p] ἡ δ ε E, αἱ α ε M. [q] β γ ε M, ἡ β ε γ H, δεύτερον ε γ E.

οὕτως ὥστε μηθὲν [r] μήτε χειρόκμητον ἔχειν παραπλησίως μήτ' ἄλλο μηθὲν τῶν παρ' ἡμῖν ἐν ὀφθαλμοῖς [s] φαινομένων. Ἐξ ὧν γὰρ τὴν [t] σύστασιν εἴληφεν, οὐδὲν οὕτω δυνατὸν ὁμαλότητα δέξασθαι καὶ ἀκρίβειαν ὡς ἡ [v] τοῦ πέριξ σώματος φύσις· δῆλον γὰρ ὡς ἀνάλογον ἔχει, καθάπερ ὕδωρ πρὸς γῆν, καὶ τὰ πλεῖον ἀεὶ ἀπέχοντα τῶν στοιχείων.

Ἐπεὶ δ' ἔστι διχῶς ἐπὶ τοῦ κυκλοῦ κινηθῆναι, οἷον ἀπὸ 5
τοῦ Α τὴν μὲν ἐπὶ [w] τὸ Β τὴν δ' ἐπὶ τὸ Γ, ὅτι μὲν [x] οὖν οὐκ εἰσὶν ἐναντίαι αὗται, πρότερον εἴρηται. Ἀλλ' [z] εἰ μηδὲν ὡς ἔτυχε [a] μηδ' ἀπὸ ταὐτομάτου ἐνδέχεται ἐν τοῖς ἀϊδίοις εἶναι, ὁ δ' οὐρανὸς ἀΐδιος καὶ ἡ κύκλῳ φορά, διὰ τίνα ποτ' αἰτίαν ἐπὶ θάτερα [b] φέρεται, ἀλλ' οὐκ ἐπὶ θάτερα; Ἀνάγκη γὰρ καὶ τοῦτο ἢ ἀρχὴν εἶναι ἢ εἶναι αὐτοῦ ἀρχήν. Ἴσως 2
μὲν οὖν τὸ περὶ ἐνίων ἀποφαίνεσθαί τι πειρᾶσθαι καὶ τὸ περὶ πάντων καὶ τὸ παριέναι μηθὲν τάχ' ἂν δόξειεν εἶναι σημεῖον ἢ πολλῆς εὐηθείας ἢ πολλῆς προθυμίας. Οὐ μὴν δίκαιόν γε πᾶσιν ὁμοίως ἐπιτιμᾶν, ἀλλ' ὁρᾶν δεῖ τὴν αἰτίαν τοῦ λέγειν [c] τίς ἐστιν, ἔτι δὲ πῶς ἔχων τῷ πιστεύειν, πότερον ἀνθρωπίνως ἢ [d] καρτερικώτερον. [e] Ταῖς μὲν οὖν ἀκριβε- 3
στέραις ἀνάγκαις ὅταν τις ἐπιτύχῃ, τότε χάριν [f] ἔχειν δεῖ τοῖς εὑρίσκουσι, νῦν δὲ τὸ φαινόμενον ῥητέον. Εἰ γὰρ ἡ φύσις ἀεὶ ποιεῖ τῶν ἐνδεχομένων τὸ βέλτιστον, ἔστι δὲ καθάπερ τῶν ἐπὶ τῆς εὐθείας φορῶν ἡ πρὸς τὸν ἄνω τόπον τιμιωτέρα (θειότερος γὰρ [g] ὁ ἄνω τόπος τοῦ κάτω), τὸν αὐτὸν τρόπον [h] καὶ ἡ εἰς τὸ [i] πρόσθεν τῆς εἰς [k] τοὔπισθεν [l] ἔχει, εἴπερ καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν, καθάπερ ἐλέχθη πρότερον. Καὶ μαρτυρεῖ δ' ἡ ῥηθεῖσα ἀπορία, ὅτι ἔχει τὸ 4
πρότερον [m] καὶ ὕστερον· αὕτη γὰρ ἡ αἰτία λύει τὴν ἀπο-

[r] μήτε om. H. [s] γινομένων E.L. [t] σύνθεσιν E.L. et pr. F. [v] τοῦ πρώτου πέριξ M. et corr. F. [w] τὸ Β] τοῦ β E.M. [x] οὖν om. E.M. [z] εἰ] ἢ E. [a] μηδ'] ἢ F. [b] φέρεται om. E. [c] ἥτις M. [d] καρτερώτερον E.F.H.M. [e] τὰς μὲν οὖν ἀκριβεστέρας ἀνάγκας E.H.L. [f] ἔχειν ἐφ' οἷς δεῖ E. [g] τόπος ὁ ἄνω E, ὁ τόπος ὁ ἄνω L. [h] καὶ om. M. [i] ἔμπροσθεν F. [k] τὸ ὄπισθεν E.F. [l] ἔχει δὲ εἴπερ E.L. [m] καὶ τὸ ὕστερον F.H.

ρίαν. Εἰ γὰρ ἔχει ὡς ἐνδέχεται [n] βέλτιστα, αὕτη ἂν [o] εἴη αἰτία καὶ τοῦ εἰρημένου· βέλτιστον γὰρ κινεῖσθαι ἁπλῆν [p] τε κίνησιν καὶ ἄπαυστον, καὶ ταύτην ἐπὶ τὸ [q] τιμιώτερον.

6 Περὶ δὲ [r] τῆς κινήσεως αὐτοῦ, ὅτι [s] ὁμαλής ἐστι καὶ [t] οὐκ ἀνώμαλος, ἐφεξῆς ἂν εἴη τῶν εἰρημένων διελθεῖν. Λέγω δὲ τοῦτο περὶ τοῦ πρώτου οὐρανοῦ καὶ περὶ τῆς πρώτης φορᾶς· ἐν γὰρ τοῖς ὑποκάτω πλείους ἤδη αἱ φοραὶ συνεληλύθασιν
2 εἰς ἕν. Εἰ γὰρ ἀνωμάλως [v] κινήσεται, δῆλον ὅτι ἐπίτασις ἔσται καὶ ἀκμὴ καὶ ἄνεσις τῆς φορᾶς· ἅπασα γὰρ [w] ἡ ἀνώμαλος φορὰ καὶ ἄνεσιν [x] ἔχει καὶ ἐπίτασιν καὶ ἀκμήν. [y] Ἀκμὴ δ' ἐστὶν ἧ ὅθεν φέρεται ἢ οἷ ἢ ἀνὰ μέσον, [y] οἷον [z] ἴσως τοῖς μὲν κατὰ φύσιν [a] οἷ φέρονται, τοῖς δὲ παρὰ φύσιν ὅθεν, τοῖς
3 δὲ ῥιπτουμένοις ἀνὰ μέσον. Τῆς [b] δὲ κύκλῳ φορᾶς [c] οὐκ ἔστιν οὔτε ὅθεν οὔτε οἷ οὔτε μέσον· οὔτε γὰρ ἀρχὴ οὔτε πέρας οὔτε μέσον ἐστὶν αὐτῆς [d] ἁπλῶς· τῷ [e] τε γὰρ χρόνῳ ἀΐδιος καὶ τῷ μήκει συνηγμένη καὶ ἄκλαστος. [v] Ὥστ' εἰ μή ἐστιν [f] ἀκμὴ αὐτοῦ τῆς φορᾶς, οὐδ' [g] ἂν ἀνωμαλία εἴη· ἡ γὰρ
4 ἀνωμαλία γίγνεται διὰ τὴν ἄνεσιν [h] καὶ ἐπίτασιν. [v] Ἔτι [i] ἐπεὶ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἀνάγκη τὴν [k] ἀνωμαλίαν [l] γίγνεσθαι τῆς κινήσεως ἢ διὰ τὸ [m] κινοῦν ἢ διὰ τὸ κινούμενον ἢ δι' ἄμφω· εἴτε γὰρ τὸ κινοῦν μὴ τῇ αὐτῇ δυνάμει [n] κινοῖ, εἴτε τὸ κινούμενον ἀλλοιοῖτο καὶ μὴ διαμένοι [o] τὸ αὐτό, εἴτε ἄμφω [p] μεταβάλλοι, οὐθὲν κωλύει [q] ἀνωμάλως
5 κινεῖσθαι τὸ κινούμενον. Οὐθὲν δὲ τούτων δυνατὸν [r] περὶ τὸν οὐρανὸν γενέσθαι· τὸ μὲν [s] γὰρ κινούμενον δέδεικται ὅτι πρῶτον καὶ ἁπλοῦν καὶ ἀγένητον καὶ ἄφθαρτον καὶ ὅλως ἀμετάβλητον, τὸ δὲ κινοῦν πολὺ μᾶλλον εὔλογον εἶναι τοιοῦτον·

[n] κάλλιστα F. [o] εἴη ἡ αἰτία H. [p] τε om. H.M. [q] τιμιώτατον F.M. [r] τῆς om. F. [s] ὁμαλή M. [t] οὐκ om. M. [v] κινηθήσεται L. [w] ἡ om. E.M. [x] καὶ ἐπίτασιν ἔχει F. [y] οἷον om. E. [z] ἴσως corr. E. [a] οἷ] εἰς ὃ F.M. [b] δὲ κ.] δέ γε κ. F. [c] οὐκ ἐστιν om. M. [d] ἁπλῶς om. E. [e] τε om. H. [f] αὐτοῦ ἀκμὴ F. [g] ἂν om. E.F. [h] καὶ τὴν ἐπίτασιν F.H.M. [i] ἐπὶ E, δ' ἐπεὶ H.M, δ' εἰ F. [k] ὁμαλίαν L. [l] γίγνεσθαι om. H. [m] κινοῦν εἶναι ἢ H. [n] κινεῖ M, κινοίη F. [o] τὸ αὐτὸ om. E. [p] μεταβάλοι M. [q] κινεῖσθαι ἀνωμάλως M. [r] περὶ—γενέσθαι om. pr. E. [s] γὰρ om. F.

τὸ γὰρ πρῶτον τοῦ πρώτου καὶ τὸ ἁπλοῦν τοῦ ἁπλοῦ καὶ τὸ ἄφθαρτον καὶ ἀγένητον τοῦ ἀφθάρτου καὶ ἀγενήτου κινητικόν. [1] Ἐπεὶ οὖν τὸ κινούμενον οὐ μεταβάλλει σῶμα ὄν, 6 οὐδ' ἂν τὸ κινοῦν [t] μεταβάλλοι ἀσώματον ὄν. [u] Ὥστε καὶ τὴν φορὰν ἀδύνατον [v] ἀνώμαλον εἶναι. Καὶ γὰρ εἰ γίνεται [w] ἀνώμαλος, ἤτοι ὅλη μεταβάλλει καὶ ὁτὲ μὲν γίνεται [x] θάττων ὁτὲ δὲ βραδυτέρα πάλιν, ἢ τὰ μέρη αὐτῆς. Τὰ μὲν οὖν 7 μέρη ὅτι οὐκ ἔστιν ἀνώμαλα, φανερόν· ἤδη γὰρ [y] ἂν [z] γεγόνει διάστασις τῶν ἄστρων ἐν τῷ ἀπείρῳ χρόνῳ, τοῦ μὲν θᾶττον κινουμένου τοῦ δὲ βραδύτερον· οὐ φαίνεται δ' οὐθὲν ἄλλως ἔχον τοῖς διαστήμασιν. [1] Ἀλλὰ μὴν οὐδὲ τὴν ὅλην 8 ἐγχωρεῖ μεταβάλλειν· ἡ γὰρ ἄνεσις ἑκάστου γίνεται δι' ἀδυναμίαν, ἡ δ' ἀδυναμία παρὰ φύσιν. Καὶ γὰρ [a] αἱ ἐν τοῖς ζῴοις ἀδυναμίαι [b] πᾶσαι παρὰ φύσιν εἰσίν, οἷον γῆρας καὶ φθίσις. [u] Ὅλη γὰρ [c] ἴσως ἡ σύστασις τῶν ζῴων ἐκ τοιούτων συνέστηκεν ἃ διαφέρει τοῖς οἰκείοις τόποις· οὐθὲν γὰρ τῶν [d] μερῶν ἔχει τὴν αὐτοῦ χώραν. Εἰ οὖν ἐν τοῖς πρώτοις 9 μή ἐστι τὸ παρὰ φύσιν (ἁπλᾶ γὰρ καὶ ἄμικτα καὶ ἐν τῇ οἰκείᾳ χώρᾳ, καὶ οὐθὲν αὐτοῖς ἐναντίον), οὐδ' ἂν ἀδυναμία εἴη, ὥστ' οὐδ' ἄνεσις οὐδ' ἐπίτασις· εἰ γὰρ ἐπίτασις, καὶ ἄνεσις. [u] Ἔτι δὲ [e] καὶ ἄλογον ἄπειρον χρόνον ἀδύνατον [f] εἶναι τὸ 10 κινοῦν, καὶ πάλιν ἄλλον ἄπειρον δυνατόν· οὐθὲν γὰρ φαίνεται ὂν ἄπειρον χρόνον παρὰ φύσιν (ἡ δ' ἀδυναμία παρὰ φύσιν), οὐδὲ τὸν ἴσον χρόνον παρὰ φύσιν καὶ κατὰ φύσιν, οὐδ' [g] ὅλως δυνατὸν [h] καὶ ἀδύνατον. [1] Ἀνάγκη δ', εἰ ἀνίησιν 11 ἡ κίνησις, ἄπειρον ἀνιέναι χρόνον. [1] Ἀλλὰ μὲν οὐδ' ἐπιτείνειν ἀεὶ ἢ πάλιν ἀνιέναι δυνατόν· ἄπειρος γὰρ ἂν εἴη καὶ ἀόριστος ἡ κίνησις, ἅπασαν [i] δέ φαμεν ἔκ τινος εἴς τι εἶναι καὶ ὡρισμένην. [u] Ἔτι [k] δ' εἴ τις λάβοι εἶναί τινα χρόνον 12

[t] μεταβάλοι M. [v] εἶναι ἀνώμαλον M. [w] ἀνωμάλως E. [x] θᾶττον E.L.M. [y] ἂν om. E. [z] ἐγεγόνει F.H.L.M. [a] ἐν τοῖς ζώοις αἱ H.M. [b] πᾶσαι om. M. [c] ἴσως om. F, ante ἐκ ponunt E.L.M. [d] μερῶν αὐτοῦ ἔχει L. [e] ἄλογον καὶ (supra posito κατὰ) ἄπειρον F. [f] εἶναι τὸ corr. E. [g] ἄλλως E. [h] καὶ om. E. [i] δ' ἔφαμεν M, γάρ φαμεν L. [k] δ'] καὶ F.

ἐλάχιστον, οὗ οὐκ ἐνδέχεται ἐν ἐλάττονι κινηθῆναι τὸν οὐρανόν· ὥσπερ [l]γὰρ οὐδὲ [m]βαδίσαι οὐδὲ κιθαρίσαι ἐν ὁτῳοῦν χρόνῳ δυνατόν, ἀλλ' [n]ἑκάστης ἐστὶ πράξεως ὡρισμένος ὁ ἐλάχιστος χρόνος κατὰ τὸ μὴ ὑπερβάλλειν, οὕτως [o]οὐδὲ
13 κινηθῆναι τὸν οὐρανὸν ἐν ὁτῳοῦν [p]χρόνῳ δυνατόν. Εἰ οὖν τοῦτ' ἀληθές, οὐκ ἂν εἴη ἀεὶ ἐπίτασις τῆς φορᾶς, εἰ δὲ μὴ ἐπίτασις, οὐδ' ἄνεσις· ὁμοίως γὰρ ἄμφω καὶ θάτερον, εἴπερ τῷ αὐτῷ [q]τε ἐπιτείνεται τάχει ἢ μείζονι, καὶ ἄπειρον χρό-
14 νον. Λείπεται δὴ λέγειν [r]ἐναλλὰξ εἶναι [s]τῇ κινήσει τὸ θᾶττον καὶ τὸ βραδύτερον· τοῦτο δὲ παντελῶς ἄλογον καὶ πλάσματι ὅμοιον. [t]Ἔτι δὲ καὶ τὸ μὴ λανθάνειν ἐπὶ τούτων εὐλογώτερον· εὐαισθητότερα γὰρ τὰ παρ' ἄλληλα τιθέμενα. [u]Ὅτι μὲν οὖν εἷς [v]τε μόνος [w]ἐστὶν οὐρανός, καὶ οὗτος ἀγένητος καὶ ἀΐδιος, ἔτι δὲ κινούμενος ὁμαλῶς, ἐπὶ τοσοῦτον ἡμῖν εἰρήσθω.

7 Περὶ δὲ τῶν καλουμένων ἄστρων ἑπόμενον ἂν εἴη λέγειν, ἐκ τίνων τε συνεστᾶσι καὶ ἐν ποίοις σχήμασι καὶ τίνες αἱ κινήσεις αὐτῶν. Εὐλογώτατον [x]δὴ καὶ τοῖς εἰρημένοις ἑπόμενον ἡμῖν τὸ ἕκαστον τῶν ἄστρων ποιεῖν [y]ἐκ τούτου τοῦ σώματος ἐν ᾧ τυγχάνει τὴν φορὰν ἔχον, [z]ἐπειδὴ ἔφαμέν τι εἶναι ὃ κύκλῳ [a]φέρεσθαι πέφυκεν· ὥσπερ γὰρ οἱ πύρινα φάσκοντες εἶναι διὰ τοῦτο λέγουσιν, ὅτι τὸ ἄνω σῶμα πῦρ εἶναί φασιν, ὡς εὔλογον [b]ὂν ἕκαστον συνεστάναι ἐκ τούτων ἐν οἷς
2 ἕκαστον ἐστίν, ὁμοίως καὶ ἡμεῖς λέγομεν. [c]Ἡ δὲ θερμότης ἀπ' αὐτῶν καὶ τὸ φῶς γίνεται [d]παρεκτριβομένου τοῦ ἀέρος ὑπὸ τῆς ἐκείνων φορᾶς. Πέφυκε γὰρ ἡ κίνησις ἐκπυροῦν [e]καὶ ξύλα καὶ λίθους καὶ [f]σίδηρον· εὐλογώτερον οὖν τὸ ἐγγύτερον τοῦ πυρός, ἐγγύτερον δὲ [g]ὁ ἀὴρ οἷον καὶ ἐπὶ τῶν φερομένων βελῶν· ταῦτα γὰρ [g]αὐτὰ ἐκπυροῦται οὕτως ὥστε

[l] γὰρ] οὖν H. [m] κιθαρίσαι οὐδὲ βαδίσαι H.L. [n] ἔστιν ἑκάστης H.L. [o] οὔτε E. [p] χρόνῳ om. E. [q] τε om. M. [r] ἐνάλλαξιν (omisso εἶναι) E. [s] τὴν κίνησιν εἰς τὸ M. [t] τε om. F. [v] ἐστὶν om. M. [w] ὁ οὐρανὸς H.L.M. [x] δὲ F.L. [y] ἐκ τοῦ αὐτοῦ σώματος H.M. [z] ἐπεὶ δὲ E. [a] πέφυκε φέρεσθαι H. [b] ὂν om. E. [c] παρατριβομένου L. [d] καὶ τὰ ξύλα H. [e] σίδηρα F. [f] ὁ om. E. [g] αὐτά τε ἐκπ. F.

τήκεσθαι τὰς [h] μολυβδίδας, καὶ [i] ἐπείπερ [k] αὐτὰ ἐκπυροῦται, ἀνάγκη καὶ τὸν κύκλῳ αὐτῶν ἀέρα [l] τὸ αὐτὸ [m] τοῦτο πάσχειν. Ταῦτα μὲν οὖν [n] αὐτὰ ἐκθερμαίνεται διὰ τὸ ἐν ἀέρι φέρεσθαι, 3
[o] ὃς διὰ τὴν πληγὴν τῇ κινήσει γίγνεται πῦρ· τῶν [p] δὲ ἄνω ἕκαστον ἐν τῇ σφαίρᾳ φέρεται, ὥστ' αὐτὰ μὲν μὴ ἐκπυροῦσθαι, τοῦ δ' ἀέρος ὑπὸ τὴν τοῦ [q] κυκλικοῦ σώματος σφαῖραν ὄντος ἀνάγκη φερομένης ἐκείνης [r] ἐκθερμαίνεσθαι, καὶ ταύτῃ μάλιστα ᾗ ὁ ἥλιος τετύχηκεν ἐνδεδεμένος. Διὸ [s] δὴ πλησιά- 4
ζοντός τε αὐτοῦ καὶ ἀνίσχοντος καὶ ὑπὲρ [t] ἡμᾶς ὄντος γίγνεται [v] ἡ θερμότης. [w] Ὅτι μὲν οὖν οὔτε πύρινά ἐστιν [w] οὔτ' ἐν πυρὶ φέρεται, ταῦθ' ἡμῖν εἰρήσθω περὶ αὐτῶν.

[1] Ἐπεὶ δὲ φαίνεται καὶ τὰ ἄστρα μεθιστάμενα καὶ ὅλος ὁ 8
οὐρανός, ἀναγκαῖον ἤτοι ἠρεμούντων ἀμφοτέρων γίγνεσθαι τὴν μεταβολήν, ἢ κινουμένων, ἢ τοῦ μὲν ἠρεμοῦντος τοῦ δὲ κινουμένου. [1] Ἀμφότερα μὲν τοίνυν ἠρεμεῖν ἀδύνατον ἠρεμούσης [x] γε τῆς γῆς· [y] οὐ γὰρ ἂν ἐγίγνετο τὰ [z] φαινόμενα. Τὴν δὲ γῆν ὑποκείσθω ἠρεμεῖν. Λείπεται [a] δὴ [b] ἢ ἀμφότερα κινεῖσθαι, ἢ τὸ μὲν κινεῖσθαι τὸ δ' ἠρεμεῖν. Εἰ μὲν [c] οὖν 2
ἀμφότερα [d] κινήσεται, ἄλογον τὸ ταὐτὰ τάχη τῶν ἄστρων εἶναι καὶ τῶν κύκλων· ἕκαστον [e] γὰρ ὁμοταχὲς [f] ἔσται τῷ κύκλῳ καθ' [g] ὃν φέρεται. Φαίνεται γὰρ ἅμα τοῖς κύκλοις καθιστάμενα πάλιν εἰς τὸ αὐτό. Συμβαίνει οὖν ἅμα τό τε ἄστρον διεληλυθέναι τὸν κύκλον καὶ τὸν κύκλον [h] ἐνηνέχθαι τὴν αὐτοῦ φοράν, διεληλυθότα τὴν [i] αὐτοῦ περιφέρειαν. Οὐκ 3
ἔστι δ' εὔλογον τὸ τὸν αὐτὸν λόγον ἔχειν τὰ τάχη τῶν [k] ἄστρων καὶ τὰ μεγέθη τῶν κύκλων. Τοὺς μὲν γὰρ κύκλους οὐθὲν ἄτοπον [l] ἀλλ' ἀναγκαῖον ἀνάλογον ἔχειν τὰ τάχη τοῖς μεγέθεσι, τῶν δ' ἄστρων ἕκαστον [m] τῶν ἐν τούτοις οὐθαμῶς

[h] μολιβδίδας H.L.M, μολυβδίνας E. [i] περ om. H.M. [k] αὐταὶ ἐκπυροῦνται L. [l] ταυτὸ M. [m] τοῦτο om. L. [n] αὐτὰ om. E.L. [o] ὃς] ὅσῳ L. [p] δὴ F. [q] κύκλου E, κύκλῳ F.L. [r] θερμαίνεσθαι F. [s] δὴ om. H.M. [t] ἡμῶν E.M. [v] ἡ] καὶ F. [w] οὐδὲ E.L. [x] γε om. F. [y] οὐδὲ γὰρ F. [z] γινόμενα L. [a] δὴ] δι E, δ' H.L. [b] ἢ post δὴ om. E.F. [c] οὖν om. F. [d] κινηθήσεται L, κινεῖται M. [e] γὰρ δὴ ὁμ. E.L. [f] ἐστι F. [g] ὃ E. [h] ἠνέχθαι E.L. [i] αὐτοῦ om. E.H. [k] ἀστέρων E. [l] ἀλλ'] ἀλλὰ καὶ F.L. [m] τῶν om. F.H.M.

4 εὔλογον. Εἴτε γὰρ ἐξ ἀνάγκης τὸ τὸν [n] μείζω κύκλον φερόμενον θᾶττον ἔσται, δῆλον ὅτι κἂν μετατεθῇ τὰ ἄστρα εἰς τοὺς ἀλλήλων κύκλους, τὸ μὲν ἔσται θᾶττον τὸ δὲ βραδύτερον· οὕτω δ' οὐκ ἂν ἔχοιεν οἰκείαν κίνησιν, ἀλλὰ φέροιντ'
5 ἂν ὑπὸ τῶν κύκλων. Εἴτε ἀπὸ ταὐτομάτου συνέπεσεν, οὐδ' οὕτως εὔλογον ὥστ' ἐν ἅπασιν ἅμα τόν τε κύκλον εἶναι [o] μείζω καὶ τὴν φορὰν [p] θάττω [q] τοῦ ἐν αὐτῷ ἄστρου· τὸ μὲν γὰρ ἓν ἢ δύο τοῦτον τὸν τρόπον ἔχειν οὐθὲν ἄτοπον, τὸ δὲ πάνθ' ὁμοίως πλάσματι ἔοικεν. [v] Ἅμα δὲ καὶ οὐκ ἔστιν ἐν τοῖς φύσει τὸ ὡς ἔτυχεν, οὐδὲ τὸ πανταχοῦ καὶ πᾶσιν ὑπάρχον
6 τὸ ἀπὸ τύχης. [t] Ἀλλὰ μὴν πάλιν εἰ οἱ μὲν κύκλοι [r] μένουσιν, αὐτὰ δὲ τὰ ἄστρα κινεῖται, [s] ταῦτα καὶ ὁμοίως ἔσται ἄλογα· συμβήσεται γὰρ θᾶττον κινεῖσθαι τὰ ἔξω, καὶ τὰ τάχη εἶναι
7 κατὰ τὰ μεγέθη τῶν κύκλων. [t] Ἐπεὶ τοίνυν οὔτ' ἀμφότερα κινεῖσθαι εὔλογον οὔτε τὸ [t] ἄστρον μόνον, λείπεται τοὺς μὲν κύκλους κινεῖσθαι, τὰ δὲ ἄστρα ἠρεμεῖν καὶ ἐνδεδεμένα τοῖς κύκλοις [v] φέρεσθαι· μόνως [w] γὰρ [x] οὕτως οὐθὲν ἄλογον [y] συμβαίνει· τό τε γὰρ θᾶττον εἶναι τοῦ μείζονος κύκλου [z] τὸ τάχος εὔλογον περὶ τὸ αὐτὸ κέντρον ἐνδεδεμένων (ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις τὸ μεῖζον σῶμα [a] θᾶττον φέρεται τὴν οἰκείαν φοράν, οὕτως καὶ ἐν τοῖς ἐγκυκλίοις· μεῖζον γὰρ τῶν [b] ἀφαιρουμένων ὑπὸ τῶν [c] ἐκ τοῦ κέντρου τὸ τοῦ μείζονος [d] κύκλου τμῆμα, ὥστ' εὐλόγως ἐν τῷ ἴσῳ χρόνῳ ὁ μείζων περιοισθήσεται κύκλος), τό τε μὴ [e] διασπᾶσθαι τὸν οὐρανὸν διά τε τοῦτο συμβήσεται καὶ [f] ὅτι δέδεικται συνεχὲς ὂν τὸ
8 ὅλον. [u] Ἔτι δ' [g] ἐπεὶ σφαιροειδῆ τὰ ἄστρα, καθάπερ οἵ τ' ἄλλοι φασὶ καὶ ἡμῖν ὁμολογούμενον εἰπεῖν, ἐξ ἐκείνου γε τοῦ σώματος γεννῶσιν. Τοῦ [h] δὲ σφαιροειδοῦς δύο κινήσεις εἰσὶ καθ' αὐτό, κύλισις καὶ δίνησις. Εἴπερ οὖν [i] κινοῖτο τὰ

[n] μείζονα F. [o] μείζονα (supra posito ω) F. [p] θᾶττον L. [q] τῶν—— ἄστρων M. [r] μένουσιν οἱ αὐτοὶ αὐτὰ M. [s] τὰ αὐτὰ E.F.H.L.M. [t] ἄστρον] ἕτερον E.L. [v] περιφέρεσθαι F. [w] γὰρ] γὰρ ἂν L. [x] οὐδὲν οὕτως F. [y] συμβαίνῃ L. [z] τὸ ante τάχος om. H.M, et corr. F. [a] φέρεται θᾶττον H. [b] ἀφαιρουνειρημένων E. [c] ἐκ om. F. [d] κύκλου om. E. [e] διεσπάσθαι F.H.M. [f] διότι F. [g] ἐπειδὴ E.L. [h] δὲ om. M. [i] κινεῖται F.H.M.

ἄστρα δι' αὐτῶν, τὴν ἑτέραν [k]ἂν [l]κινοῖτο τούτων· ἀλλ' [m]οὐδετέραν φαίνεται. Δινούμενα [n]μὲν γὰρ [o]ἔμενεν ἂν ἐν ταὐτῷ καὶ οὐ [p]μετέβαλλε [q]τὸν τόπον, [r]ὅπερ φαίνεταί [s]τε καὶ πάντες φασίν. [t]Ἔτι δὲ πάντα μὲν εὔλογον τὴν αὐτὴν [t]κί- 9
νησιν κινεῖσθαι, μόνος δὲ δοκεῖ τῶν ἄστρων ὁ ἥλιος [v]τοῦτο δρᾶν, ἀνατέλλων [w]ἢ δύνων, καὶ οὗτος οὐ δι' αὐτὸν ἀλλὰ διὰ τὴν ἀπόστασιν τῆς ἡμετέρας ὄψεως· ἡ γὰρ ὄψις ἀποτεινομένη μακρὰν [x]ἐλίσσεται διὰ τὴν ἀσθένειαν. [v]Ὅπερ [y]αἴτιον 10
ἴσως καὶ τοῦ στίλβειν φαίνεσθαι τοὺς ἀστέρας [z]τοὺς ἐνδεδεμένους, τοὺς δὲ πλάνητας μὴ στίλβειν· οἱ μὲν γὰρ πλάνητες ἐγγύς εἰσιν, ὥστ' ἐγκρατὴς οὖσα πρὸς αὐτοὺς ἀφικνεῖται ἡ ὄψις· πρὸς δὲ τοὺς μένοντας κραδαίνεται διὰ τὸ μῆκος, ἀποτεινομένη πόρρω λίαν. [u]Ὁ δὲ τρόμος αὐτης ποιεῖ τοῦ ἄστρου δοκεῖν εἶναι τὴν κίνησιν· [a]οὐθὲν γὰρ διαφέρει κινεῖν τὴν ὄψιν ἢ τὸ ὁρώμενον. [i]Ἀλλὰ μὴν ὅτι οὐδὲ κυλίεται τὰ 11
ἄστρα, φανερόν· τὸ μὲν γὰρ [b]κυλιόμενον στρέφεσθαι ἀνάγκη, τῆς δὲ σελήνης ἀεὶ δῆλόν ἐστι τὸ καλούμενον πρόσωπον. [v]Ὥστ' ἐπεὶ κινούμενα μὲν δι' αὐτῶν τὰς οἰκείας [c]κινεῖσθαι κινήσεις εὔλογον, ταύτας δ' οὐ φαίνεται κινούμενα, δῆλον ὅτι οὐκ ἂν κινοῖτο δι' αὐτῶν. Πρὸς δὲ τούτοις ἄλογον τὸ μηθὲν 12
[d]ὄργανον αὐτοῖς ἀποδοῦναι τὴν φύσιν πρὸς τὴν κίνησιν· οὐθὲν γὰρ ὡς ἔτυχε ποιεῖ ἡ φύσις, οὐδὲ τῶν μὲν ζώων φροντίσαι, τῶν δ' οὕτω τιμίων ὑπεριδεῖν, ἀλλ' ἔοικεν ὥσπερ ἐπίτηδες ἀφελεῖν πάντα δι' ὧν ἐνεδέχετο προϊέναι καθ' [e]αὑτά, καὶ ὅτι πλεῖστον ἀποστῆσαι τῶν [f]ἐχόντων ὄργανα πρὸς κίνησιν. Διὸ καὶ εὐλόγως ἂν δόξειεν ὅ τε [g]ὅλος οὐρανὸς [h]σφαιροειδὴς 13
εἶναι καὶ ἕκαστον τῶν ἄστρων. Πρὸς μὲν γὰρ τὴν ἐν [i]τῷ αὐτῷ κίνησιν ἡ σφαῖρα τῶν σχημάτων χρησιμώτατον (οὕτω

[k] ἂν om. F. [l] κινοῖντο M. [m] οὐδετέραν εἶναι φ. pr. F. [n] μὲν om. M. [o] ἂν ἔμενεν E, ἂν ἔμεινεν F, ἔμεινεν ἂν H, ἔμενεν L. [p] μετέβαλε H. [q] τὸν om. E.H. [r] ὅπερ κινούμενα φαίνεται F. [s] τε om. E.L. [t] κινεῖσθαι κίνησιν F. [v] τοῦτο τὸ δινεῖσθαι δρᾶν pr. F. [w] ἢ] καὶ H.M. [x] ἐλίσσεται L. [y] ἴσως αἴτιον M. [z] τοὺς post ἀστ. om. L. [a] οὐδὲ M. [b] κυλυόμενον F. [c] κινήσεις κινεῖσθαι H.M. [d] αὐτοῖς ὄργανον M. [e] αυτὸ E. [f] ἐχόντων om. E. [g] ὅλος om. M. [h] σφαιρ. ἂν εἶναι M. [i] ταυτῷ M, ἑαυτῷ H.

γὰρ ἂν [k] καὶ τάχιστα κινοῖτο καὶ μάλιστα κατέχοι τὸν [l] αὐτὸν τόπον), πρὸς δὲ τὴν εἰς τὸ πρόσθεν ἀχρηστότατον· ἥκιστα γὰρ ὅμοιον τοῖς δι' [m] αὑτῶν κινητικοῖς· οὐδὲν γὰρ ἀπηρτημένον ἔχει οὐδὲ [n] προέχον, ὥσπερ τὸ εὐθύγραμμον, ἀλλὰ πλεῖστον ἀφέστηκε τῷ σχήματι τῶν πορευτικῶν σωμάτων.

14 Ἐπεὶ οὖν δεῖ τὸν μὲν οὐρανὸν κινεῖσθαι τὴν ἐν [o] αὑτῷ κίνησιν, τὰ [p] ἄλλα [q] δ' ἄστρα μὴ [r] προϊέναι δι' αὐτῶν, εὐλόγως ἂν ἑκάτερον εἴη σφαιροειδές· οὕτω γὰρ μάλιστα τὸ μὲν [s] κινήσεται τὸ δ' ἠρεμήσει.

9 Φανερὸν δ' ἐκ τούτων ὅτι καὶ τὸ φάναι γίνεσθαι φερομένων ἁρμονίαν, ὡς συμφώνων γινομένων τῶν ψόφων, κομψῶς μὲν εἴρηται καὶ περιττῶς ὑπὸ τῶν εἰπόντων, οὐ μὴν 2 οὕτως ἔχει τἀληθές. Δοκεῖ γάρ τισιν ἀναγκαῖον εἶναι τηλικούτων φερομένων σωμάτων γίγνεσθαι ψόφον, ἐπεὶ καὶ τῶν παρ' ἡμῖν οὔτε τοὺς ὄγκους ἐχόντων ἴσους οὔτε τοιούτῳ τάχει φερομένων· ἡλίου [t] δὲ καὶ σελήνης, ἔτι [v] τε τοσούτων τὸ πλῆθος ἄστρων καὶ τὸ μέγεθος φερομένων τῷ τάχει [w] τοιαύτην φορὰν ἀδύνατον μὴ γίγνεσθαι ψόφον ἀμήχανόν τινα 3 τὸ μέγεθος. Ὑποθέμενοι δὲ ταῦτα καὶ τὰς ταχυτῆτας [x] ἐκ τῶν ἀποστάσεων ἔχειν τοὺς τῶν συμφωνιῶν λόγους, ἐναρμόνιόν [y] φασι γίνεσθαι τὴν φωνὴν φερομένων κύκλῳ τῶν ἄστρων.

4 Ἐπεὶ δ' ἄλογον [z] ἐδόκει τὸ μὴ συνακούειν ἡμᾶς [a] τῆς φωνῆς ταύτης, αἴτιον τούτου φασὶν εἶναι τὸ [b] γιγνομένοις εὐθὺς ὑπάρχειν τὸν ψόφον, ὥστε μὴ διάδηλον εἶναι πρὸς τὴν ἐναντίαν σιγήν· πρὸς ἄλληλα γὰρ φωνῆς καὶ σιγῆς εἶναι τὴν διάγνωσιν, ὥστε καθάπερ τοῖς χαλκοτύποις διὰ συνήθειαν οὐθὲν δοκεῖ διαφέρειν, καὶ τοῖς ἀνθρώποις ταὐτὸ συμβαίνειν.

5 Ταῦτα δή, καθάπερ [c] εἴρηται πρότερον, ἐμμελῶς μὲν λέγεται καὶ μουσικῶς, ἀδύνατον δὲ τοῦτον ἔχειν τὸν τρόπον. Οὐ

[k] καὶ post ἂν om. H.M. [l] αὐτοῦ H, αὑτοῦ F. [m] ἑαυτῶν M. [n] προσεχὲς E.L. [o] ἑαυτῷ E, τῷ αὐτῷ F. [p] ἄλλα om. H.M. [q] δ' om. F. [r] προσιέναι δι' ἑαυτῶν E. [s] κινήσει γρ. M. [t] δὲ] codices τε. [v] τε] δὲ F.H.L.M. [w] τοσαύτην F. [x] ἐκ om. E. [y] γίνεσθαί φασι F.H.M. [z] δοκεῖ E.L. [a] τῆς φωνῆς om. E. [b] γενομένοις H, γινομένων M, γινόμενον E. [c] λέγεται] εἴρηται E.

γὰρ μόνον τὸ μηθὲν ἀκούειν ἄτοπον, περὶ οὗ λύειν [d]ἐγχειροῦσι τὴν αἰτίαν, ἀλλὰ καὶ [e]τὸ [f]μηδὲν πάσχειν χωρὶς αἰσθήσεως. Οἱ γὰρ ὑπερβάλλοντες ψόφοι διακναίουσι καὶ τῶν ἀψύχων σωμάτων τοὺς ὄγκους, οἷον ὁ τῆς βροντῆς [g]διίστησι λίθους καὶ τὰ [h]καρτερώτατα τῶν σωμάτων. Τοσούτων δὲ 6
φερομένων, καὶ τοῦ ψόφου διιόντος πρὸς τὸ φερόμενον μέγεθος, πολλαπλάσιον [i]μέγεθος ἀναγκαῖον ἀφικνεῖσθαί τε δεῦρο καὶ τὴν ἰσχὺν ἀμήχανον εἶναι τῆς βίας. [k]Ἀλλ' εὐλόγως 7
οὔτ' ἀκούομεν οὔτε πάσχοντα φαίνεται τὰ σώματα βίαιον οὐδὲν πάθος, διὰ τὸ μὴ ψοφεῖν· ἅμα δ' ἐστὶ τό τ' αἴτιον τούτων δῆλον, καὶ μαρτύριον τῶν εἰρημένων ἡμῖν λόγων, ὡς εἰσὶν ἀληθεῖς· τὸ γὰρ ἀπορηθὲν καὶ ποιῆσαν τοὺς Πυθαγορείους [k]φάναι γίγνεσθαι [l]συμφωνίαν τῶν φερομένων ἡμῖν [m]ἐστὶ τεκμήριον. [n]Ὅσα μὲν [o]γὰρ αὐτὰ φέρεται, ποιεῖ ψό- 8
φον καὶ πληγήν· ὅσα δ' ἐν φερομένῳ ἐνδέδεται ἢ ἐνυπάρχει, καθάπερ ἐν τῷ πλοίῳ τὰ μόρια, οὐχ οἷόν τε ψοφεῖν, οὐδ' [p]αὖ τὸ πλοῖον, εἰ φέροιτο ἐν ποταμῷ. Καίτοι τοὺς αὐτοὺς λόγους ἂν ἐξείη λέγειν, ὡς [q]ἄτοπον εἰ μὴ φερόμενος ὁ ἵστὸς καὶ ἡ πρύμνα ποιεῖ ψόφον πολὺν τηλικαύτης [r]νεώς, ἢ πάλιν αὐτὸ τὸ πλοῖον κινούμενον. Τὸ δ' ἐν μὴ φερομένῳ φερό- 9
μενον ποιεῖ ψόφον· ἐν φερομένῳ δὲ συνεχὲς καὶ μὴ [r]ποιοῦντι πληγὴν ἀδύνατον ψοφεῖν. [v]Ὥστ' ἐνταῦθα λεκτέον ὡς εἴπερ [s]ἐφέρετο τὰ σώματα τούτων εἴτ' ἐν ἀέρος πλήθει κεχυμένῳ κατὰ τὸ πᾶν εἴτε πυρός, ὥσπερ πάντες φασίν, ἀναγκαῖον [t]ποιεῖν ὑπερφυᾶ τῷ μεγέθει [v]τὸν ψόφον, τούτου δὲ γινομένου καὶ δεῦρ' ἀφικνεῖσθαι καὶ διακναίειν. [w]Ὥστ' [w]ἐπείπερ 10
οὐ φαίνεται τοῦτο συμβαῖνον, οὔτ' [x]ἂν ἔμψυχον οὔτε βίαιον φέροιτο φορὰν οὐθὲν αὐτῶν, ὥσπερ τὸ μέλλον ἔσεσθαι προνοούσης τῆς φύσεως, ὅτι μὴ τοῦτον τὸν τρόπον [y]ἐχούσης τῆς

[d] τὴν αἰτίαν ἐγχειροῦσιν H.M. [e] τὸ om. E. [f] μηδὲ M. [g] διΐστησι καὶ λίθους καὶ H. [h] καρτερικώτατα L. [i] μέγεθος om. H.M. et corr. F. [k] φάναι τί γίγνεσθαι L. [l] τὴν συμφωνίαν F. [m] ἐστὶ om. E. [n] γὰρ καθ' αὑτὰ F. [o] αὐτὸ H.M. [p] ἄτοπος M. [q] νηὸς M. [r] ποιοῦν F.H.M. [s] ἐφέροντο F. [t] ὑπερφυᾶ τῷ μεγέθει ποιεῖν H.M. [v] τὸν om. E.L. [w] εἴπερ H.M. [x] ἂν om. H.M. [y] τῆς κινήσεως ἐχούσης H.M.

κινήσεως οὐθὲν [z] ἂν ἦν τῶν περὶ τὸν [a] δεῦρο τόπον ὁμοίως ἔχον. [γ]Οτι μὲν οὖν σφαιροειδῆ τὰ ἄστρα καὶ ὅτι οὐ κινεῖται δι' αὐτῶν, εἴρηται.

10 Περὶ δὲ τῆς τάξεως αὐτῶν, ὃν μὲν τρόπον [b] ἕκαστον [c] κεῖται τῷ τὰ μὲν εἶναι πρότερα τὰ δ' ὕστερα, καὶ πῶς ἔχει πρὸς ἄλληλα τοῖς ἀποστήμασιν, ἐκ τῶν [d] περὶ [e] ἀστρο-
2 λογίαν θεωρείσθω· λέγεται γὰρ ἱκανῶς. Συμβαίνει δὲ κατὰ λόγον γίγνεσθαι τὰς ἑκάστου κινήσεις τοῖς ἀποστήμασι τῷ τὰς μὲν εἶναι θάττους τὰς δὲ βραδυτέρας· ἐπεὶ γὰρ ὑπόκειται τὴν μὲν ἐσχάτην [f] τοῦ οὐρανοῦ περιφορὰν ἁπλῆν τ' εἶναι καὶ ταχίστην, τὰς δὲ τῶν ἄλλων βραδυτέρας [g] τε καὶ πλείους (ἕκαστον γὰρ ἀντιφέρεται τῷ οὐρανῷ κατὰ τὸν αὐτοῦ κύκλον), εὔλογον ἤδη [h] τὸ μὲν ἐγγυτάτω τῆς ἁπλῆς καὶ πρώτης περιφορᾶς ἐν πλείστῳ χρόνῳ διιέναι τὸν αὐτοῦ κύκλον, τὸ δὲ πορρωτάτω ἐν ἐλαχίστῳ, τῶν δ' ἄλλων [i] ἀεὶ τὸ
3 ἐγγύτερον ἐν πλείονι, τὸ δὲ πορρώτερον ἐν ἐλάττονι. Τὸ μὲν γὰρ ἐγγυτάτω μάλιστα κρατεῖται, τὸ δὲ πορρωτάτω πάντων ἥκιστα διὰ τὴν ἀπόστασιν· τὰ δὲ μεταξὺ κατὰ λόγον ἤδη τῆς ἀποστάσεως, ὥσπερ καὶ δεικνύουσιν οἱ μαθηματικοί.

11 Τὸ δὲ σχῆμα τῶν [k] ἄστρων ἑκάστου σφαιροειδὲς μάλιστ' ἄν τις [l] εὐλόγως ὑπολάβοι. [δ]Επεὶ γὰρ δέδεικται ὅτι οὐ πεφύκασι κινεῖσθαι δι' [m] αὑτῶν, ἡ δὲ φύσις οὐδὲν ἀλόγως οὐδὲ μάτην ποιεῖ, δῆλον ὅτι καὶ σχῆμα τοιοῦτον [n] ἀπέδωκε
2 τοῖς ἀκινήτοις ὃ ἥκιστά ἐστι κινητικόν. [ε]Ηκιστα δὲ κινητικὸν ἡ σφαῖρα διὰ τὸ [o] μηδὲν [p] ἔχειν ὄργανον πρὸς τὴν κίνησιν. [ϛ]Ωστε [q] δῆλον ὅτι σφαιροειδῆ ἂν εἴη τὸν ὄγκον. [ζ]Ετι δ' ὁμοίως μὲν ἅπαντα καὶ ἕν, ἡ δὲ σελήνη δείκνυται διὰ

[z] ἂν ἦν] οἷον E. [a] δεῦρο] δεύτερον M. [b] ἕκαστα E.M, ἕκαστον αὐτῶν F. [c] κινεῖται E.H L.M. [d] περὶ] πρὸς M. [e] ἀστρολογίας F. [f] περιφορὰν τοῦ οὐρανοῦ M. [g] τε om. F. [h] τὸ τὰ μὲν ἐγγύτατα F. [i] ἀεὶ τὸ ἐγγύτατον F, τὸ ἐγγύτερον ἀεὶ E.L. [k] ἀστέρων H. [l] ὑπολάβοι εὐλόγως F. [m] ἑαυτῶν F. [n] ἀποδέδωκε F. [o] μὴ δὲ ἓν H. [p] ἔχειν ἓν ὄργανον M. [q] σφαιροειδῆ δηλονότι ἂν εἴη τὰ ἄστρα κατὰ τὸν ὄγκον H.

τῶν περὶ τὴν ὄψιν ὅτι σφαιροειδής· οὐ γὰρ ἂν ἐγίνετο αὐξανομένη καὶ φθίνουσα τὰ μὲν πλεῖστα μηνοειδὴς [r] ἢ ἀμφίκυρτος, ἅπαξ δὲ διχότομος. Καὶ πάλιν διὰ τῶν ἀστρο- 3
λογικῶν, ὅτι οὐκ ἂν ἦσαν αἱ τοῦ ἡλίου ἐκλείψεις [s] μηνοειδεῖς. [v]Ωστ' [t] εἴπερ ἓν τοιοῦτον, δῆλον ὅτι καὶ τἆλλα ἂν εἴη σφαιροειδῆ.

Δυοῖν δ' [v] ἀπορίαιν οὔσαιν, περὶ ὧν εἰκότως [w] ἂν [x] ὁστισ- 12
οὖν ἀπορήσειε, πειρατέον λέγειν τὸ φαινόμενον, αἰδοῦς ἀξίαν εἶναι νομίζοντας τὴν προθυμίαν μᾶλλον ἢ θράσους, εἴ τις διὰ τὸ φιλοσοφίας [y] διψῆν καὶ μικρὰς εὐπορίας ἀγαπᾷ περὶ ὧν τὰς μεγίστας ἔχομεν ἀπορίας. [z] [v]Εστι δὲ πολλῶν ὄντων τοιούτων οὐχ ἥκιστα θαυμαστόν, διὰ τίνα ποτ' αἰτίαν οὐκ ἀεὶ τὰ πλεῖον ἀπέχοντα τῆς πρώτης φορᾶς κινεῖται πλείους [a] κινήσεις, ἀλλὰ τὰ μεταξὺ πλείστας. Εὔλογον γὰρ [b] ἂν 2
[c] δόξειεν εἶναι τοῦ πρώτου σώματος μίαν κινουμένου φορὰν τὸ πλησιαίτατον ἐλαχίστας κινεῖσθαι κινήσεις, οἷον δύο, τὸ δ' ἐχόμενον τρεῖς ἢ τινα ἄλλην τοιαύτην τάξιν. Νῦν δὲ συμβαίνει τοὐναντίον· ἐλάττους [d] γὰρ ἥλιος καὶ σελήνη κινοῦνται κινήσεις ἢ τῶν πλανωμένων ἄστρων ἕνια· καίτοι πορρώτερον τοῦ μέσου καὶ πλησιαίτερον τοῦ πρώτου σώματός [e] εἰσιν αὐτῶν. Δῆλον δὲ τοῦτο περὶ ἐνίων καὶ τῇ ὄψει γέ- 3
γονεν· τὴν γὰρ [f] σελήνην ἑωράκαμεν διχότομον μὲν οὖσαν, [g] ὑπελθοῦσαν δὲ [h] τὸν ἀστέρα τὸν [i] [v]Αρεος, καὶ [k] ἀποκρυφθέντα μὲν κατὰ τὸ μέλαν αὐτῆς, ἐξελθόντα δὲ κατὰ τὸ [l] φανὸν καὶ λαμπρόν. [t]Ομοίως δὲ καὶ περὶ τοὺς ἄλλους ἀστέρας λέγουσιν [m] οἱ πάλαι τετηρηκότες ἐκ [n] πλείστων ἐτῶν Αἰγύπτιοι καὶ Βαβυλώνιοι, παρ' ὧν πολλὰς πίστεις

r ἢ] καὶ F. s μηνοειδής M. t εἴπερ ἐστὶν ἓν F. v ἀποριῶν οὐσῶν F. w ἂν om. E. x ὁστισοῦν ante εἰκότως H. y διψᾶν M. z ἔτι F.H.L.M. a κινήσεις] φορὰς F. b ἂν om. H. c εἶναι δόξειε F.H.M. d γὰρ ὁ ἥλιος καὶ ἡ σ. κινεῖται F.H.M. e αὐτῶν εἰσὶν F. f σελήνην] ὕλην ἣν E. g ὑπεισελθοῦσαν F. h τῶν ἀστέρων τὸν τοῦ F.H.M, τῶν ἄστρων τοῦ L. i ἄρεως M. k ἀποκρυφέντα E. l φανερὸν H. m οἱ παρατετηρηκότες F.H.M. n πλείστων αἰτωλῶν ἐτῶν F.

4 ἔχομεν περὶ ἑκάστου τῶν ἄστρων. Τοῦτό τε [o] δὴ δικαίως ἀπορήσειεν ἄν τις, [p] καὶ διὰ τίνα ποτ' αἰτίαν ἐν μὲν τῇ πρώτῃ [q] φορᾷ τοσοῦτόν ἐστιν ἄστρων πλῆθος ὥστε τῶν ἀναριθμήτων εἶναι δοκεῖν τὴν πᾶσαν τάξιν, [r] τῶν δ' ἄλλων ἓν χωρὶς ἕκαστον, δύο [s] δ' ἢ πλείω οὐ φαίνεται ἐν τῇ αὐτῇ ἐνδε-
5 δεμένα φορᾷ. Περὶ [t] δὴ τούτων ζητεῖν μὲν καλῶς ἔχει καὶ τὴν ἐπὶ [v] πλεῖον σύνεσιν, καίπερ μικρὰς [w] ἔχοντας ἀφορμὰς καὶ τοσαύτην [x] ἀπόστασιν ἀπέχοντας τῶν περὶ αὐτὰ συμβαινόντων· ὅμως [y] δ' ἐκ τῶν τοιούτων θεωροῦσιν οὐδὲν ἄλο-
6 γον ἂν δόξειεν [z] εἶναι τὸ νῦν ἀπορούμενον. [1]Αλλ' ἡμεῖς ὡς περὶ σωμάτων [a] αὐτῶν μόνον, καὶ μονάδων τάξιν μὲν ἐχόντων, ἀψύχων δὲ [b] πάμπαν, διανοούμεθα· δεῖ δ' ὡς μετεχόντων ὑπολαμβάνειν πράξεως καὶ ζωῆς· οὕτω γὰρ οὐθὲν [c] δόξει
7 παράλογον εἶναι τὸ συμβαῖνον. [1]Εοικε γὰρ τῷ μὲν ἄριστα ἔχοντι ὑπάρχειν τὸ [d] εὖ ἄνευ πράξεως, τῷ δ' ἐγγύτατα διὰ ὀλίγης καὶ μιᾶς, τοῖς δὲ [e] πορρωτάτω διὰ πλειόνων, ὥσπερ ἐπὶ σώματος τὸ μὲν οὐδὲ γυμναζόμενον εὖ [f] ἔχει, τὸ δὲ [g] μικρὰ περιπατῆσαν, [h] τῷ δὲ καὶ [i] δρόμου δεῖ καὶ πάλης καὶ
8 [k] κονίσεως, πάλιν δ' ἑτέρῳ οὐδ' ὁποσαοῦν πονοῦντι τοῦτό γ' ἂν ἔτι ὑπάρξαι τἀγαθόν, ἀλλ' ἕτερόν τι. [1]Εστι δὲ [l] τὸ κατορθοῦν χαλεπὸν ἢ [m] τὸ πολλὰ ἢ τὸ πολλάκις, οἷον μυρίους ἀστραγάλους [n] Χίους [o] βαλεῖν ἀμήχανον, ἀλλ' ἕνα [p] ἢ δύο ῥᾷον. Καὶ πάλιν ὅταν τοδὶ μὲν δέῃ τοῦδ' ἕνεκα ποιῆσαι, τοῦτο δ' ἄλλου καὶ τοῦτο ἑτέρου, ἐν μὲν ἑνὶ [q] ἢ [r] δυσὶ [s] ῥᾷον
9 ἐπιτυχεῖν, ὅσῳ δ' ἂν διὰ πλειόνων, χαλεπώτερον. Διὸ δεῖ

[o] δὴ om. E.M. [p] καὶ ὅτι διὰ M. [q] φορᾷ om. F. [r] τῶν δ'] ἐπὶ δὲ τῶν F.H.M. [s] δ'] τε L. [t] δὴ] μὲν δὴ L, δὲ F.H. [v] πλέον L, πλείω F. [w] ἔχοντα ἀφορμὰς M, ἀφορμὰς ἔχοντας H. [x] ἀπόστασιν om. L. [y] δ' ἐκ τῶν τοιούτων] ἐκ τῶν δὲ E.L. [z] εἶναι om. F.M. [a] αὐτῶν μόνων F, μόνον αὐτῶν H.M. [b] πάντη M. [c] δόξειεν εἶναι παράλογον H, παράλογον εἶναι δόξειε F, ἂν παράλογον εἶναι δόξειε M. [d] εὖ om. E. [e] πορρώτατα M, πορρωτέρω E.L. [f] ἔχειν E.L. [g] μικρὰ καὶ π. M. [h] τὸ L. [i] πάλης δεῖ καὶ δρόμου F.M, πάλης καὶ δρόμου L. [k] κινήσεως F.M. [l] τὸ om. E. [m] τὸ πολλὰ] τὰ πολλὰ F.M. [n] κώους H. et margo L, χίους ἢ κώους F.M. [o] βάλλειν F. [p] ἢ] καὶ H. [q] ἢ] καὶ F.H.M. [r] δύο M. [s] ῥάδιον E.H.L.

[t] νομίζειν καὶ τὴν τῶν ἄστρων πρᾶξιν εἶναι τοιαύτην οἵα περ ἡ τῶν ζῴων [v] καὶ φυτῶν· καὶ γὰρ ἐνταῦθα αἱ τοῦ ἀνθρώπου πλεῖσται πράξεις· πολλῶν γὰρ [w] τῶν εὖ δύναται τυχεῖν, ὥστε πολλὰ [x] πράττει, καὶ ἄλλων ἕνεκα. Τῷ δ' [y] ὡς ἄριστα ἔχοντι οὐθὲν δεῖ πράξεως· ἔστι γὰρ [z] αὐτὸ [a] τὸ οὗ ἕνεκα, ἡ δὲ πρᾶξις ἀεί [b] ἐστιν ἐν δυσίν, ὅταν καὶ οὗ ἕνεκα ᾖ καὶ τὸ τούτου ἕνεκα. Τῶν δ' ἄλλων ζῴων ἐλάττους, τῶν δὲ φυτῶν μικρά τις καὶ μία ἴσως· ἢ γὰρ ἕν τί ἐστιν οὗ τύχοι ἄν, ὥσπερ [c] καὶ ἄνθρωπος, [d] ἢ καὶ [e] τὰ πολλὰ πάντα πρὸ [f] ὁδοῦ ἐστὶ πρὸς τὸ ἄριστον. Τὸ μὲν οὖν ἔχει καὶ μετέχει τοῦ ἀρίστου, τὸ δ' ἀφικνεῖται ἐγγὺς δι' ὀλίγων, τὸ δὲ διὰ πολλῶν, τὸ δ' [g] οὐδ' [h] ἐγχειρεῖ, ἀλλ' ἱκανὸν εἰς τὸ ἐγγὺς τοῦ ἐσχάτου ἐλθεῖν, οἷον [i] εἰ ὑγίεια τέλος. Τὸ μὲν [11] [k] δὴ ἀεὶ ὑγιαίνει, τὸ δ' [l] ἰσχνανθέν, τὸ δὲ δραμὸν καὶ ἰσχνανθέν, τὸ δὲ καὶ ἄλλο τι πρᾶξαν τοῦ δραμεῖν ἕνεκα, ὥστε πλείους αἱ κινήσεις. [m] Ἕτερον δ' ἀδυνατεῖ πρὸς τὸ ὑγιᾶναι ἐλθεῖν, ἀλλὰ πρὸς τὸ δραμεῖν μόνον ἢ ἰσχνανθῆναι· καὶ τούτων θάτερον τέλος αὐτοῖς. Μάλιστα μὲν γὰρ ἐκείνου τυχεῖν ἄριστον πᾶσι τοῦ τέλους· εἰ δὲ μή, [n] ἀεὶ ἄμεινόν ἐστιν [o] ὅσῳ ἂν ἐγγύτερον ᾖ τοῦ ἀρίστου. Καὶ διὰ τοῦτο ἡ μὲν γῆ ὅλως [12] οὐ κινεῖται, τὰ δ' ἐγγὺς ὀλίγας κινήσεις· οὐ γὰρ ἀφικνεῖται πρὸς τὸ ἔσχατον, ἀλλὰ [p] μέχρι [q] ὅτου δύναται τυχεῖν τῆς θειοτάτης ἀρχῆς. [r] Ὁ δὲ πρῶτος οὐρανὸς εὐθὺς τυγχάνει διὰ μιᾶς κινήσεως. Τὰ δ' [s] ἐν μέσῳ τοῦ πρώτου καὶ τῶν ἐσχάτων ἀφικνεῖται μέν, διὰ πλειόνων δ' ἀφικνεῖται κινήσεων. Περὶ δὲ τῆς ἀπορίας ὅτι [t] κατὰ μὲν [u] τὴν πρώτην μίαν οὖσαν [13] φορὰν πολὺ πλῆθος συνέστηκεν ἄστρων, τῶν δ' ἄλλων χωρὶς ἕκαστον [v] εἴληφεν ἰδίας κινήσεις, δι' ἣν μὲν ἄν τις πρῶτον

[t] νομίζειν om. E. [v] καὶ τῶν φυτῶν F. [w] τῶν om. E. [x] πράττειν E.L. [y] ὡς] ἴσως E. [z] αὐτῷ F.H.L. [a] τὸ om. E. [b] ἐστιν om. F, ante ἀεί ponunt H.M. [c] καὶ ὁ ἄνθρωπος F.H.M. [d] καὶ ἡ E. [e] τὰ ἄλλα πολλὰ M, τὰ ἄλλα F, τἆλλα H. [f] ὁδοὺς pr. E. [g] οὐδ' om. E. [h] ἐγχωρεῖ H. [i] εἰ] εἰ ἡ H.M. [k] δὴ om. F.H.M. [l] ἰσχναθὲν M. [m] ἀεὶ] γε H. [n] ὅσον F. [o] μέχρις F.H.L.M. [p] ὅτου] οὗ L, om. E. [q] ἐν τῷ μέσῳ E.M. [r] μὲν μετὰ F. [s] τὴν om. pr. E. [t] ἰδίας εἴληφε M.

εὐλόγως οἰηθείη τοῦθ' ὑπάρχειν· νοῆσαι γὰρ [v] δεῖ τῆς ζωῆς καὶ τῆς ἀρχῆς ἑκάστης πολλὴν ὑπεροχὴν εἶναι [w] τῆς πρώτης πρὸς τὰς ἄλλας, εἴη δ' ἂν [x] ἥδε συμβαίνουσα κατὰ λόγον· ἡ μὲν γὰρ πρώτη μία οὖσα πολλὰ κινεῖ τῶν σωμάτων [y] τῶν θείων, αἱ δὲ πολλαὶ οὖσαι ἓν μόνον ἑκάστη· τῶν γὰρ πλανω-
14 μένων ἓν ὁτιοῦν πλείους [z] φέρεται φοράς. Ταύτῃ τε οὖν [a] ἀνισάζει ἡ φύσις καὶ ποιεῖ τινὰ τάξιν, τῇ μὲν μιᾷ [b] φορᾷ πολλὰ [c] ἀποδοῦσα σώματα, τῷ δ' ἑνὶ σώματι πολλὰς φοράς· καὶ ἔτι διὰ [d] τόδε ἓν ἔχουσι σῶμα [e] αἱ ἄλλαι [f] φοραί, ὅτι πολλὰ σώματα κινοῦσιν αἱ πρὸ τῆς τελευταίας καὶ τῆς ἓν ἄστρον ἐχούσης· ἐν πολλαῖς γὰρ σφαίραις ἡ τελευταία σφαῖρα ἐνδεδεμένη φέρεται, ἑκάστη δὲ σφαῖρα [g] σῶμα τυγ-
15 χάνει ὄν. [h] Ἐκείνης ἂν οὖν [i] κοινὸν εἴη τὸ ἔργον· [k] αὕτη μὲν γὰρ ἑκάστῃ [l] ἡ [m] ἴδιος φύσει φορά, [n] αὕτη δὲ οἷον [o] πρόσκειται. Παντὸς δὲ πεπερασμένου σώματος πρὸς πεπερασμένον ἡ δύναμίς ἐστιν. [q] Ἀλλὰ περὶ μὲν τῶν τὴν ἐγκύκλιον φερομένων κίνησιν ἄστρων εἴρηται [p] ποῖ' ἄττα κατά [q] τε τὴν οὐσίαν ἐστὶ καὶ κατὰ τὸ σχῆμα, [r] καὶ περὶ τῆς φορᾶς καὶ τῆς τάξεως αὐτῶν.

13 Λοιπὸν δὲ περὶ τῆς γῆς εἰπεῖν, [s] οὗ τε τυγχάνει κειμένη, καὶ πότερον τῶν ἠρεμούντων ἐστὶν ἢ τῶν κινουμένων, καὶ περὶ τοῦ σχήματος αὐτῆς. Περὶ μὲν οὖν τῆς θέσεως οὐ τὴν αὐτὴν [t] ἅπαντες ἔχουσι δόξαν, ἀλλὰ τῶν πλείστων ἐπὶ τοῦ μέσου κεῖσθαι λεγόντων, ὅσοι τὸν ὅλον οὐρανὸν πεπερασμένον εἶναί φασιν, ἐναντίως οἱ περὶ τὴν [u] Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι λέγουσιν· ἐπὶ μὲν γὰρ τοῦ μέσου πῦρ εἶναί φασι, τὴν δὲ γῆν ἓν τῶν ἄστρων οὖσαν, κύκλῳ φερομένην περὶ τὸ
2 μέσον νύκτα τε καὶ ἡμέραν ποιεῖν. [v] Ἔτι δ' ἐναντίαν ἄλλην

[v] δεῖ ζωῆς τῆς ἑκάστης καὶ τῆς ἀρχῆς π. H. [w] πρὸς τὰς ἄλλας τῆς πρώτης F. [x] ἥδε] ἡ E. [y] τὸ θεῖον M. [z] φορὰς φέρ. F. [a] ἂν ἰσάζῃ τε ἡ φύσις καὶ ποιῇ L. [b] φορᾷ om. E. [c] ἀποδιδοῦσα F.H. [d] τόδε] τὸ E. [e] αἱ om. E. [f] σφαῖραι F.H. [g] σῶμα τι τυγχάνει E.H. [h] ἐκείναις E. [i] εἴη κοινὸν H, ἦν E. [k] αὐτὴ M. [l] ἡ om. F. [m] ἀΐδιος E. [n] αυται E. [o] πρόσκεινται E. [p] ὁποῖ' L. [q] τε om. F.H.M. [r] καὶ περὶ] περί τε E.L. [s] ποῦ H. [t] ἔχουσιν ἅπαντες F.H.M.

[v] ταύτῃ κατασκευάζουσι γῆν, ἣν ἀντίχθονα [w] ὄνομα καλοῦσιν, οὐ πρὸς τὰ φαινόμενα τοὺς λόγους καὶ τὰς αἰτίας ζητοῦντες, ἀλλὰ πρός τινας [x] λόγους καὶ δόξας αὐτῶν τὰ φαινόμενα προσέλκοντες καὶ πειρώμενοι συγκοσμεῖν. Πολλοῖς δ' ἂν 3
καὶ ἑτέροις συνδόξειε μὴ δεῖν τῇ γῇ τὴν τοῦ μέσου χώραν ἀποδιδόναι, τὸ πιστὸν οὐκ ἐκ τῶν φαινομένων ἀθροοῦσιν ἀλλὰ μᾶλλον ἐκ τῶν λόγων. Τῷ γὰρ τιμιωτάτῳ οἴονται προσήκειν τὴν [y] τιμιωτάτην [z] ὑπάρχειν χώραν, εἶναι δὲ πῦρ [a] μὲν γῆς τιμιώτερον, τὸ δὲ πέρας [b] τῶν μεταξύ, τὸ δ' ἔσχατον καὶ [c] τὸ μέσον πέρας· ὥστ' ἐκ τούτων ἀναλογιζόμενοι οὐκ οἴονται ἐπὶ τοῦ μέσου [d] κεῖσθαι τῆς σφαίρας [e] αὐτήν, ἀλλὰ [f] μᾶλλον τὸ πῦρ. [g]Ἔτι δ' οἵ [h] γε Πυθαγόρειοι καὶ διὰ [i] τὸ 4
μάλιστα προσήκειν φυλάττεσθαι τὸ κυριώτατον τοῦ παντός· τὸ δὲ μέσον εἶναι τοιοῦτον· ὃ Διὸς φυλακὴν ὀνομάζουσι, τὸ ταύτην ἔχον τὴν χώραν πῦρ, ὥσπερ τὸ μέσον ἁπλῶς λεγόμενον, καὶ τὸ τοῦ μεγέθους μέσον [j] καὶ τοῦ πράγματος ὂν μέσον καὶ τῆς φύσεως. Καίτοι καθάπερ ἐν τοῖς ζῴοις οὐ ταὐτὸν [k] τοῦ ζῴου καὶ τοῦ σώματος [l] μέσον, οὕτως ὑπολη- 5
πτέον μᾶλλον καὶ περὶ τὸν ὅλον οὐρανόν. Διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν οὐθὲν αὐτοὺς δεῖ θορυβεῖσθαι περὶ τὸ πᾶν, οὐδ' εἰσάγειν φυλακὴν [m] ἐπὶ τὸ κέντρον, ἀλλ' ἐκεῖνο ζητεῖν τὸ μέσον, ποῖόν [n] τε καὶ ποῦ πέφυκεν. [o]Ἐκεῖνο μὲν [p] γὰρ ἀρχὴ τὸ μέσον καὶ τίμιον, τὸ δὲ τοῦ τόπου μέσον ἔοικε τελευτῇ μᾶλλον ἢ ἀρχῇ· τὸ μὲν γὰρ ὁριζόμενον τὸ μέσον, τὸ δ' ὁρίζον τὸ πέρας. Τιμιώτερον δὲ τὸ περιέχον καὶ τὸ πέρας ἢ τὸ περαινόμενον· τὸ μὲν γὰρ ὕλη τὸ δ' οὐσία τῆς συστάσεώς ἐστιν. Περὶ μὲν οὖν τοῦ τόπου τῆς γῆς ταύτην ἔχουσί 6
τινες τὴν δόξαν, ὁμοίως δὲ καὶ [q] περὶ μονῆς καὶ κινήσεως· οὐ

[v] ταύτην F. [w] ὄνομα om. F.H.M. [x] δόξας καὶ λόγους F.M. [y] τιμιωτέραν M. [z] ὑπάρχειν] εἶναι F, om. H. [a] γῆς μὲν H. [b] τῶν] τοῦ E. [c] τὸ om. E. [d] τῆς σφαίρας κεῖσθαι E.L. [e] αὐτῆς F.H. [f] μᾶλλον] μὴν pr. F. [g] γε] τε E, om. M. [h] τὸ] τοῦτο L. [i] καὶ τὸ τοῦ F.M. [k] τοῦ σώματος καὶ τοῦ ζῴου M, τὸ τοῦ ζῴου καὶ τὸ τοῦ σώματος H, τὸ τοῦ ζῴου καὶ τοῦ σώματος L. [l] τὸ μέσον F. [m] ἐπὶ] περὶ pr. F. [n] τι E.H.M. [o] γὰρ om. F. [p] τελευτὴ—ἀρχή M. [q] περὶ om. F.

γὰρ τὸν αὐτὸν τρόπον [r] ἅπαντες [s] ὑπολαμβάνουσιν, ἀλλ' ὅσοι μὲν μηδ' ἐπὶ τοῦ μέσου κεῖσθαί [t] φασιν αὐτήν, κινεῖσθαι κύκλῳ περὶ τὸ μέσον, οὐ μόνον δὲ ταύτην, ἀλλὰ καὶ τὴν ἀν-
7 τίχθονα, καθάπερ εἴπομεν πρότερον. [u] Ἐνίοις δὲ δοκεῖ καὶ πλείω [v] σώματα τοιαῦτα ἐνδέχεσθαι φέρεσθαι περὶ τὸ μέσον, ἡμῖν [w] δὲ ἄδηλα διὰ τὴν [x] ἐπιπρόσθησιν τῆς γῆς. Διὸ καὶ τὰς τῆς σελήνης ἐκλείψεις πλείους ἢ τὰς τοῦ ἡλίου γίγνεσθαί φασιν· τῶν γὰρ φερομένων ἕκαστον ἀντιφράττειν αὐτήν,
8 ἀλλ' οὐ [y] μόνον τὴν γῆν. [z] Ἐπεὶ γὰρ οὐκ ἔστιν ἡ γῆ κέντρον, ἀλλ' ἀπέχει τὸ ἡμισφαίριον αὐτῆς ὅλον, [z] οὐθὲν κωλύειν [a] οἴονται τὰ φαινόμενα συμβαίνειν ὁμοίως [b] μὴ κατοικοῦσιν ἡμῖν ἐπὶ τοῦ κέντρου, ὥσπερ [c] κἂν [d] εἰ ἐπὶ [e] τοῦ μέσου ἦν ἡ γῆ· οὐθὲν γὰρ [f] οὐδὲ νῦν ποιεῖν ἐπίδηλον τὴν ἡμίσειαν [g] ἀπέχοντας ἡμᾶς διάμετρον. [h] Ἔνιοι δὲ [h] καὶ κειμένην ἐπὶ τοῦ κέντρου φασὶν αὐτὴν [i] ἕλλεσθαι περὶ τὸν διὰ παντὸς [k] τετα-
9 μένον πόλον, ὥσπερ ἐν τῷ Τιμαίῳ γέγραπται. Παραπλησίως δὲ καὶ περὶ τοῦ [l] σχήματος ἀμφισβητεῖται· τοῖς μὲν γὰρ [m] δοκεῖ εἶναι σφαιροειδής, τοῖς δὲ πλατεῖα καὶ τὸ σχῆμα τυμπανοειδής· ποιοῦνται δὲ τεκμήριον ὅτι δύνων καὶ ἀνατέλλων ὁ ἥλιος εὐθεῖαν [n] καὶ οὐ περιφερῆ τὴν ἀπόκρυψιν φαίνεται ποιούμενος ὑπὸ τῆς γῆς, ὡς δέον, εἴπερ ἦν σφαιροειδής, περιφερῆ [o] γίνεσθαι τὴν ἀποτομήν, οὐ προσλογιζόμενοι τό τε ἀπόστημα τοῦ ἡλίου πρὸς τὴν γῆν καὶ τὸ τῆς περιφερείας μέγεθος, ὡς ἐν τοῖς φαινομένοις μικροῖς κύκλοις
10 εὐθεῖα φαίνεται πόρρωθεν. Διὰ μὲν οὖν ταύτην τὴν φαντασίαν οὐδὲν [p] αὐτοὺς ἀπιστεῖν δεῖ μὴ κυκλοτερῆ τὸν ὄγκον εἶναι τῆς γῆς· ἀλλ' ἔτι προστιθέασι, καὶ φασὶ διὰ τὴν ἠρε-

[r] πάντες F.H.M. [s] λαμβάνουσιν E. [t] φασιν αὐτὴν κινεῖσθαι om. E. [u] τοιαῦτα σώματα F. [w] δὲ om. E.H.L. [x] ἐπιπρόσθεσιν E.L. [y] μόνην L. [z] οὐθὲν] ὅθεν M. [a] οἷον τε (supra positis αι) H. [b] μὴ] καὶ μὴ L. [c] κἂν] καὶ H. [d] εἰ om. E.L.M. [e] τοῦ om. M. [f] οὔτε E. [g] ἀπεχόντων τῆς διαμέτρου F.M, ἀπέχον τῶν τῆς διαμέτρου H. [h] καὶ om. F. [i] ἕλλεσθαι καὶ κινεῖσθαι M, εἱλεῖσθαι καὶ κινεῖσθαι E.F, εἱλεῖσθαι H.L. [k] τεταγμένον M. [l] σχήματος αὐτῆς ἀμφ. F. [m] εἶναι δοκεῖ F.H.M. [n] καὶ] ἀλλ' F.H.M. [o] τὴν ἀποτομὴν γίνεσθαι F. [p] αὐτοῖς F.

μίαν [q] ἀναγκαῖον τὸ σχῆμα τοῦτ' ἔχειν αὐτήν. Καὶ γὰρ [r] δὴ οἱ περὶ τῆς κινήσεως καὶ τῆς μονῆς εἰρημένοι τρόποι πολλοὶ τυγχάνουσιν. Τὸ μὲν οὖν ἀπορῆσαι πᾶσιν ἀναγκαῖον 11
ἐπελθεῖν· τάχα γὰρ [s] ἀλυποτέρας διανοίας τὸ μὴ θαυμάζειν πῶς ποτὲ μικρὸν μὲν μόριον τῆς γῆς, [t] ἂν μετεωρισθὲν ἀφεθῇ, φέρεται καὶ μένειν οὐκ ἐθέλει, καὶ τὸ πλεῖον ἀεὶ θᾶττον, πᾶσαν δὲ τὴν γῆν εἴ τις [v] ἀφείη μετεωρίσας, οὐκ ἂν φέροιτο. Νῦν δ' ἠρεμεῖ τοσοῦτον βάρος. [w] Ἀλλὰ μὴν καὶ εἴ τις τῶν φερομένων μορίων αὐτῆς, πρὶν πεσεῖν, [x] ὑφαιροίη τὴν γῆν, οἰσθήσεται κάτω μηθενὸς ἀντερείσαντος. [y] Ὥστε τὸ μὲν ἀπο- 12
ρεῖν εἰκότως [z] ἐγένετο φιλοσόφημα πᾶσιν· τὸ δὲ [a] τὰς περὶ τούτου λύσεις μὴ μᾶλλον ἀτόπους εἶναι δοκεῖν τῆς ἀπορίας θαυμάσειεν ἄν τις. Οἱ μὲν γὰρ διὰ ταῦτα ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, [b] ἐπ' ἄπειρον αὐτὴν ἐρριζῶσθαι λέγοντες, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος, ἵνα μὴ πράγματ' [c] ἔχωσι ζητοῦντες τὴν αἰτίαν· διὸ καὶ [d] Ἐμπεδοκλῆς οὕτως ἐπέπληξεν, εἰπὼν [d] ὡς

> Εἴ περ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ,
> ὡς διὰ πολλῶν [e] δὴ [f] γλώσσης ῥηθέντα ματαίως
> [g] ἐκκέχυται στομάτων, ὀλίγον τοῦ παντὸς [h] ἰδόντων.

Οἱ δ' ἐφ' ὕδατος κεῖσθαι. Τοῦτον [i] γὰρ ἀρχαιότατον παρει- 13
λήφαμεν τὸν λόγον, [k] ὃν [l] φασιν εἰπεῖν [m] Θαλῆν τὸν Μιλήσιον, ὡς διὰ τὸ πλωτὴν εἶναι μένουσαν ὥσπερ ξύλον ἢ τι τοιοῦτον ἕτερον (καὶ γὰρ τούτων ἐπ' ἀέρος μὲν οὐθὲν πέφυκε μένειν, ἀλλ' ἐφ' ὕδατος), ὥσπερ οὐ τὸν αὐτὸν λόγον ὄντα περὶ τῆς γῆς καὶ τοῦ ὕδατος τοῦ ὀχοῦντος τὴν γῆν· οὐδὲ γὰρ τὸ ὕδωρ πέφυκε μένειν μετέωρον, [n] ἀλλ' ἐπί τινός ἐστιν.
[v] Ἔτι δ' ὥσπερ ἀὴρ ὕδατος κουφότερον, καὶ γῆς ὕδωρ, ὥστε 14
πῶς [o] οἷόν τε τὸ κουφότερον κατωτέρω [p] κεῖσθαι τοῦ βαρυ-

[q] ἀνάγκη F. [r] δὴ om. E.L. [s] ἀλογωτέρας M. et rc. F. et γρ. E. [t] ἐὰν F.H.M. [v] ἀφίη H, ἀφίει L. [w] κἂν H.L.M. [x] ὑφαιροῖ H. [y] ἐγίνετο F. [z] περὶ τὰς E.L. [a] τούτων M. [b] ἐπ'—λέγοντες om. E.L. [c] ἔχωσι om. M. [d] ὡς om. E.L. [e] δὴ om. M. [f] γλώσσῃ E. [g] ἐγκέχυται F. [h] εἰδότων H. [i] γὰρ om. E. [k] ὃν om. E. [l] φασὶ μὲν εἰπεῖν H.M. [m] τὸν θαλῆν F. [n] ἀλλ' ἐπί τινος] ἐπί τινος δέ E. [o] οἴονται E.F. [p] κεῖσθαι post φύσιν F.

τέρου τὴν φύσιν; Ἔτι δ' εἴπερ ὅλη πέφυκε μένειν ἐφ' ὕδατος, δῆλον ὅτι καὶ τῶν μορίων [d]ἕκαστον· νῦν δ' οὐ φαίνεται τοῦτο γιγνόμενον, ἀλλὰ τὸ τυχὸν [e]μόριον φέρεται εἰς βυθόν, καὶ θᾶττον τὸ μεῖζον. [f]Ἀλλ' ἐοίκασι μέχρι τινὸς ζητεῖν, 15 ἀλλ' οὐ μέχρι περ οὗ δυνατὸν τῆς ἀπορίας. Πᾶσι γὰρ ἡμῖν τοῦτο σύνηθες, μὴ πρὸς τὸ πρᾶγμα ποιεῖσθαι τὴν ζήτησιν ἀλλὰ πρὸς τὸν τἀναντία λέγοντα· καὶ γὰρ [g]αὐτὸς ἐν αὑτῷ ζητεῖ μέχρι περ ἂν οὗ [h]μηκέτι [i]ἔχῃ ἀντιλέγειν αὐτὸς αὑτῷ. Διὸ δεῖ τὸν μέλλοντα [k]καλῶς ζητήσειν ἐνστατικὸν εἶναι διὰ τῶν [l]οἰκείων ἐνστάσεων τῷ γένει, τοῦτο δ' ἐστὶν ἐκ τοῦ 16 πάσας τεθεωρηκέναι τὰς διαφοράς. [m]Ἀναξιμένης δὲ καὶ [n]Ἀναξαγόρας καὶ Δημόκριτος τὸ πλάτος [o]αἴτιον εἶναί φασι τοῦ μένειν αὐτήν. [p]Οὐ γὰρ τέμνειν ἀλλ' [q]ἐπιπωματίζειν τὸν ἀέρα [r]τὸν κάτωθεν, [s]ὅπερ φαίνεται τὰ πλάτος ἔχοντα τῶν σωμάτων ποιεῖν· ταῦτα [t]γὰρ καὶ πρὸς τοὺς ἀνέμους [u]ἔχει δυσκινήτως διὰ τὴν ἀντέρεισιν. Ταὐτὸ δὴ τοῦτο [v]ποιεῖν τῷ πλάτει [w]φασὶ τὴν γῆν πρὸς τὸν ὑποκείμενον ἀέρα· τὸν δ' οὐκ [x]ἔχοντα μεταστῆναι τόπον ἱκανὸν [y]ἀθρόον τῷ κάτωθεν 17 ἠρεμεῖν, ὥσπερ τὸ ἐν ταῖς κλεψύδραις ὕδωρ. [z]Ὅτι δὲ δύναται πολὺ βάρος φέρειν ἀπολαμβανόμενος [a]καὶ μένων ὁ ἀήρ, τεκμήρια πολλὰ λέγουσιν. Πρῶτον μὲν [b]οὖν εἰ μὴ πλατὺ τὸ σχῆμα τῆς γῆς ἐστί, διὰ τοῦτο μὲν οὐκ ἂν [c]ἠρεμοῖ. Καίτοι τῆς μονῆς οὐ τὸ πλάτος [d]αἴτιον ἐξ ὧν λέγουσιν, ἀλλὰ τὸ μέγεθος μᾶλλον. Διὰ γὰρ τὴν στενοχωρίαν οὐκ ἔχων τὴν πάροδον ὁ ἀὴρ μένει διὰ [e]τὸ πλῆθος· πολὺς δ' [f]ἐστὶ διὰ τὸ ὑπὸ μεγέθους πολλοῦ [g]ἐναπολαμβάνεσθαι τοῦ τῆς γῆς. [h]Ὥστε τοῦτο μὲν [i]ὑπάρξει, κἂν σφαιροειδὴς μὲν [j]ἡ γῆ ᾖ,

[d] ἕκαστον αὐτῆς. νῦν E.H.L. [e] φέρεται μόριον F. [f] οὗτος L. [g] μηδὲν H. [h] ἔχει L. [i] καλῶς ζητήσειν om. pr. E. [k] οἰκείως E.H.M. [l] αἴτιον τοῦ μένειν αὐτὴν φασιν F. [m] οὐδὲ γὰρ M. [n] ἐπιπωμάζειν pr. E. [o] τὸν post ἀέρα om. E. [p] ὥσπερ H. [q] γὰρ om. F. [r] δυσκινήτως ἔχει F. [s] ποιεῖν ante τὴν F.H. [t] φασὶ om. E. [u] ἔχοντά που μ. L. [w] ἀθρόως F.M, ἀθρόῳ E.L. [x] καὶ—ἀήρ om. F, ὁ om. M. [y] οὖν om. E.L. [z] ἠρεμεῖ M, ἠρεμοίη F. [a] αἴτιον] μόνον αἴτιόν ἐστιν F.M. [b] τὸ om. E.L. [c] ἐστὶν ὁ ἀὴρ διὰ F.H.M. [d] ἀπολαμβάνεσθαι F.H.M. [e] ὑπάρχει F, ὑπάρξοι H. [f] ἡ γῆ om. E.M, post ᾖ ponit L.

τηλικαύτη δὲ τὸ μέγεθος· [g] μενεῖ γὰρ κατὰ τὸν ἐκείνων λό-
γον. [v]Ολως δὲ πρός [h] γε τοὺς οὕτω λέγοντας περὶ τῆς 18
κινήσεως [i] οὐ περὶ [k] μερῶν ἐστὶν ἡ ἀμφισβήτησις, ἀλλὰ περὶ
[l] ὅλου τινὸς καὶ παντός. [1]Εξ ἀρχῆς γὰρ διοριστέον πότερόν
ἐστί [m] τις τοῖς σώμασι φύσει κίνησις ἢ οὐδεμία, καὶ πότερον
φύσει μὲν οὐκ ἔστι, βίᾳ δ' ἔστιν. [1]Επεὶ δὲ περὶ τούτων
διώρισται πρότερον ὅσα κατὰ τὴν παροῦσαν δύναμιν [n] εἴχο-
μεν, χρηστέον ὡς ὑπάρχουσιν. Εἰ γὰρ μηδεμία [o] φύσει 19
κίνησίς ἐστιν αὐτῶν, [p] οὐδὲ βίαιος [q] ἔσται· εἰ [r] δὲ μή ἐστι
μήτε φύσει μήτε βίᾳ, ὅλως οὐδὲν κινηθήσεται· περὶ [s] γὰρ
τούτων ὅτι ἀναγκαῖον συμβαίνειν, διώρισται πρότερον, καὶ
πρὸς τούτοις ὅτι οὐδ' ἠρεμεῖν ἐνδέχεται· ὥσπερ [t] γὰρ κίνησις
ὑπάρχει ἢ βίᾳ ἢ φύσει, οὕτω καὶ ἠρεμία. [1]Αλλὰ μὴν εἴ [v] γέ 20
ἐστι [w] κίνησίς τις κατὰ φύσιν, οὐκ ἂν ἡ βίαιος εἴη φορὰ μόνον
οὐδ' ἠρέμησις· ὥστ' εἰ βίᾳ νῦν ἡ γῆ μένει, καὶ [x] συνῆλθεν ἐπὶ
τὸ μέσον φερομένη διὰ τὴν δίνησιν· ταύτην γὰρ τὴν αἰτίαν
[y] πάντες λέγουσιν ἐκ τῶν ἐν τοῖς [z] ὑγροῖς καὶ περὶ τὸν ἀέρα
συμβαινόντων· ἐν τούτοις γὰρ ἀεὶ φέρεται τὰ μείζω καὶ τὰ
βαρύτερα πρὸς τὸ μέσον τῆς δίνης. Διὸ [a] δὴ [b] καὶ τὴν γῆν 21
πάντες ὅσοι τὸν οὐρανὸν γεννῶσιν, ἐπὶ τὸ μέσον [c] συνελθεῖν
φασίν· ὅτι δὲ μένει, ζητοῦσι τὴν αἰτίαν, καὶ λέγουσιν οἱ μὲν
τοῦτον τὸν τρόπον, ὅτι τὸ [d] πλάτος καὶ τὸ μέγεθος αὐτῆς
αἴτιον, οἱ δ' ὥσπερ [1]Εμπεδοκλῆς, τὴν τοῦ οὐρανοῦ φορὰν
κύκλῳ περιθέουσαν καὶ [e] θᾶττον φερομένην [f] τὴν τῆς γῆς
φορὰν κωλύειν, καθάπερ τὸ ἐν τοῖς κυάθοις ὕδωρ· καὶ γὰρ
τοῦτο κύκλῳ τοῦ κυάθου φερομένου πολλάκις κάτω τοῦ χαλ-
κοῦ [g] γινόμενον ὅμως οὐ φέρεται κάτω πεφυκὸς φέρεσθαι διὰ
τὴν αὐτὴν αἰτίαν. Καίτοι μήτε τῆς δίνης [h] κωλυούσης μήτε 22

[g] μένει E.F.L. [h] γε om. E.H.L. [i] οὐδὲ E. [k] μορίων E.L.
[l] τινος ὅλου F. [m] τις om. E.L. [n] ἔχομεν H. [o] φυσικὴ E.L.
[p] οὐδ' ἡ E.L. [q] ἐστίν H. [r] δὲ] γὰρ M. [s] γὰρ] τε γὰρ δὴ H.M.
[t] γὰρ] γὰρ καὶ F.M, om. E. [v] γε] μὴ L, om. E. [w] τις κίνησις M.
[x] συνῆλθον M. [y] ἅπαντες H, πάντες ante γὰρ L. [z] ὑγροῖς φερομένων
καὶ F.H.M. [a] δὴ om. F.H.M. [b] καὶ om. E. [c] συνελεῖν F. [d] πλά-
τος αὐτῆς καὶ E. [e] θάττω L. [f] τὴν] ἢ τὴν E.F. [g] γιγνομένου L.M.
[h] κωλύσης F.

τοῦ πλάτους, ἀλλ' ὑπελθόντος τοῦ ἀέρος, ποῖ ποτ' οἰσθήσεται; Πρὸς μὲν γὰρ τὸ μέσον [i]βίᾳ, καὶ μένει [k]βίᾳ· κατὰ φύσιν δέ [l]γε ἀναγκαῖον εἶναί τινα αὐτῆς φοράν. Αὕτη οὖν πότερον ἄνω ἢ κάτω, ἢ ποῦ ἐστίν; Εἶναι μὲν γάρ τινα ἀναγκαῖον· εἰ [m]δὲ μηδὲν μᾶλλον κάτω ἢ ἄνω, ὁ δ' ἄνω ἀὴρ μὴ κωλύει τὴν ἄνω φοράν, οὐδ' ἂν ὁ ὑπὸ [n]τῇ γῇ κωλύοι τὴν κάτω· τὰ γὰρ αὐτὰ τῶν αὐτῶν ἀναγκαῖον εἶναι αἴτια τοῖς
23 αὐτοῖς. Ἔτι δὲ πρὸς [o]Ἐμπεδοκλέα κἂν ἐκεῖνό τις [p]εἴπειεν. Ὅτε γὰρ τὰ στοιχεῖα [q]διειστήκει χωρὶς ὑπὸ τοῦ νείκους, τίς [r]ἡ αἰτία τῇ γῇ τῆς μονῆς ἦν; Οὐ γὰρ δὴ καὶ τότε αἰτιάσεται τὴν δίνην. Ἄτοπον δὲ καὶ τὸ μὴ συννοεῖν ὅτι πρότερον μὲν διὰ τὴν δίνησιν ἐφέρετο τὰ μόρια τῆς γῆς πρὸς τὸ μέσον· νῦν [s]δὲ διὰ τίν' αἰτία πάντα τὰ βάρος ἔχοντα φέρεται πρὸς αὐτήν; Οὐ γὰρ ἥ γε [t]δίνη πλησιάζει πρὸς ἡμᾶς. Ἔτι δὲ καὶ τὸ πῦρ ἄνω φέρεται διὰ τίν' αἰτίαν; Οὐ [v]γὰρ διά γε τὴν δίνην. Εἰ δὲ τοῦτο φέρεσθαί που πέφυκεν, δῆλον ὅτι
24 καὶ τὴν γῆν οἰητέον. Ἀλλὰ μὴν οὐδὲ τῇ δίνῃ γε τὸ βαρὺ καὶ [w]τὸ κοῦφον ὥρισται, ἀλλὰ τῶν πρότερον ὑπαρχόντων βαρέων καὶ κούφων τὰ μὲν εἰς τὸ μέσον ἔρχεται, τὰ δ' ἐπιπολάζει διὰ τὴν [x]κίνησιν. Ἦν ἄρα καὶ πρὶν γενέσθαι τὴν [y]δίνην βαρύ τε καὶ κοῦφον, ἃ τίνι [z]διώριστο καὶ πῶς [a]ἐπεφύκει φέρεσθαι ἢ ποῦ; Ἀπείρου γὰρ ὄντος ἀδύνατον εἶναι [b]ἄνω ἢ κάτω, διώρισται δὲ τούτοις τὸ βαρὺ [c]καὶ κοῦφον.
25 Οἱ μὲν οὖν πλεῖστοι περὶ τὰς αἰτίας ταύτας διατρίβουσιν· εἰσὶ δέ τινες οἳ διὰ τὴν ὁμοιότητά φασιν αὐτὴν μένειν, ὥσπερ τῶν ἀρχαίων Ἀναξίμανδρος· μᾶλλον μὲν γὰρ οὐθὲν ἄνω ἢ κάτω ἢ εἰς τὰ πλάγια φέρεσθαι [d]προσήκει [e]τὸ ἐπὶ τοῦ μέσου ἱδρυμένον καὶ ὁμοίως πρὸς τὰ ἔσχατα ἔχον· ἅμα δ'

[i] βίᾳ ἦλθε καὶ H. [k] βίᾳ] καὶ E. [l] γε om. E.L. [m] δὴ E. [n] τὴν γῆν H. [o] ἔμπ. κἀκεῖνο τις ἂν F.H.M. [p] εἶποι F.H.L.M. [q] ιστηκει E. [r] ἡ om. E.L. [s] δὲ δὴ διὰ L. [t] δίνησις F.M. [v] γὰρ δή γε διὰ F. [w] τὸ post καὶ om. E.L. [x] δίνησιν M. [y] δίνην τὸ μὲν βαρὺ τὸ δὲ κοῦφον F.H.M. [z] διώρισται F.H.L. [a] πέφυκε H. [b] ἄνω ἢ] τὸ ἄνω καὶ τὸ F.H.M. [c] καὶ τὸ κοῦφον F.H.L.M. [d] προσήκειν F.M. [e] τὸ om. E.

ἀδύνατον εἰς [f]τἀναντία ποιεῖσθαι τὴν κίνησιν· ὥστ' ἐξ ἀνάγ-
κης μένειν. Τοῦτο δὲ λέγεται κομψῶς μέν, οὐκ ἀληθῶς δέ· 26
κατὰ γὰρ τοῦτον τὸν λόγον ἀναγκαῖον ἅπαν, ὅ τι ἂν τεθῇ
ἐπὶ τοῦ μέσου, μένειν, ὥστε καὶ τὸ πῦρ ἠρεμήσει· τὸ γὰρ
εἰρημένον οὐκ ἴδιόν [g]ἐστι τῆς γῆς. [1]Ἀλλὰ [h]μὴν [i]οὐδ' ἀναγ-
καῖον· οὐ γὰρ μόνον φαίνεται [k]μένουσα ἐπὶ τοῦ μέσου, ἀλλὰ
καὶ [l]φερομένη [m]πρὸς τὸ μέσον. [n]Ὅπου γὰρ ὁτιοῦν φέρεται 27
[n]μέρος αὐτῆς, ἀναγκαῖον ἐνταῦθα φέρεσθαι [o]καὶ τὴν ὅλην·
οὗ δὲ [p]φέρεται κατὰ φύσιν, καὶ [q]μένει [r]ἐνταυθοῖ κατὰ φύσιν.
Οὐκ ἄρα διὰ τὸ ὁμοίως ἔχειν πρὸς τὰ ἔσχατα· τοῦτο μὲν
γὰρ πᾶσι κοινόν, τὸ δὲ φέρεσθαι πρὸς τὸ μέσον ἴδιον τῆς
γῆς. [1]Ἄτοπον δὲ καὶ τοῦτο μὲν ζητεῖν, διὰ τί ποτε μένει ἡ
γῆ ἐπὶ τοῦ μέσου, τὸ δὲ πῦρ μὴ ζητεῖν διὰ τί ἐπὶ τοῦ ἐσχά-
του. Εἰ μὲν γὰρ κἀκείνῳ φύσει τόπος ὁ ἔσχατος, δῆλον 28
ὅτι ἀναγκαῖον εἶναί τινα καὶ τῇ γῇ φύσει τόπον· εἰ δὲ [s]μὴ
ταύτῃ οὗτος ὁ τόπος, ἀλλὰ διὰ τὴν ἀνάγκην [t]μένει [v]τὴν τῆς
ὁμοιότητος, ὥσπερ ὁ περὶ τῆς τριχὸς λόγος τῆς ἰσχυρῶς μὲν
ὁμοίως δὲ πάντῃ τεινομένης, ὅτι οὐ διαρραγήσεται, καὶ τοῦ
[w]πεινῶντος καὶ διψῶντος σφόδρα μὲν ὁμοίως δὲ καὶ τῶν
ἐδωδίμων καὶ ποτῶν ἴσον ἀπέχοντος (καὶ γὰρ τοῦτον ἠρεμεῖν
ἀναγκαῖον), ζητητέον αὐτοῖς περὶ τῆς τοῦ πυρὸς μονῆς ἐπὶ
τῶν ἐσχάτων. Θαυμαστὸν δὲ καὶ τὸ περὶ [x]μὲν τῆς μονῆς 29
ζητεῖν, περὶ δὲ τῆς φορᾶς αὐτῶν μὴ ζητεῖν, διὰ [y]τίν' αἰτίαν
τὸ μὲν ἄνω φέρεται τὸ [z]δ' ἐπὶ τὸ μέσον μηδενὸς ἐμποδίζον-
τος. [1]Ἀλλὰ μὴν οὐδ' [a]ἀληθές ἐστι τὸ λεγόμενον. Κατὰ
συμβεβηκὸς μέντοι [b]τοῦτ' ἀληθές, ὡς ἀναγκαῖον μένειν ἐπὶ
τοῦ μέσου [c]πᾶν ᾧ μηθὲν μᾶλλον δεῦρο ἢ δεῦρο κινεῖσθαι
προσήκει. [1]Ἀλλὰ [d]διά γε τοῦτον τὸν λόγον οὐ μενεῖ ἀλλὰ

[f] τὸ ἐναντίον E.L. [g] ἐστι] ἐπὶ E. [h] μὴν om. H. [i] οὐκ E.L. [k] ἐπὶ τοῦ μέσου μένουσα M. [l] φερομένη—ὁτιοῦν om. pr. E. [m] πρὸς] ἐπὶ F. [n] μόριον E.L. [o] καὶ om. E. [p] φέρεταί τι κατὰ H. [q] μένειν M. [r] ἐνταῦθα F.H.M. [s] μηδὲ M, μήτε L, οὐδὲ E. [t] μένειν L. [v] τὴν om. F.H. [w] διψῶντος καὶ πεινῶντος F.H.M. [x] μὲν om. E. [y] τινα ποτὲ αἰτίαν H. [z] δ'] δὲ κάτω F. [a] ἀληθές γε ἐστὶ F. [b] τοῦτ'] τὸ E, τοῦτό γε H.M. [c] πᾶν ᾧ] παρὰ pr. E. [d] γε διὰ H.

κινηθήσεται, οὐ μέντοι ὅλον ἀλλὰ [e]διεσπασμένον. [f]Ὁ γὰρ αὐτὸς ἁρμόσει λόγος καὶ ἐπὶ τοῦ πυρός· ἀνάγκη γάρ [f]τεθὲν [g]μένειν ὁμοίως ὥσπερ τὴν γῆν· ὁμοίως γὰρ ἕξει πρὸς τῶν σημείων τῶν ἐσχάτων ὁτιοῦν· ἀλλ' ὅμως οἰσθήσεται ἀπὸ τοῦ μέσου, ὥσπερ καὶ φαίνεται φερόμενον, ἂν μή τι κωλύῃ, πρὸς τὸ ἔσχατον· πλὴν οὐχ ὅλον πρὸς ἓν σημεῖον (τοῦτο γὰρ ἀναγκαῖον μόνον συμβαίνειν ἐκ τοῦ λόγου τοῦ περὶ τῆς ὁμοιότητος) ἀλλὰ τὸ ἀνάλογον μόριον πρὸς τὸ ἀνάλογον τοῦ ἐσχάτου, λέγω δ' οἷον τὸ τέταρτον μέρος πρὸς [h]τὸ τέταρτον μέρος τοῦ περιέχοντος· οὐθὲν γὰρ στιγμὴ τῶν σωμάτων ἐστίν. [i]Ὥσπερ δὲ κἂν ἐκ μεγάλου [i]συνέλθοι πυκνούμενον εἰς ἐλάττω τόπον, οὕτω κἂν ἐξ ἐλάττονος εἰς [k]μείζω μανότερον γιγνόμενον· ὥστε κἂν ἡ γῆ τοῦτον τὸν τρόπον ἐκινεῖτο ἀπὸ τοῦ μέσου διά γε τὸν τῆς ὁμοιότητος λόγον, εἰ μὴ φύσει [l]τῆς γῆς [m]οὗτος τόπος ἦν. [n]Ὅσα μὲν οὖν τυγχάνει περί τε τοῦ σχήματος αὐτῆς [n]ὑπολαμβανόμενα καὶ περὶ τόπου καὶ μονῆς καὶ κινήσεως, σχεδὸν ταῦτ' ἐστίν.

14 [r]Ἡμεῖς δὲ λέγωμεν πρῶτον πότερον ἔχει κίνησιν ἢ μένει· καθάπερ [o]γὰρ εἴπομεν, οἱ μὲν αὐτὴν [p]ἓν τῶν [p]ἄστρων ποιοῦσιν, οἱ δ' ἐπὶ τοῦ μέσου θέντες [q]ἴλλεσθαι καὶ κινεῖσθαι [r]φασι περὶ τὸν [s]πόλον μέσον. [u]Ὅτι δ' ἐστιν ἀδύνατον, δῆλον λαβοῦσιν ἀρχὴν ὡς εἴπερ φέρεται εἴτ' ἐκτὸς οὖσα τοῦ μέσου εἴτ' ἐπὶ τοῦ μέσου, ἀναγκαῖον αὐτὴν [t]βίᾳ κινεῖσθαι ταύτην τὴν κίνησιν· οὐ γὰρ αὐτῆς γε τῆς γῆς [v]ἐστίν· καὶ γὰρ ἂν τῶν μορίων ἕκαστον ταύτην εἶχε τὴν φοράν· νῦν δ' ἐπ' εὐθείας πάντα φέρεται πρὸς τὸ μέσον. Διόπερ οὐχ οἷόν τ' ἀΐδιον εἶναι, βίαιον [w]γ' οὖσαν καὶ παρὰ φύσιν· ἡ δέ [x]γε τοῦ κόσμου τάξις ἀΐδιός [y]ἐστιν. [u]Ἔτι πάντα τὰ φερόμενα [z]τὴν φορὰν τὴν ἐγκύκλιον ὑπολειπόμενα φαίνεται καὶ κινού-

[e] διασπώμενον F.H.M. [f] τεθέντος F.H.M. [g] μένειν μὲν ὁμοίως H. [h] τὸ om. E. [i] συνέλθῃ L. [k] μεῖζον F. [l] τῇ γῇ F. [m] οὗτος ὁ τόπος H.L, ὁ τόπος οὗτος M, ὁ τόπος F. [n] ὑπολαμβανομένου M. [o] γὰρ om. E. [p] ἄστρων εἶναι π. E.L. [q] εἰλεῖσθαι H, om. F. [r] φασίν ante ὅτι δ' ἐστὶν F. [s] μέσον πόλον F.H.M. [t] κινεῖσθαι βίᾳ H. [v] ἐστὶν ἡ κίνησις· καὶ L. [w] γ'] τε F.H. [x] γε om. H. [y] ἐστιν om. E.L. [z] τὴν φορὰν om. E.

μενα πλείους μιᾶς [a]φορᾶς ἔξω τῆς πρώτης σφαίρας, ὥστε καὶ τὴν γῆν ἀναγκαῖον, εἴτε περὶ τὸ μέσον εἴτ' ἐπὶ τοῦ μέσου κειμένη φέρεται, δύο κινεῖσθαι φοράς. Τούτου δὲ συμβαίνοντος ἀναγκαῖον γίγνεσθαι [b]παρόδους καὶ τροπὰς τῶν ἐνδεδεμένων ἄστρων. Τοῦτο δ' οὐ [c]φαίνεται γιγνόμενον, ἀλλ' ἀεὶ ταὐτὰ κατὰ τοὺς αὐτοὺς ἀνατέλλει τε καὶ δύεται τόπους αὐτῆς. [d]Ἔτι δ' ἡ φορὰ τῶν μορίων καὶ ὅλης αὐτῆς ἡ κατὰ 4
φύσιν ἐπὶ τὸ μέσον τοῦ παντός ἐστιν· [d]διὰ [e]τοῦτο γὰρ [f]καὶ τυγχάνει κειμένη νῦν ἐπὶ τοῦ κέντρου· διαπορήσειε [g]δ' ἄν τις, ἐπεὶ ταὐτὸν ἀμφοτέρων ἐστὶ τὸ μέσον, [h]πρὸς πότερον φέρεται τὰ βάρος ἔχοντα καὶ τὰ μόρια τῆς γῆς κατὰ φύσιν· πότερον ὅτι τοῦ παντός ἐστι μέσον, ἢ διότι τῆς γῆς. [i]Ἀνάγκη δὴ πρὸς τὸ τοῦ παντός· καὶ γὰρ τὰ κοῦφα καὶ τὸ πῦρ εἰς τοὐναντίον φερόμενα τοῖς [i]βάρεσι πρὸς τὸ ἔσχατον φέρεται τοῦ περιέχοντος τόπου τὸ μέσον. Συμβέβηκε δὲ 5
ταὐτὸ μέσον εἶναι τῆς γῆς καὶ τοῦ παντός· φέρεται γὰρ καὶ ἐπὶ τὸ τῆς γῆς μέσον, ἀλλὰ κατὰ συμβεβηκός, ᾗ τὸ μέσον ἔχει ἐν τῷ τοῦ παντὸς μέσῳ. [j]Ὅτι δὲ φέρεται [k]καὶ πρὸς τὸ τῆς γῆς μέσον, σημεῖον ὅτι τὰ φερόμενα βάρη ἐπὶ ταύτην οὐ παρ' ἄλληλα φέρεται ἀλλὰ πρὸς ὁμοίας γωνίας, ὥστε πρὸς ἓν τὸ [l]μέσον φέρεται, καὶ τὸ τῆς γῆς. Φανερὸν τοί- 6
νυν ὅτι ἀνάγκη [m]ἐπὶ τοῦ μέσου εἶναι τὴν γῆν καὶ ἀκίνητον, διά τε τὰς εἰρημένας αἰτίας, καὶ διότι τὰ βίᾳ ῥιπτούμενα ἄνω βάρη κατὰ στάθμην πάλιν φέρεται εἰς [n]ταὐτό, κἂν εἰς ἄπειρον ἡ δύναμις [o]ἐκριπτῇ. [j]Ὅτι μὲν οὖν οὔτε κινεῖται οὔτ' ἐκτὸς κεῖται τοῦ μέσου, φανερὸν ἐκ τούτων· πρὸς δὲ τούτοις δῆλον ἐκ τῶν εἰρημένων τὸ αἴτιον τῆς μονῆς. Εἰ 7
γὰρ φύσει πέφυκε φέρεσθαι [p]πάντοθεν πρὸς τὸ μέσον, [q]ὥσπερ φαίνεται, καὶ τὸ πῦρ [r]ἀπὸ τοῦ μέσου πάλιν πρὸς τὸ ἔσχατον, ἀδύνατον ἐνεχθῆναι ὁτιοῦν μόριον αὐτῆς ἀπὸ

[a] *σφαίρας*] *φορᾶς* H, om. E.L.M. [b] *πάροδον* M, *πάραδον* E. [c] *φαίνεται* om. E. [d] *διὰ* om. E.L. [e] *γὰρ τοῦτο* F. [f] *καὶ*] *κἂν εἰ* E.L. [g] *δ'* om. E.L. [h] *πρὸς*] *πῶς* M. [i] *βάρεσι τῆς γῆς πρὸς* F.H.M. [k] *καὶ* om. E. [l] *μέσον μόνον φ.* L. [m] *ἐπὶ*] *καὶ ἐπὶ* E. [n] *ταυτὸν* L, *τὸ αὐτὸ* F.M. [o] *ἐκρίπτη* M. [p] *πρὸς τὸ μέσον πάντοθεν* M. [q] *ὥσπερ καὶ φ.* H. [r] *πάλιν ἀπὸ τοῦ μέσου* H.M.

τοῦ μέσου μὴ [s]βιασθέν· μία γὰρ φορὰ τοῦ ἑνὸς καὶ ἁπλῆ τοῦ ἁπλοῦ, ἀλλ' οὐχ αἱ ἐναντίαι· ἡ δ' ἀπὸ τοῦ μέσου τῇ ἐπὶ
8 τὸ μέσον ἐναντία. Εἰ τοίνυν ὁτιοῦν μόριον ἀδύνατον ἐνεχθῆναι ἀπὸ τοῦ μέσου, φανερὸν ὅτι καὶ τὴν ὅλην ἔτι [t]ἀδυνατώτερον· εἰς ὃ γὰρ τὸ μόριον [v]πέφυκε φέρεσθαι, καὶ τὸ ὅλον ἐνταῦθα πέφυκεν· ὥστ' εἴπερ ἀδύνατον κινηθῆναι μὴ ὑπὸ κρείττονος ἰσχύος, ἀναγκαῖον ἂν εἴη [w]μένειν αὐτὴν ἐπὶ τοῦ μέσου. Μαρτυρεῖ δὲ τούτοις [x]καὶ τὰ παρὰ τῶν μαθηματικῶν λεγόμενα περὶ τὴν ἀστρολογίαν· τὰ γὰρ φαινόμενα συμβαίνει μεταβαλλόντων τῶν σχημάτων [y]οἷς ὥρισται τῶν ἄστρων ἡ τάξις, ὡς ἐπὶ τοῦ μέσου κειμένης τῆς γῆς.
9 Περὶ μὲν [z]οὖν τοῦ τόπου καὶ μονῆς καὶ κινήσεως, [a]ὃν τρόπον ἔχει, τοσαῦτα εἰρήσθω περὶ αὐτῆς. Σχῆμα δ' ἔχειν σφαιροειδὲς ἀναγκαῖον αὐτήν· ἕκαστον γὰρ τῶν [b]μορίων βάρος ἔχει μέχρι πρὸς τὸ μέσον, καὶ τὸ ἔλαττον ὑπὸ τοῦ μείζονος ὠθούμενον [c]οὐχ οἷόν τε κυμαίνειν, ἀλλὰ συμπιέζεσθαι μᾶλλον καὶ συγχωρεῖν ἕτερον ἑτέρῳ, ἕως ἂν [d]ἔλθῃ
10 ἐπὶ τὸ μέσον. Δεῖ δὲ νοῆσαι τὸ λεγόμενον ὥσπερ ἂν εἰ [e]γιγνομένης τρόπον ὃν καὶ τῶν φυσιολόγων λέγουσί [f]τινες γενέσθαι. Πλὴν ἐκεῖνοι [g]μὲν βίαν αἰτιῶνται τῆς κάτω φορᾶς· βέλτιον δὲ τιθέναι τἀληθές, καὶ φάναι τοῦτο συμβαίνειν διὰ τὸ [h]φύσιν ἔχειν φέρεσθαι τὸ βάρος ἔχον πρὸς τὸ
11 μέσον. [i]Ἐν δυνάμει οὖν ὄντος τοῦ [i]μίγματος τὰ διακρινόμενα ἐφέρετο ὁμοίως πάντοθεν πρὸς τὸ μέσον. Εἶτ' οὖν ὁμοίως ἀπὸ τῶν ἐσχάτων διῃρημένα τὰ μόρια συνήχθη πρὸς τὸ μέσον, εἶτ' ἄλλως ἔχοντα, ποιήσει ταὐτόν. [v]Ὅτι μὲν οὖν ὁμοίως [k]γε πανταχόθεν ἀπὸ τῶν ἐσχάτων [l]φερομένων πρὸς [m]ἓν [n]τὸ [o]μέσον ἀναγκαῖον ὅμοιον γίγνεσθαι πάντῃ τὸν ὄγκον, φανερόν· ἴσου γὰρ πάντῃ προστιθεμένου [p]ἴσον

[s] *ἰσασθέν* E. [t] *ἀδυνατώτερον* ante *καὶ* F, ante *ἔτι* H. [v] *πεφ. φέρ.*] *φέρεται* H. [w] *αὐτὴν μένειν* E.F.L. [x] *καὶ* om. H. [y] *οἷς*] *οἱ* F. [z] *οὖν* om. F. [a] *ὃν*] *ὃν γὰρ* F, *ὃν καὶ* M. [b] *μερῶν* F.H.M. [c] *οὐκ οἴονται* E. [d] *ἐπὶ τὸ μέσον ἔλθῃ* F. [e] *γιγν. τὸν τρ.* E.F.H.M. [f] *γενέσθαι τινές* H. [g] *μὲν τὴν β.* L. [h] *φύσει* F. [i] *μίγματος*] *βαρέος* E.L. [k] *γε*] *τὸ* F, om. H.M. [l] *φερόμενον* F. [m] *ἐν* om. F. [n] *τὸ* om. E.M. [o] *μέρος* H. [p] *ἀνάγκη ἀπέχειν ἴσον* H.

ἀνάγκη ἀπέχειν τοῦ μέσου τὸ ἔσχατον· τοῦτο δὲ τὸ σχῆμα [q]σφαίρας ἐστίν. Οὐδὲν δὲ διοίσει πρὸς τὸν λόγον, οὐδ' εἰ 12
μὴ πανταχόθεν ὁμοίως [r]συνέθει πρὸς τὸ μέσον τὰ μόρια αὐτῆς. Τὸ γὰρ [s]πλεῖον ἀεὶ [t]τὸ πρὸ αὐτοῦ ἔλαττον [v]προωθεῖν ἀναγκαῖον μέχρι τοῦ μέσου τὴν ῥοπὴν ἐχόντων ἀμφοῖν, καὶ τοῦ βαρυτέρου [w]προωθοῦντος μέχρι τούτου τὸ ἔλαττον βάρος.
[x]Ὁ γὰρ ἄν τις ἀπορήσειε, τὴν αὐτὴν ἔχει τούτοις λύσιν· εἰ 13
γὰρ οὔσης ἐπὶ [x]τοῦ μέσου καὶ σφαιροειδοῦς τῆς γῆς [y]πολλαπλάσιον βάρος [z]ἐπιγένοιτο πρὸς θάτερον ἡμισφαίριον, οὐκ ἔσται τὸ αὐτὸ μέσον τοῦ ὅλου καὶ τὸ τῆς γῆς· ὥστε ἢ οὐ μενεῖ ἐπὶ τοῦ μέσου, ἢ εἴπερ, ἠρεμήσει [a]γε καὶ [b]μὴ τὸ μέσον ἔχουσα, [c]ᾗ πέφυκε κινεῖσθαι καὶ νῦν. Τὸ μὲν οὖν 14
ἀπορούμενον τοῦτ' ἐστίν· ἰδεῖν δ' οὐ χαλεπὸν μικρὸν [d]ἐπιτείναντας, καὶ διελόντας πῶς ἀξιοῦμεν ὁποσονοῦν μέγεθος [e]φέρεσθαι πρὸς τὸ μέσον, βάρος ἔχον. Δῆλον γὰρ ὡς [f]οὐχὶ μέχρι τοῦ ἅψασθαι τοῦ κέντρου τὸ ἔσχατον, ἀλλὰ δεῖ [g]κρατεῖν τὸ [h]πλέον ἕως ἂν λάβῃ τῷ [i]αὐτοῦ μέσῳ τὸ μέσον· μέχρι [k]τούτου γὰρ ἔχει [l]τὴν ῥοπήν. Οὐδὲν τοίνυν 15
[m]τοῦτο διαφέρει λέγειν [n]ἐπὶ βώλου καὶ μορίου τοῦ τυχόντος [o]ἢ ἐπὶ ὅλης τῆς γῆς· οὐ γὰρ διὰ μικρότητα ἢ μέγεθος εἴρηται τὸ συμβαῖνον, ἀλλὰ κατὰ παντὸς τοῦ ῥοπὴν ἔχοντος ἐπὶ τὸ μέσον· ὥστε εἴτε ὅλη [p]πόθεν ἐφέρετο εἴτε κατὰ μέρος, ἀναγκαῖον μέχρι τούτου φέρεσθαι ἕως [q]ἂν παντα-χόθεν ὁμοίως [r]λάβῃ τὸ μέσον, [s]ἀνισαζομένων τῶν ἐλαττόνων ὑπὸ τῶν μειζόνων τῇ προώσει [t]τῆς ῥοπῆς. [v]Εἶτ' οὖν 16
ἐγένετο, τοῦτον ἀναγκαῖον γενέσθαι τὸν τρόπον, ὥστε φανε-

[q] σφαῖρα L. et fortasse E. [r] συνέλθοι F. [s] πλέον L. [t] τὸ om. E. [v] προσωθεῖν F. [w] προσωθοῦντος E.F.H.L. [x] τὸ μέσον F, τῷ μέσῳ corr. M. [y] πολλαπλασίως F. [z] ἐπιγίγνοιτο L. [a] γε] τε E. [b] μὴ om. E. [c] ᾗ] ἢ L. [d] ἐπιστήσαντας F.H. [e] πρὸς τὸ μέσον φέρεσθαι L.M. [f] οὐ F. [g] κρατεῖν] γρ. λαβεῖν margo E. [h] πλεῖον F.H.M. [i] αὐτῷ M. [k] γὰρ τούτου L. [l] τὴν om. E.L. [m] διαφέρει τοῦτο E.L. [n] ἐπὶ τοῦ β. F.M. [o] ἢ] καὶ pr. F. [p] πόθον E, τυχὸν (supra posito πόθεν) F. [q] ἂν om. M. [r] λάβοι F. [s] ἀναγκαζομένων L. [t] τῆς ῥοπῆς om. F. [v] εἰ γοῦν H.

ρὸν ὅτι σφαιροειδὴς ἡ γένεσις αὐτῆς, εἶτ' ἀγένητος [w] ἀεὶ μένουσα, τὸν αὐτὸν τρόπον ἔχειν ὄνπερ [x] κἂν εἰ γιγνομένη [y] τὸ πρῶτον ἐγένετο. Κατὰ τοῦτόν [z] τε [a] δὴ τὸν λόγον ἀναγκαῖον εἶναι τὸ σχῆμα σφαιροειδὲς αὐτῆς, καὶ ὅτι πάντα φέρεται τα βαρέα [b] πρὸς ὁμοίας γωνίας, ἀλλ' οὐ παρ' ἄλληλα· τοῦτο δὲ πέφυκε πρὸς τὸ φύσει σφαιροειδές. Ἡ οὖν
17 ἐστὶ σφαιροειδής, ἢ φύσει [c] γε σφαιροειδής. Δεῖ [d] δ' ἕκαστον λέγειν τοιοῦτον εἶναι ὃ φύσει βούλεται εἶναι [e] καὶ ὃ ὑπάρχει, ἀλλὰ μὴ ὃ βίᾳ καὶ παρὰ φύσιν. Ἔτι δὲ καὶ διὰ τῶν φαινομένων κατὰ τὴν αἴσθησιν· οὔτε γὰρ [f] ἂν αἱ τῆς σελήνης ἐκλείψεις τοιαύτας ἂν εἶχον τὰς ἀποτομάς· νῦν [g] γὰρ ἐν μὲν τοῖς κατὰ μῆνα σχηματισμοῖς πάσας λαμβάνει τὰς διαιρέσεις (καὶ γὰρ εὐθεῖα γίνεται καὶ ἀμφίκυρτος καὶ κοίλη), περὶ δὲ τὰς ἐκλείψεις ἀεὶ κυρτὴν ἔχει τὴν [h] ὁρίζουσαν γραμμήν, ὥστ' ἐπείπερ ἐκλείπει διὰ τὴν τῆς γῆς ἐπιπρόσθησιν, ἡ τῆς γῆς ἂν εἴη περιφέρεια τοῦ σχήματος αἰτία σφαιρο-
18 ειδὴς οὖσα. Ἔτι [i] δὲ διὰ [k] τῆς τῶν ἄστρων φαντασίας οὐ μόνον φανερὸν ὅτι [l] περιφερής, ἀλλὰ καὶ τὸ μέγεθος οὐκ οὖσα μεγάλη· μικρᾶς [m] γὰρ γιγνομένης [n] μεταστάσεως ἡμῖν πρὸς μεσημβρίαν καὶ ἄρκτον ἐπιδήλως ἕτερος γίγνεται ὁ ὁρίζων κύκλος, ὥστε τὰ [o] ὑπὲρ κεφαλῆς ἄστρα μεγάλην ἔχειν τὴν μεταβολήν, καὶ μὴ ταὐτὰ φαίνεσθαι πρὸς ἄρκτον τε καὶ μεσημβρίαν μεταβαίνουσιν· ἔνιοι [p] γὰρ ἐν Αἰγύπτῳ μὲν ἀστέρες ὁρῶνται καὶ περὶ Κύπρον, ἐν τοῖς πρὸς ἄρκτον δὲ χωρίοις οὐχ ὁρῶνται, καὶ [q] τὰ διὰ παντὸς ἐν τοῖς πρὸς ἄρκτον [r] φαινόμενα τῶν ἄστρων ἐν ἐκείνοις τοῖς τόποις ποι-
19 εῖται δύσιν. Ὥστ' οὐ μόνον ἐκ τούτων δῆλον περιφερὲς ὂν τὸ σχῆμα τῆς γῆς, ἀλλὰ καὶ σφαίρας οὐ μεγάλης· οὐ γὰρ

[w] ἀεὶ διατελεῖ μ. F.H.M. [x] κἂν εἰ] καὶ E.L. [y] τὸ] ἂν τὸ L. [z] τε] δὲ H. [a] δὴ om. H.M. [b] πρὸς τὰς ὁμοίας E.L. [c] γε om. E.L. [d] δ'] γὰρ M. [e] καὶ ὑπάρχειν (omisso ὃ) E.L. [f] ἂν om. F.H.M. [g] μὲν γὰρ ἐν F.H.M. [h] διορίζουσαν F. [i] δὲ om. M. [k] τὰς E, nescio an corr. [l] περιφερής] σφαιροειδὴς H. [m] γὰρ] δὲ M. [n] ἡμῖν μεταβάσεως F.H.M. [o] ὑπὲρ τῆς κ. F. [p] γὰρ] μὲν γὰρ F. [q] τὰ om. E. [r] φαινόμενα om. pr. F, post ἄστρων ponit margo F.

ἂν οὕτω ταχὺ ἐπίδηλον ἐποίει μεθισταμένοις οὕτω βραχύ. Διὸ τοὺς ὑπολαμβάνοντας συνάπτειν τὸν περὶ [s]τὰς [t]Ηρακλείους στήλας τόπον τῷ περὶ τὴν [t]Ἰνδικήν, καὶ τοῦτον τὸν τρόπον εἶναι τὴν θάλατταν μίαν, μὴ λίαν ὑπολαμβάνειν ἄπιστα δοκεῖν· λέγουσι [v]δὲ τεκμαιρόμενοι καὶ τοῖς ἐλέφασιν, ὅτι περὶ [w]ἀμφοτέρους τοὺς τόπους τοὺς ἐσχατεύοντας τὸ γένος αὐτῶν ἐστίν, ὡς τῶν ἐσχάτων διὰ τὸ συνάπτειν ἀλλήλοις τοῦτο πεπονθότων. Καὶ τῶν [x]μαθηματικῶν [y]ὅσοι τὸ μέγεθος ἀναλογίζεσθαι πειρῶνται τῆς περιφερείας, εἰς [z]τετταράκοντα λέγουσιν εἶναι μυριάδας [a]σταδίων· ἐξ ὧν τεκμαιρομένοις οὐ μόνον σφαιροειδῆ τὸν ὄγκον ἀναγκαῖον εἶναι τῆς γῆς, ἀλλὰ καὶ μὴ μέγαν πρὸς τὸ τῶν ἄλλων [b]ἄστρων μέγεθος.

Γ.

Περὶ μὲν [c]οὖν τοῦ πρώτου οὐρανοῦ καὶ τῶν μερῶν, ἔτι δὲ περὶ τῶν ἐν αὐτῷ [d]φαινομένων ἄστρων, ἐκ τίνων τε συνεστᾶσι καὶ [e]ποῖ ἄττα τὴν φύσιν ἐστί, πρὸς δὲ τούτοις [f]ὅτι ἀγένητα καὶ ἄφθαρτα, διειλήφθαμεν πρότερον. [g]Ἐπεὶ δὲ τῶν φύσει λεγομένων τὰ μέν [h]ἐστιν οὐσίαι τὰ δ' ἔργα καὶ πάθη [i]τούτων (λέγω δ' οὐσίας μὲν τά [k]τε ἁπλᾶ σώματα, [l]οἷον πῦρ καὶ γῆν καὶ [m]τὰ σύστοιχα τούτοις, καὶ ὅσα ἐκ τούτων, οἷον τόν τε σύνολον οὐρανὸν καὶ τὰ μόρια αὐτοῦ, καὶ πάλιν τά τε ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μόρια τούτων, πάθη δὲ καὶ ἔργα τάς τε κινήσεις [n]τὰς τούτων ἑκάστου καὶ τῶν [o]ἄλλων, ὅσων ἐστὶν αἴτια [p]ταῦτα κατὰ [q]τὴν δύναμιν τὴν ἑαυτῶν, ἔτι δὲ τὰς ἀλλοιώσεις καὶ τὰς εἰς ἄλληλα [r]μεταβάσεις), φανερὸν ὅτι τὴν πλείστην συμβαίνει τῆς περὶ

[s] *τὰς* om. L, *τὰς—τῷ* rc. in litura E. [t] *ἡρακλείας* H. [v] *δὲ* om. E. [w] *ἀμφ. τοὺς ἐσχατεύοντας τόπους* F.H, *ἀμφ. τοὺς τόπους τοὺς ἐσχάτους ὄντας* E.L. [x] *μαθητικῶν* E. [y] *ὅσοι*] *δὲ ὅσοι* F.H.M. [z] *τεσσαράκοντα* M. [a] *σταδίων* om. E. [b] *ἀστέρων* E. [c] *οὖν* om. L. [d] *φερομένων* E.L. [e] *ὁποῖα* H.L.M. [f] *ὅτι*] *καὶ ὅτι* F. [g] *ἐπὶ* F. [h] *εἰσιν* F.M. [i] *τούτων* om. E. [k] *τε* om. F. [l] *οἷον* om. F. [m] *τὰ*] *ὅσα* F.M. [n] *τὰς* om. F. [o] *ἄλλων καὶ τῶν* E. [p] *ταῦτα τὰ στοιχεῖα κατὰ* F.M. [q] *τὴν* ante *δύναμιν* om. M. [r] *μεταβολὰς* H.L.

φύσεως [s] ἱστορίας περὶ σωμάτων εἶναι· πᾶσαι γὰρ αἱ φυσι-
καὶ οὐσίαι ἢ σώματα ἢ μετὰ σωμάτων γίγνονται καὶ μεγε-
3 θῶν. Τοῦτο δὲ δῆλον ἔκ τε τοῦ διωρίσθαι τὰ ποιά [t] ἐστι
φύσει, καὶ ἐκ τῆς καθ' ἕκαστα θεωρίας. Περὶ μὲν οὖν τοῦ
πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποιόν [v] τι τὴν φύσιν, καὶ
ὅτι ἄφθαρτον καὶ ἀγένητον· λοιπὸν δὲ περὶ τοῖν [w] δυοῖν
4 εἰπεῖν. [v]Αμα δὲ συμβήσεται περὶ τούτων λέγουσι καὶ περὶ
γενέσεως καὶ φθορᾶς διασκέψασθαι· γένεσις γὰρ ἤτοι τὸ
παράπαν οὐκ ἔστιν, ἢ μόνον ἐν τούτοις τοῖς στοιχείοις καὶ
τοῖς ἐκ τούτων ἐστίν. Αὐτὸ δὲ τοῦτο [x] πρῶτον [y] ἴσως θεω-
ρητέον, πότερον ἔστιν ἢ οὐκ ἔστιν. Οἱ μὲν οὖν [z] πρότερον
φιλοσοφήσαντες περὶ τῆς ἀληθείας καὶ πρὸς οὓς [a] νῦν λέγο-
5 μεν ἡμεῖς [b] λόγους [c] καὶ πρὸς ἀλλήλους διηνέχθησαν. Οἱ
μὲν γὰρ αὐτῶν [d] ὅλως ἀνεῖλον γένεσιν καὶ φθοράν· οὐθὲν
γὰρ οὔτε γίγνεσθαί φασιν οὔτε φθείρεσθαι τῶν ὄντων,
ἀλλὰ μόνον [e] δοκεῖν ἡμῖν, οἷον [f] οἱ περὶ Μέλισσόν τε καὶ
Παρμενίδην, οὓς, εἰ καὶ τἆλλα λέγουσι καλῶς, ἀλλ' οὐ
φυσικῶς γε δεῖ νομίσαι λέγειν· τὸ γὰρ εἶναι ἅττα τῶν
[g] ὄντων ἀγένητα καὶ ὅλως ἀκίνητα μᾶλλόν ἐστιν ἑτέρας καὶ
6 προτέρας ἢ τῆς φυσικῆς σκέψεως. [i]Εκεῖνοι δὲ διὰ τὸ μηθὲν
[h] μὲν ἄλλο [i] παρὰ τὴν τῶν αἰσθητῶν οὐσίαν ὑπολαμβάνειν
εἶναι, τοιαύτας δέ τινας [k] νοῆσαι πρῶτοι φύσεις, εἴπερ
[l] ἔσται [m] τις γνῶσις ἢ φρόνησις, οὕτω μετήνεγκαν ἐπὶ ταῦτα
τοὺς ἐκεῖθεν λόγους. [v]Ετεροι δέ [n] τινες ὥσπερ ἐπίτηδες τὴν
7 ἐναντίαν τούτοις ἔσχον δόξαν. Εἰσὶ γάρ τινες οἳ [o] φασιν
οὐθὲν ἀγένητον εἶναι τῶν πραγμάτων, ἀλλὰ πάντα γίγνε-
σθαι, γενόμενα δὲ τὰ μὲν ἄφθαρτα διαμένειν τὰ δὲ πάλιν
φθείρεσθαι, μάλιστα μὲν οἱ περὶ [r] Ησίοδον, εἶτα καὶ τῶν

[s] ἱστορίαν E. [t] ἐστι om. E. [v] τι om. E. [w] δυεῖν L. [x] πρότερον E. [y] ἴσως] οὕτως F. [z] πρότεροι φιλοσοφήσαντες H.M, φιλοσοφήσαντες πρότερον F. [a] νῦν om. E. [b] λόγους καὶ πρὸς ἡμᾶς καὶ pr. F. [c] καὶ πρὸς ἀλλήλους om. pr. E. [d] ὅλως om. F, post ἀνεῖλον ponunt H.M. [e] δοκεῖ F. [f] οἱ om. L. [g] ὄντων ὅλως ἀγ. H.M. [h] μὲν om. E. [i] παρὰ] διὰ M. [k] πρῶτον νοῆσαι H.M. [l] ἐστι H.M. [m] τις om. E. [n] τινες om. F. [o] φασιν ὅτι οὐθὲν F.

ἄλλων οἱ πρῶτοι φυσιολογήσαντες. Οἱ δὲ τὰ μὲν ἄλλα 8
πάντα [p] γίνεσθαί [q] τέ φασι καὶ ῥεῖν, εἶναι δὲ παγίως οὐθέν,
ἓν δέ τι μόνον ὑπομένειν, ἐξ οὗ [r] ταῦτα πάντα μετασχηματί-
ζεσθαι [s] πέφυκεν· ὅπερ ἐοίκασι [t] βούλεσθαι λέγειν ἄλλοι τε
πολλοὶ καὶ [t] Ἡράκλειτος ὁ [t] Ἐφέσιος. Εἰσὶ δέ τινες οἳ [v] καὶ 9
πᾶν σῶμα γενητὸν ποιοῦσι, συντιθέντες καὶ διαλύοντες εἰς
ἐπίπεδα καὶ ἐξ ἐπιπέδων. Περὶ μὲν οὖν τῶν ἄλλων ἕτερος
[w] ἔστω λόγος· τοῖς δὲ [x] τοῦτον τὸν τρόπον λέγουσι καὶ
πάντα τὰ σώματα συνιστᾶσιν ἐξ ἐπιπέδων ὅσα μὲν ἄλλα
[y] συμβαίνει λέγειν ὑπεναντία τοῖς μαθήμασιν, [z] ἐπιπολῆς
[a] ἔστιν ἰδεῖν· καίτοι δίκαιον [b] ἦν ἢ μὴ κινεῖν ἢ πιστοτέροις
αὐτὰ λόγοις κινεῖν τῶν ὑποθέσεων. [c] Ἔπειτα δῆλον ὅτι τοῦ 10
αὐτοῦ λόγου ἐστὶ στερεὰ μὲν ἐξ ἐπιπέδων συγκεῖσθαι, ἐπί-
πεδα δ' ἐκ γραμμῶν, ταύτας δ' ἐκ στιγμῶν· [d] οὕτω δ' ἐχόν-
των οὐκ ἀνάγκη τὸ τῆς γραμμῆς μέρος γραμμὴν εἶναι. Περὶ
δὲ τούτων ἐπέσκεπται πρότερον ἐν τοῖς περὶ κινήσεως λό-
γοις, ὅτι οὐκ ἔστιν ἀδιαίρετα μήκη. [v] Ὅσα δὲ περὶ τῶν φυ- 11
σικῶν σωμάτων ἀδύνατα [e] συμβαίνει λέγειν τοῖς ποιοῦσι τὰς
ἀτόμους γραμμάς, ἐπὶ μικρὸν [f] θεωρήσωμεν καὶ νῦν· τὰ μὲν
γὰρ ἐπ' ἐκείνων ἀδύνατα [g] συμβαίνοντα καὶ τοῖς φυσικοῖς
ἀκολουθήσει, τὰ δὲ τούτοις ἐπ' ἐκείνων οὐχ ἅπαντα διὰ τὸ
τὰ μὲν ἐξ ἀφαιρέσεως λέγεσθαι τὰ [h] μαθηματικά, τὰ δὲ φυ-
σικὰ ἐκ προσθέσεως. Πολλὰ δ' ἐστὶν ἃ τοῖς ἀδιαιρέτοις 12
οὐχ οἷόν τε ὑπάρχειν, τοῖς δὲ φυσικοῖς ἀναγκαῖον, οἷον εἴ [i] τί
ἐστιν [k] ἀδιαίρετον· ἐν ἀδιαιρέτῳ γὰρ διαιρετὸν ἀδύνατον
ὑπάρχειν, τὰ δὲ πάθη διαιρετὰ [l] πάντα διχῶς· ἢ γὰρ κατ'
εἶδος ἢ κατὰ [m] συμβεβηκός, κατ' εἶδος μὲν οἷον χρώματος [n] τὸ

[p] γενέσθαι E. [q] τέ om. E.L. [r] πάντα ταῦτα H.M. [s] πέφυκεν· ὅπερ βούλεται ἡ ἐν τῷ τιμαίῳ πραγματεία· ὅπερ pr. E. [t] βούλεσθαι om. L, post λέγειν ponit F. [v] καὶ alterum om. E, ante οἳ ponunt H.M. [w] ἔσται F. [x] τὸν τρόπον τοῦτον F, τοιοῦτον τρόπον M. [y] ξυμβαίνει M. [z] ἐξεπιπολῆς F. [a] ἔστιν om. H.L. [b] ἦν om. E.F.M. [c] ἔπειτα δὲ δ. F.M. [d] οὕτω δ'] ὧν οὕτως H M. [e] ξυμβαίνει H.M. [f] θεωρήσομεν L. [g] ξυμβαίνοντα H.M. [h] μαθητικὰ E. [i] τι] τε L. [k] διαιρετὸν M. [l] πάντη M. [m] ξυμβεβηκός M. [n] τό τε λ. F.

λευκὸν [o] καὶ τὸ μέλαν, κατὰ [p] συμβεβηκὸς δέ, ἂν ᾖ [q] ὑπάρχει [r] ᾗ διαιρετόν, ὥστε ὅσα [s] ἁπλᾶ τῶν [t] παθημάτων, πάντ' ἐστὶ
13 διαιρετὰ τοῦτον [v] τὸν τρόπον. Διὸ τὸ ἀδύνατον ἐν τοῖς τοιούτοις ἐπισκεπτέον. Εἰ δὴ τῶν ἀδυνάτων ἐστὶν ἑκατέρου [w] μέρους μηδὲν ἔχοντος [x] βάρος τὰ ἄμφω ἔχειν βάρος, τὰ δ' αἰσθητὰ σώματα [y] ἢ πάντα ἢ [z] ἔνια βάρος [a] ἔχει, οἷον ἡ γῆ καὶ τὸ ὕδωρ, ὡς [b] κἂν αὐτοὶ [c] φαῖεν, εἰ [d] ἡ στιγμὴ μηδὲν [e] ἔχει βάρος, δῆλον ὅτι οὐδ' αἱ γραμμαί, εἰ δὲ [f] μὴ [g] αὗται,
14 οὐδὲ τὰ ἐπίπεδα· ὥστ' οὐδὲ τῶν σωμάτων οὐθέν. [h]Αλλὰ μὴν ὅτι τὴν στιγμὴν οὐχ οἷόν τε βάρος ἔχειν, φανερόν. Τὸ μὲν γὰρ βαρὺ ἅπαν καὶ βαρύτερον [h] καὶ τὸ κοῦφον καὶ κουφότερον ἐνδέχεταί τινος εἶναι. Τὸ δὲ βαρύτερον ἢ κουφότερον ἴσως οὐκ ἀνάγκη βαρὺ ἢ κοῦφον εἶναι, ὥσπερ [i] καὶ τὸ [k] μὲν μέγα μεῖζον, τὸ δὲ μεῖζον οὐ [l] πάντως [m] μέγα· πολλὰ γάρ ἐστιν ἃ μικρὰ ὄντα ἁπλῶς [n] ὅμως μείζω [o] τινῶν ἑτέρων ἐστίν. Εἰ [p] δὴ ὃ ἂν βαρὺ ὂν βαρύτερον [q] ᾖ, ἀνάγκη βάρει μεῖζον εἶναι, [r] καὶ τὸ βαρὺ ἅπαν διαιρετὸν ἂν εἴη. [t]Η δὲ
15 στιγμὴ ἀδιαίρετον ὑπόκειται. [u]Ετι εἰ τὸ μὲν βαρὺ πυκνόν [s] τι, τὸ δὲ κοῦφον [t] μανόν, ἔστι δὲ πυκνὸν μανοῦ διαφέρον τῷ ἐν ἴσῳ ὄγκῳ [v] πλεῖον ἐνυπάρχειν. Εἰ οὖν ἐστὶ στιγμὴ βαρεῖα καὶ κούφη, [w] ἔσται [x] καὶ πυκνὴ καὶ μανή. [t]Αλλὰ τὸ μὲν πυκνὸν διαιρετόν, ἡ δὲ στιγμὴ ἀδιαίρετος. [y]Εἰ δὲ πᾶν τὸ βαρὺ [z] ἢ [a] μαλακὸν ἢ σκληρὸν ἀνάγκη εἶναι, ῥᾴδιον ἐκ τούτων ἀδύνατόν τι [b] συναγαγεῖν. Μαλακὸν [c] μὲν γὰρ τὸ εἰς [d] ἑαυτὸ ὑπεῖκον, [e] σκληρὸν δὲ τὸ μὴ ὑπεῖκον. Τὸ δὲ ὑπεῖ-

[o] καὶ] ἢ E.L. [p] ξυμβεβηκός H.M. [q] ὑπάρχῃ F.H.L.M, μὴ ὑπάρχει E. [r] ᾗ om. E. [s] ἁπλᾶ ante πάντ' H. [t] παθημάτων] παθητῶν σωμάτων E. [v] τὸν om. F. [w] μέρους om. E. [x] βάρος post ἔχειν om. H.M. [y] ἢ post σώματα om. E. [z] ἔνια] τινα H.M. [a] ἔχειν F. [b] καὶ L. [c] φαῖεν ἂν εἰ H.M. [d] ἡ μὲν στ. F. [e] ἔχοι M. [f] μὴ] μηδ' H.M. [g] αὐτὰ M, αὗται δηλονότι F. [h] καὶ τὸ κοῦφοι om. E. [i] καὶ] γὰρ E. [k] μὲν om. E. [l] πᾶν F.H.M. [m] μέγα ἀνάγκη π. F. [n] ὅμως om. F.H.M. [o] τινῶν om. E.L. [p] δὴ] δὲ E.L. [q] ᾖ] εἰ δὲ E. [r] καὶ om. E.L. [s] τι om. E.M. [t] μανόν τί ἐστι, τὸ δὲ π. μ. διαφέρει F. [v] πλείω F. [w] ἔσται] ἔστι F.H.L.M. [x] καὶ εἰ π. H. [y] εἰ δὲ πᾶν] ἐπὰν E. [z] ἢ om. F. [a] σκληρὸν ἢ μαλακὸν H. [b] ξυνάγειν H.M. [c] μὲν om. M. [d] αὐτὸ H, αὐτὸ F.M. [e] σκληρὸν δὲ τὸ μὴ ὑπεῖκον post διαιρετόν E.L.

κον διαιρετόν. [a]Αλλὰ μὴν οὐδ' ἐκ μὴ ἐχόντων βάρος ἔσται 16
βάρος. [f]Τό τε γὰρ ἐπὶ πόσων [g]συμβήσεται τοῦτο καὶ
[h]ἐπὶ [i]ποίων, πῶς διοριοῦσι μὴ βουλόμενοι πλάττειν; Καὶ εἰ
πᾶν μεῖζον βάρος βάρους βάρει, [g]συμβήσεται καὶ ἕκαστον
τῶν [k]ἀμερῶν βάρος ἔχειν· εἰ γὰρ αἱ [l]τέτταρες στιγμαὶ
βάρος ἔχουσι, τὸ δ' ἐκ πλειόνων ἢ [m]τοδὶ βαρέος ὄντος βαρύ-
τερον, [n]τὸ δὲ βαρέος βαρύτερον ἀνάγκη βαρὺ εἶναι, ὥσπερ
καὶ τὸ λευκοῦ λευκότερον λευκόν, [o]ὥστε τὸ μεῖζον μιᾷ στιγμῇ
βαρύτερον ἔσται ἀφαιρεθέντος τοῦ ἴσου. [p]Ὥστε καὶ ἡ μία
στιγμὴ βάρος ἕξει. [q]Ετι εἰ μὲν τὰ ἐπίπεδα μόνον κατὰ 17
γραμμὴν ἐνδέχεται συντίθεσθαι, ἄτοπον· ὥσπερ γὰρ [p]καὶ
γραμμὴ πρὸς γραμμὴν ἀμφοτέρως συντίθεται, καὶ κατὰ μῆ-
κος καὶ κατὰ πλάτος, [q]δεῖ καὶ ἐπίπεδον ἐπιπέδῳ τὸν αὐτὸν
τρόπον. Γραμμὴ δὲ δύναται γραμμῇ συντίθεσθαι κατὰ
γραμμὴν [r]ἐπιτιθεμένην, οὐ μὴν προστιθεμένην. [a]Αλλὰ [s]μὴν
εἴ γε καὶ κατὰ πλάτος [t]ἐνδέχεται συντίθεσθαι, ἔσται τι σῶμα
[v]ὃ οὔτε στοιχεῖον οὔτε [w]ἐκ στοιχείων συντιθέμενον ἐκ τῶν οὕτω
συντιθεμένων ἐπιπέδων. [q]Ετι εἰ μὲν πλήθει βαρύτερα τὰ σώ- 18
ματα [x]τὰ τῶν ἐπιπέδων, ὥσπερ ἐν τῷ Τιμαίῳ διώρισται, δῆλον
ὡς ἕξει καὶ ἡ [y]γραμμὴ καὶ ἡ στιγμὴ βάρος· ἀνάλογον γὰρ
πρὸς ἄλληλα ἔχουσιν, ὥσπερ καὶ πρότερον εἰρήκαμεν. Εἰ δὲ μὴ
τοῦτον διαφέρει τὸν τρόπον ἀλλὰ τῷ τὴν μὲν γῆν εἶναι βαρὺ
τὸ δὲ πῦρ κοῦφον, ἔσται καὶ τῶν ἐπιπέδων τὸ μὲν [z]κοῦφον
τὸ δὲ βαρύ. Καὶ τῶν γραμμῶν δὴ καὶ [a]τῶν στιγμῶν [b]ὡσαύ-
τως· τὸ γὰρ τῆς γῆς ἐπίπεδον ἔσται βαρύτερον ἢ τὸ τοῦ
πυρός. [v]Ολως δὲ [c]συμβαίνει [d]ἢ μηδέν ποτ' εἶναι μέγεθος, ἢ 19
δύνασθαί γε ἀναιρεθῆναι, [e]εἴπερ [f]ὁμοίως ἔχει [g]στιγμὴ μὲν

[f] *τό τε*] *καὶ* F.H.M. [g] *ξυμβήσεται* H.M. [h] *ἐπὶ* om. F. [i] *ποίων ἢ πῶς* F.H.M, dubio E. [k] *ἀβαρῶν* H.M. [l] *τέσσαρες* F.H.M. [m] *τοδὶ* dubium E. [n] *τὸ*] *ὃ* L. *τὸ δὲ βαρέος βαρύτερον* om. E. [o] *ὥστε καὶ τὸ* F. [p] *καὶ* om. E. [q] *δεῖ τὸν αὐτὸν τρόπον καὶ ἐπίπεδον ἐπιπέδῳ* F, *δεῖ καὶ ἐπίπεδον τρόπον* E. [r] *ἐπιτιθεμένη οὐ μὴν προστιθουμένη* M. [s] *μὴν* om. E.F. [t] *συντίθεσθαι ἐνδέχεται* F, *ἐνδ. ξυντ.* H. [v] *ὃ* om. E. [w] *ἐκ τῶν στ.* F. [x] *τὰ* ante *τῶν* om. F.H.L.M. [y] *στιγμὴ καὶ ἡ γραμμὴ* H.M. [z] *βαρὺ τὸ δὲ κοῦφον* F. [a] *τῶν* om. M. [b] *ὡσαύτως. καὶ γὰρ τὸ* F. [c] *ξυμβαίνει* H.M. [d] *ἢ* om. E. [e] *ἐπείπερ* H. [f] *ὁμοίως γ' ἔχει* F. [g] *στιγμὴ*] *μονὰς* E.M.

πρὸς γραμμήν, γραμμὴ δὲ πρὸς ἐπίπεδον, τοῦτο δὲ πρὸς σῶμα· [h]πάντα γὰρ [i]εἰς ἄλληλα ἀναλυόμενα εἰς τὰ πρῶτα ἀναλυθήσεται· ὥστ' [k]ἐνδέχοιτ' ἂν στιγμὰς μόνον εἶναι, σῶμα δὲ μηθέν. Πρὸς δὲ τούτοις καὶ εἰ ὁ χρόνος ὁμοίως [l]ἔχει, ἀναιροῖτ' ἄν ποτε ἢ [m]ἐνδέχοιτ' ἀναιρεθῆναι· τὸ γὰρ νῦν τὸ ἄτομον οἷον στιγμὴ γραμμῆς ἐστίν. Τὸ δ' αὐτὸ [n]συμβαίνει καὶ τοῖς ἐξ ἀριθμῶν [o]συντιθεῖσι τὸν οὐρανόν· ἔνιοι γὰρ τὴν φύσιν ἐξ ἀριθμῶν συνιστᾶσιν, [p]ὥσπερ τῶν Πυθαγορείων τινές· τὰ μὲν γὰρ φυσικὰ σώματα φαίνεται βάρος ἔχοντα καὶ κουφότητα, τὰς δὲ μονάδας οὔτε [q]σῶμα ποιεῖν οἷόν τε [r]συντιθεμένας οὔτε βάρος ἔχειν.

2 [v]Ὅτι δ' [s]ἀναγκαῖον [t]ὑπάρχειν κίνησιν τοῖς ἁπλοῖς σώμασι [v]φύσει τινὰ πᾶσιν, ἐκ τῶνδε δῆλον. [w]Ἐπεὶ [x]γὰρ κινούμενα φαίνεται, κινεῖσθαί [y]γε ἀναγκαῖον βίᾳ, εἰ μὴ οἰκείαν [z]ἔχει κίνησιν· τὸ [a]δὲ βίᾳ καὶ παρὰ φύσιν [b]ταὐτόν. [1]Ἀλλὰ μὴν εἰ παρὰ φύσιν ἐστί τις κίνησις, ἀνάγκη [c]εἶναι καὶ κατὰ φύσιν, παρ' ἣν αὕτη· καὶ εἰ πολλαὶ [d]αἱ παρὰ φύσιν, τὴν κατὰ φύσιν μίαν· κατὰ φύσιν μὲν γὰρ ἁπλῶς, παρὰ φύσιν δ' ἔχει 2 [e]πολλὰς ἕκαστον. [1]Ἔτι δὲ καὶ ἐκ τῆς ἠρεμίας δῆλον· καὶ γὰρ ἠρεμεῖν ἀναγκαῖον ἢ βίᾳ ἢ κατὰ φύσιν· βίᾳ [f]δὲ μένει οὗ [g]καὶ φέρεται βίᾳ, καὶ κατὰ φύσιν [h]οὗ κατὰ φύσιν. [1]Ἐπεὶ οὖν φαίνεταί τι μένον ἐπὶ τοῦ μέσου, εἰ μὲν κατὰ φύσιν, δῆλον ὅτι καὶ ἡ φορὰ ἡ ἐνταῦθα κατὰ φύσιν [i]αὐτῷ· εἰ δὲ βίᾳ, 3 [k]τί τὸ φέρεσθαι κωλῦον; Εἰ μὲν ἠρεμοῦν, τὸν αὐτὸν κυκλήσομεν λόγον· ἀνάγκη γὰρ ἢ κατὰ φύσιν εἶναι τὸ πρῶτον ἠρεμοῦν ἢ εἰς ἄπειρον [l]ἰέναι, ὅπερ ἀδύνατον· εἰ δὲ κινούμενον τὸ κωλῦον φέρεσθαι, καθάπερ [m]φησὶν [1]Ἐμπεδοκλῆς τὴν γῆν

[h] ἅπαντα H.L.M. [i] εἰς] πρὸς H.M. [k] ἐνδέχεται στ. E. [l] ἔχοι F. [m] ἐνδέχοιτ' ἂν ἀνῃρῆσθαι F.L. [n] ξυμβαίνει H. [o] συνιστᾶσι vel συνιστῶσι E, συνιστῶσι L. [p] ὥσπερ καὶ τῶν L. [q] σώματα E. [r] συντεθεμένας F, ξυντεθεμένας H, ξυντιθεμένας M. [s] ἀνάγκη F. [t] ὑπάρχειν καὶ κ. F.H.M. [v] φύσει τινὰ πᾶσιν om. pr. E. [w] ἐπειδὴ F.H. [x] γὰρ om. E. [y] γε] τε H. [z] κίνησιν ἔχει F. [a] δὲ om. E. [b] ταυτό E [c] καὶ κατὰ φύσιν εἶναι M. [d] αἱ om. E.H. [e] πολλὰ E. [f] δὲ om. E. [g] καὶ post οὗ om. M. [h] οὗ κατὰ φύσιν om. pr. E. [i] αὐτοῦ E. [k] τί om. E. [l] ἰέναι] εἶναι L. [m] ἐμπεδοκλῆς φησίν H.L.M.

ὑπὸ τῆς δίνης ἠρεμεῖν, ποῦ ἂν ἐφέρετο, ἐπειδὴ εἰς ἄπειρον ἀδύνατον· οὐθὲν γὰρ γίγνεται ἀδύνατον, τὸ δ' ἄπειρον διελθεῖν [n] ἀδύνατον. [v]Ὥστ' ἀνάγκη στῆναί που τὸ φερόμενον, 4
κἀκεῖ μὴ βίᾳ μένειν ἀλλὰ κατὰ φύσιν. Εἰ δ' ἐστὶν ἠρεμία κατὰ φύσιν, ἔστι καὶ κίνησις κατὰ φύσιν ἡ εἰς τοῦτον τὸν τόπον φορά. Διὸ καὶ Λευκίππῳ καὶ Δημοκρίτῳ, τοῖς λέγουσιν ἀεὶ κινεῖσθαι τὰ πρῶτα σώματα ἐν τῷ κενῷ [o] καὶ τῷ ἀπείρῳ, λεκτέον τίνα κίνησιν καὶ τίς ἡ κατὰ φύσιν αὐτῶν κίνησις. Εἰ γὰρ ἄλλο ὑπ' ἄλλου κινεῖται βίᾳ τῶν στοι- 5
χείων, ἀλλὰ καὶ κατὰ φύσιν ἀνάγκη [p] τινὰ εἶναι κίνησιν ἑκάστου, παρ' ἣν ἡ βίαιός ἐστιν· καὶ δεῖ [q] τὴν πρώτην [r] κινοῦσαν μὴ βίᾳ κινεῖν, [s] ἀλλὰ κατὰ φύσιν· εἰς ἄπειρον γὰρ [t] εἶσιν, εἰ μή τι [v] ἔσται κατὰ φύσιν κινοῦν πρῶτον, ἀλλ' ἀεὶ [w] τὸ [x] πρότερον [y] βίᾳ κινούμενον κινήσει. Τὸ [z] αὐτὸ δὲ τοῦτο [a] συμβαίνειν ἀναγκαῖον κἂν εἰ καθάπερ ἐν τῷ Τιμαίῳ γέγραπται, πρὶν γενέσθαι τὸν κόσμον ἐκινεῖτο τὰ στοιχεῖα ἀτάκτως. [4]Ἀνάγκη γὰρ ἢ βίαιον εἶναι τὴν κίνησιν ἢ κατὰ φύσιν. 6
Εἰ δὲ κατὰ φύσιν ἐκινεῖτο, ἀνάγκη κόσμον εἶναι, ἐάν τις [b] βούληται θεωρεῖν ἐπιστήσας· τό τε γὰρ πρῶτον κινοῦν ἀνάγκη κινεῖν αὐτό, κινούμενον κατὰ φύσιν, καὶ τὰ κινούμενα μὴ βίᾳ, ἐν τοῖς οἰκείοις ἠρεμοῦντα τόποις, ποιεῖν ἥνπερ [c] ἔχουσι νῦν τάξιν, τὰ [d] μὲν βάρος ἔχοντα ἐπὶ τὸ μέσον, τὰ δὲ [e] κουφότητα ἀπὸ τοῦ μέσου· ταύτην δ' ὁ κόσμος ἔχει τὴν [f] διάταξιν. [4]Ἔτι δὲ τοσοῦτον ἐπανέροιτ' ἄν τις, πότερον [g] δυνα- 7
τὸν ἢ οὐχ οἷόν τ' ἦν κινούμενα ἀτάκτως καὶ μίγνυσθαι [h] τοιαύτας μίξεις ἔνια, ἐξ ὧν συνίσταται τὰ κατὰ φύσιν [i] συνιστάμενα σώματα, λέγω δ' οἷον ὀστᾶ καὶ σάρκας, καθάπερ Ἐμ-

[n] ἀδύνατον om. H. [o] καὶ ἐν τῷ F. [p] τινὰ om. E. [q] τὴν μὲν πρ. H.M. [r] κινοῦσαν] κινο M. [s] ἀλλὰ καὶ κατὰ F.H. [t] εἶσιν] ἐστιν M. [v] ἐστι F. [w] τὸ om. E. [x] πρῶτον F.H.M. [y] κινούμενον βίᾳ F.M, βίᾳ φερόμενον H. [z] δ' αὐτὸ M. [a] ξυμβαίνειν H.M. [b] βούλοιτο F. [c] νῦν ἔχουσι L. [d] μὲν γὰρ βάρος F. [e] κουφότητα ἔχοντα ἀπὸ E.H.L.M. [f] διάστασιν E. [g] δυνατὸν ἢ om. E. [h] τοιαύτας μίξεις om. E. [i] ξυνιστάμενα M.

πεδοκλῆς [k] φησὶ γίνεσθαι ἐπὶ τῆς φιλότητος· λέγει γὰρ
ὡς [l] πολλαὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν.

8 Τοῖς δ' ἄπειρα ἐν ἀπείρῳ τὰ κινούμενα ποιοῦσιν, εἰ μὲν ἓν
τὸ κινοῦν, ἀνάγκη [m] μίαν φέρεσθαι φοράν, ὥστ' οὐκ ἀτά-
κτως κινηθήσεται, εἰ δ' ἄπειρα τὰ κινοῦντα, καὶ τὰς φορὰς
ἀναγκαῖον ἀπείρους εἶναι· εἰ γὰρ [n] πεπερασμέναι, τάξις [o] τις
ἔσται· [p] οὐ γὰρ [q] τῷ μὴ φέρεσθαι εἰς τὸ αὐτὸ ἡ ἀταξία
συμβαίνει· οὐδὲ γὰρ νῦν εἰς τὸ αὐτὸ φέρεται πάντα, ἀλλὰ
τὰ [r] συγγενῆ μόνον. [u]Ετι τὸ ἀτάκτως οὐθέν ἐστιν ἕτερον
ἢ τὸ παρὰ φύσιν· ἡ γὰρ τάξις ἡ οἰκεία [s] τῶν αἰσθητῶν
9 [t] φύσις ἐστίν. [t]Αλλὰ μὴν καὶ τοῦτο ἄτοπον καὶ ἀδύνατον,
[v] τὸ ἄπειρον ἄτακτον ἔχειν κίνησιν· ἔστι γὰρ [w] ἡ φύσις
ἐκείνη τῶν πραγμάτων οἵαν ἔχει τὰ πλείω καὶ τὸν [x] πλείω
χρόνον· [y] συμβαίνειν οὖν [z] αὐτοῖς τοὐναντίον τὴν μὲν ἀτα-
ξιαν εἶναι κατὰ φύσιν, τὴν δὲ τάξιν καὶ τὸν κόσμον παρὰ
φύσιν· [a] καίτοι οὐδὲν ὡς ἔτυχε γίγνεται τῶν κατὰ φύσιν.
[u]Εοικε δὲ τοῦτό γε αὐτὸ [b] καλῶς [t]Αναξαγόρας [c] λαβεῖν· ἐξ
10 ἀκινήτων γὰρ ἄρχεται κοσμοποιεῖν. Πειρῶνται δὲ καὶ οἱ
ἄλλοι [d] συγκρίνοντές πως πάλιν κινεῖν καὶ διακρίνειν. [t]Εκ
διεστώτων [e] δὲ καὶ κινουμένων οὐκ εὔλογον ποιεῖν τὴν γένε-
σιν. Διὸ καὶ [t]Εμπεδοκλῆς [f] παραλείπει τὴν ἐπὶ τῆς φιλό-
τητος· [g] οὐ γὰρ ἂν ἠδύνατο [h] συστῆσαι τὸν οὐρανὸν ἐκ κεχω-
ρισμένων μὲν κατασκευάζων, [i] σύγκρισιν δὲ ποιῶν διὰ τὴν
φιλότητα· ἐκ διακεκριμένων γὰρ [k] συνέστηκεν ὁ κόσμος τῶν
στοιχείων. [u]Ωστ' ἀναγκαῖον [l] γίνεσθαι ἐξ ἑνὸς καὶ συγκε-
11 κριμένου. [u]Οτι μὲν [m] τοίνυν ἐστὶ φυσική τις κίνησις ἑκά-
στου τῶν σωμάτων, ἣν οὐ βίᾳ κινοῦνται οὐδὲ παρὰ φύσιν,

[k] γίνεσθαί φησιν H.L.M. [l] πολλῶν H.L. [m] φέρεσθαι μίαν F. [n] πεπερασμένα H. [o] τις om. H. [p] οὐ] οὕτω E. [q] τὸ F, om. E. [r] ξυγγενῆ H.M. [s] τῶν αἰσθητῶν om. E. [t] ἐστὶ φύσις L. [v] τὸ] τὸ τὸ F, τύγε H.M. [w] ἡ] τις H, om. E. [x] πλείονα L. [y] ξυμβαίνει H.M. [z] αὐτὸ E. [a] καίτοιγε F. [b] καλῶς] καὶ ὁ L. [c] λαβ.] ἔχειν F, λαβεῖν καλῶς L. [d] κρίνοντες E. [e] τε E. [f] ἀπολείπει H. [g] οὐδὲ F. [h] ξυστῆσαι H.M. [i] ξύγκρισιν H.M. [k] διέστηκεν F, ξυνέστηκεν H.M. [l] γενέσθαι H. [m] τοίνυν] οὖν F.H.M.

[n] *φανερὸν ἐκ τούτων· ὅτι δ'* [o] *ἔνια ἔχειν ἀναγκαῖον ῥοπὴν* 11
βάρους καὶ [p] *κουφότητος,* [q] *ἐκ τῶνδε δῆλον. Κινεῖσθαι μὲν*
γάρ φαμεν ἀναγκαῖον εἶναι· εἰ δὲ μὴ ἔξει φύσει ῥοπὴν τὸ
κινούμενον, ἀδύνατον κινεῖσθαι ἢ πρὸς τὸ μέσον ἢ ἀπὸ τοῦ
μέσου. Ἔστω γὰρ τὸ μὲν ἐφ' οὗ Α [r] *ἀβαρές, τὸ δ' ἐφ' οὗ* 12
Β [s] *βάρος ἔχον, ἐνηνέχθω δὲ τὸ ἀβαρὲς τὴν* Γ Δ, *τὸ δὲ* Β *ἐν*
τῷ ἴσῳ χρόνῳ τὴν Γ Ε· [t] *μείζω γὰρ οἰσθήσεται τὸ βάρος*
ἔχον. Ἐὰν δὴ διαιρεθῇ τὸ σῶμα τὸ ἔχον βάρος ὡς ἡ Γ Ε
πρὸς τὴν Γ Δ (*δυνατὸν γὰρ οὕτως ἔχειν πρός τι τῶν ἐν*
αὐτῷ μορίων), *εἰ τὸ ὅλον φέρεται τὴν ὅλην τὴν* Γ Ε, *τὸ*
μόριον ἀνάγκη ἐν τῷ αὐτῷ χρόνῳ [v] *τὴν* Γ Δ *φέρεσθαι, ὥστε*
ἴσον οἰσθήσεται τὸ ἀβαρὲς καὶ τὸ [w] *βάρος ἔχον· ὅπερ ἀδύνα-*
τον. [x] *Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ κουφότητος.* [y] *Ἔτι δ'* 13
εἰ ἔσται τι σῶμα κινούμενον μήτε [z] *κουφότητα μήτε βάρος*
ἔχον, ἀνάγκη τοῦτο βίᾳ κινεῖσθαι, βίᾳ δὲ κινούμενον ἄπειρον
[a] *ποιεῖν τὴν κίνησιν. Ἐπεὶ γὰρ δύναμίς τις ἡ κινοῦσα, τὸ*
δ' ἔλαττον καὶ [b] *τὸ κουφότερον* [c] *ὑπὸ τῆς* [d] *αὐτῆς δυνάμεως*
πλεῖον κινηθήσεται, κεκινήσθω τὸ μὲν ἐφ' [e] *ᾧ τὸ* Α, *τὸ*
ἀβαρές, τὴν [f] Γ Ε, *τὸ δ' ἐφ' ᾧ* [g] *τὸ* Β, *τὸ βάρος ἔχον, ἐν*
τῷ ἴσῳ χρόνῳ τὴν Γ Δ. *Διαιρεθέντος* [h] *δὴ τοῦ βάρος* 14
ἔχοντος σώματος [i] *ὡς ἡ* Γ Ε *πρὸς τὴν* Γ Δ, [k] *συμβήσεται*
τὸ ἀφαιρούμενον ἀπὸ τοῦ βάρος ἔχοντος σώματος τὴν Γ Ε
[l] *φέρεσθαι ἐν τῷ ἴσῳ χρόνῳ, ἐπείπερ τὸ ὅλον ἐφέρετο τὴν*
Γ Δ. *Τὸ γὰρ τάχος ἕξει* [m] *τὸ τοῦ ἐλάττονος πρὸς τὸ*
[n] *τοῦ μείζονος ὡς τὸ μεῖζον σῶμα πρὸς τὸ ἔλαττον. Ἴσον* 15
ἄρα τὸ ἀβαρὲς οἰσθήσεται σῶμα καὶ τὸ βάρος ἔχον ἐν τῷ
αὐτῷ χρόνῳ. Τοῦτο δ' ἀδύνατον· ὥστ' ἐπεὶ παντὸς τοῦ

[n] *φανερὸν ἐκ τ.*] *ἐκ τ. δῆλον* H. [o] *ἔχειν ἔνια* F.H.M. [p] *κουφό-*
τητα M. [q] *ἐκ τ. δῆλον*] *φανερὸν ἐκ τ.* H. [r] *βάρος* E. [s] *βάρος*
om. E. [t] *μεῖζον* L.M. [v] *φέρεσθαι τὴν γ δ* H.M. [w] *ἔχον βάρος* L.
[x] *ἐπὶ*] *ἔτι* H. [y] *δ' εἰ*] *δὴ* E. [z] *βάρος μήτε κουφότητα* F. [a] *ποιεῖ*
τὴν κ. E.L.M, *τὴν κ. ποιεῖν* F. [b] *τὸ* om. F. [c] *ἀπὸ* E. [d] *αὐτῆς*
om. E. [e] *ᾧ τὸ*] *οὗ* H.M. [f] *γ δὲ ε* F. [g] *τὸ* post *ᾧ* om. F. [h] *δὴ*]
οὖν F.H.M. [i] *ὡς ἡ— σώματος* rc. margo E. [k] *ξυμβήσεται* H.
[l] *φέρεσθαι* post *χρόνῳ* F. [m] *τὸ* ante *τοῦ* om. M. [n] *τοῦ* om. E.

[o]προστεθέντος μεῖζον [p]κινήσεται διάστημα τὸ ἀβαρές, ἄπειρον ἂν φέροιτο. Φανερὸν οὖν ὅτι ἀνάγκη [q]πᾶν σῶμα βάρος
16 ἔχειν ἢ κουφότητα [r]τὸ διωρισμένον. [1]Ἐπεὶ δὲ φύσις [s]μέν ἐστιν ἡ ἐν αὐτῷ ὑπάρχουσα κινήσεως ἀρχή, δύναμις δ' ἡ [t]ἐν ἄλλῳ ἢ [v]ἄλλο, κίνησις δὲ ἡ μὲν κατὰ φύσιν [w]ἡ δὲ [x]βίαιος πᾶσα, [y]τὴν μὲν κατὰ φύσιν, οἷον τῷ λίθῳ τὴν κάτω, [z]θᾶττον ποιήσει τὸ κατὰ δύναμιν, τὴν δὲ παρὰ φύσιν ὅλως [a]αὐτή. Πρὸς ἀμφότερα δὲ ὥσπερ ὀργάνῳ χρῆται τῷ ἀέρι· πέφυκε
17 γὰρ οὗτος καὶ κοῦφος εἶναι καὶ βαρύς. Τὴν μὲν οὖν ἄνω ποιήσει φορὰν ᾗ κοῦφος, [b]ὅταν ὠσθῇ καὶ λάβῃ τὴν ἀρχὴν ἀπὸ τῆς δυνάμεως, τὴν δὲ [c]κάτω πάλιν ᾗ βαρύς· ὥσπερ γὰρ [d]ἐναφάψασα παραδίδωσιν ἑκατέρῳ. Διὸ καὶ οὐ παρακολουθοῦντος τοῦ κινήσαντος φέρεται τὸ [e]βίᾳ κινηθέν. [f]Εἰ γὰρ μὴ τοιοῦτόν τι τὸ σῶμα ὑπῆρχεν, οὐκ ἂν ἦν [g]ἡ βίᾳ κίνησις. Καὶ τὴν κατὰ φύσιν δ' ἑκάστου κίνησιν [h]συνεπουρίζει τὸν
18 [i]αὐτὸν τρόπον. [v]Ὅτι μὲν οὖν ἅπαν ἢ κοῦφον ἢ βαρύ, καὶ πῶς αἱ παρὰ φύσιν [k]ἔχουσι κινήσεις, ἐκ τούτων φανερόν. [v]Ὅτι δ' οὔτε πάντων ἐστὶ γένεσις οὔθ' ἁπλῶς οὐθενός, δῆλον ἐκ τῶν [l]προειρημένων· ἀδύνατον γὰρ [m]παντὸς σώματος εἶναι γένεσιν, εἰ μὴ καὶ κενὸν [n]εἶναί τι δυνατὸν κεχωρισμένον· ἐν ᾧ γὰρ ἔσται τόπῳ [o]τὸ [p]γινόμενον, [q]εἰ ἐγένετο, ἐν τούτῳ πρότερον τὸ κενὸν ἀναγκαῖον [r]εἶναι σώματος μηθενὸς
19 [s]ὄντος. [u]Ἄλλο μὲν γὰρ ἐξ ἄλλου [t]σῶμα γίγνεσθαι [v]δυνατόν, οἷον ἐξ ἀέρος πῦρ, ὅλως δ' ἐκ μηδενὸς [w]ἄλλου προϋπάρ-

[o] *προτεθέντος* E.F.H.L. [p] *κινηθήσεται* F.H.M. [q] *πᾶν* ante *ἀνάγκη* H.M, post *σῶμα* L, om. E. [r] *τὸ* om. E.L. [s] *μὲν* om. E.L. [t] *ἐν* post δ' om. E. [v] *ἄλλῳ* H. et pr. L. [w] *ἡ δὲ—φύσιν* om. pr. E. [x] *βία* F.H.M. et rc. E. [y] *τὴν μὲν*] *ἡ μὲν* rc. E. [z] *θάττω* E.H.L.M. [a] *αὐτήν* E. [b] *ὅταν—δυνάμεως* om. M. [c] *κάτω ἐν ἀέρι πάλιν* pr. F. [d] *ἐφάψασα* E. [e] *βίᾳ*] *παρὰ φύσιν* F.H.M. et *γρ.* E. [f] *εἰ γὰρ—κίνησις* om. F. [g] *ἡ* om. E. [h] *ἐπουρίζει* E. [i] *αὐτοῦ* L. [k] *κινήσεις ἔχουσιν ἐν τούτοις* F.H.M. [l] *εἰρημένων* F.H.M. [m] *ἅπαντος* F. [n] *τι εἶναι* F. [o] *τὸ*] *τὸ νῦν* E.L. [p] *γενόμενον* L. [q] *εἰ ἐγίγνετο* E.L, *ὅτε ἐγένετο* F.H, *εἰ ἐγίγνετο ὅτε ἐγένετο* M. [r] *εἶναί* post *πρότερον* H.M. [s] *ἐνόντος* M. [t] *γίγνεσθαι σῶμα* F, *σώματος γίνεσθαι* H.M. [v] *ἀδύνατον* E. [w] *ἄλλου* om. H.M.

χοντος μεγέθους ἀδύνατον· μάλιστα [x] μὲν [y] γὰρ ἐκ δυνάμει τινὸς ὄντος σώματος ἐνεργείᾳ γένοιτ' ἂν σῶμα. [z] Ἀλλ' εἰ τὸ δυνάμει ὂν σῶμα μηθέν ἐστιν ἄλλο σῶμα ἐνεργείᾳ πρότερον, κενὸν [a] ἔσται κεχωρισμένον.

Λοιπὸν δ' εἰπεῖν τίνων τέ ἐστι γένεσις [b] σωμάτων, καὶ 3
διὰ τί ἐστιν. Ἐπεὶ οὖν [c] ἐν ἅπασιν ἡ γνῶσις διὰ τῶν πρώτων, πρῶτα δὲ τῶν ἐνυπαρχόντων τὰ στοιχεῖα, σκεπτέον ποῖα τῶν [d] τοιούτων σωμάτων [e] ἐστὶ στοιχεῖα, καὶ διὰ τί ἐστιν, ἔπειτα μετὰ ταῦτα [f] πόσα [g] τε καὶ [h] ποῖ' ἄττα. Τοῦτο δ' ἔσται φανερὸν ὑποθεμένοις [i] τίς ἐστιν ἡ τοῦ στοιχείου φύσις. Ἔστω [k] δὴ στοιχεῖον τῶν σωμάτων, εἰς ὃ 2
τἆλλα σώματα διαιρεῖται, ἐνυπάρχον δυνάμει ἢ ἐνεργείᾳ· τοῦτο [l] γὰρ [m] ποτέρως, ἔτι ἀμφισβητήσιμον. Αὐτὸ δ' ἐστὶν ἀδιαίρετον εἰς [n] ἕτερα τῷ εἴδει· τοιοῦτον γάρ τι [o] τὸ στοιχεῖον [p] ἅπαντες καὶ ἐν ἅπασι βούλονται λέγειν. Εἰ δὴ τὸ εἰρημένον ἐστὶ στοιχεῖον, ἀνάγκη [q] εἶναι ἄττα τοιαῦτα τῶν σωμάτων. Ἐν μὲν γὰρ σαρκὶ καὶ ξύλῳ [r] καὶ ἑκάστῳ 3
τῶν τοιούτων [s] ἔνεστι δυνάμει πῦρ καὶ γῆ· φανερὰ γὰρ [t] ταῦτα ἐξ ἐκείνων ἐκκρινόμενα. Ἐν δὲ πυρὶ σὰρξ [v] ἢ ξύλον [w] οὐκ ἐνυπάρχουσιν, οὔτε κατὰ δύναμιν [x] οὔτε κατ' ἐνέργειαν· ἐξεκρίνετο γὰρ ἄν. Ὁμοίως δ' οὐδ' εἰ ἔν τι μόνον εἴη τοιοῦτον, [y] οὐδ' ἐν ἐκείνῳ· [z] οὐ γὰρ εἰ ἔσται σὰρξ ἢ ὀστοῦν ἢ τῶν ἄλλων ὁτιοῦν, οὕτω φατέον ἐνυπάρχειν δυνάμει, ἀλλὰ [a] προσθεωρητέον τίς ὁ τρόπος τῆς γενέσεως. Ἀναξαγόρας δ' 4
[b] Ἐμπεδοκλεῖ ἐναντίως λέγει περὶ τῶν στοιχείων. Ὁ μὲν γὰρ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις στοιχεῖά φησιν

[x] μὲν om. E.L. [y] γὰρ ἂν ἐκ L. [z] ἀλλ'—σῶμα om. pr. E. [a] ἐστι F.H.M. [b] σωμάτων om. H, ante γένεσις ponit F. [c] ἐν om. L. [d] τοιούτων om. E. [e] ἐστὶ om. M, ante τῶν ponit F. [f] ὁπόσα F.H.L. [g] τε om. L.M. [h] ὁποῖα L. [i] τί E.L. [k] δὴ τὸ ϛ. L. [l] γὰρ] δὲ F. [m] ὁποτέρως H.M. [n] ἕτερον M. [o] τῶν στοιχείων M. [p] πάντες τε καὶ H.M. [q] ἄττα εἶναι τῶν σωμάτων τοιαῦτα H, ἄττα τῶν σωμάτων εἶναι τοιαῦτα M. [r] καὶ ἐν ἑκάστῳ H.M. [s] ἔστι E.L. [t] ταῦτα] τὰ τόδε H, τὰ τοιάδε M. [v] ἢ] καὶ F. [w] ἐνυπάρχει F. [x] οὔτε κατ' ἐνέργειαν om. pr. E, post ἐνυπάρχουσιν ponunt H.M. [y] οὐδ' ἐν] οὐθὲν E. [z] οὐδὲ γὰρ F.M. [a] προθεωρητέον H. [b] ἐναντίως ἐμπεδοκλεῖ F.H.M.

εἶναι τῶν σωμάτων καὶ [c]συγκεῖσθαι [d]πάντ' ἐκ τούτων, Ἀναξ-
αγόρας δὲ τοὐναντίον· τὰ γὰρ ὁμοιομερῆ στοιχεῖα (λέγω
[e]δ' [f]οἷον σάρκα καὶ ὀστοῦν καὶ τῶν τοιούτων ἕκαστον), ἀέρα
δὲ καὶ πῦρ [g]μίγμα τούτων καὶ τῶν ἄλλων σπερμάτων πάν-
των· εἶναι γὰρ [h]ἑκάτερον αὐτῶν ἐξ [i]ἀοράτων ὁμοιομερῶν
5 πάντων [k]ἠθροισμένων. Διὸ καὶ [l]γίγνεσθαι πάντ' ἐκ τού-
των· τὸ γὰρ πῦρ καὶ τὸν αἰθέρα προσαγορεύει ταὐτό.
Ἐπεὶ [m]δ' ἐστὶ παντὸς φυσικοῦ σώματος κίνησις οἰκεία, τῶν
δὲ κινήσεων αἱ μὲν ἁπλαῖ αἱ δὲ μικταί, καὶ αἱ μὲν μικταὶ τῶν
μικτῶν αἱ δὲ ἁπλαῖ τῶν ἁπλῶν [n]εἰσί, φανερὸν ὅτι ἔσται
ἄττα σώματα ἁπλᾶ· εἰσὶ γὰρ καὶ κινήσεις ἁπλαῖ. [v]Ὥστε
δῆλον καὶ ὅτι ἔστι [o]στοιχεῖα καὶ διὰ τί ἐστιν.

4 Πότερον δὲ πεπερασμένα ἢ ἄπειρα, καὶ [p]εἰ πεπερασμένα,
πόσα τὸν ἀριθμόν, ἑπόμενον ἂν εἴη σκοπεῖν. Πρῶτον μὲν
οὖν ὅτι οὐκ ἔστιν ἄπειρα, καθάπερ οἴονταί τινες, θεωρητέον,
καὶ πρῶτον τοὺς πάντα [q]τὰ ὁμοιομερῆ στοιχεῖα ποιοῦντας,
2 [r]καθάπερ Ἀναξαγόρας. Οὐθεὶς γὰρ τῶν οὕτως ἀξιούντων
ὀρθῶς λαμβάνει τὸ στοιχεῖον· ὁρῶμεν γὰρ πολλὰ καὶ τῶν
μικτῶν σωμάτων εἰς [s]ὁμοιομερῆ διαιρούμενα, λέγω δ' οἷον
σάρκα καὶ [t]ὀστοῦν καὶ ξύλον καὶ λίθον. [v]Ὥστ' [v]εἴπερ τὸ
σύνθετον οὐκ ἔστι στοιχεῖον, οὐχ ἅπαν ἔσται τὸ ὁμοιομερὲς
στοιχεῖον, ἀλλὰ τὸ ἀδιαίρετον εἰς [w]ἕτερα τῷ εἴδει, καθάπερ
3 εἴρηται πρότερον. [x]Ἔτι δ' [x]οὐδ' οὕτως λαμβάνοντας [y]τὸ
στοιχεῖον ἀνάγκη ποιεῖν ἄπειρα· πάντα γὰρ ταὐτὰ [z]ἀποδο-
θήσεται καὶ πεπερασμένων ὄντων, [a]ἐάν τις λάβῃ· τὸ αὐτὸ
γὰρ ποιήσει, κἂν δύο ἢ τρία μόνον ᾖ τοιαῦτα, καθάπερ [b]ἐπι-
4 χειρεῖ καὶ Ἐμπεδοκλῆς. Ἐπεὶ [c]γὰρ καὶ ὡς αὐτοῖς [d]συμ-

[c] ξυγκεῖσθαι H. [d] πᾶν H.M. [e] δ'] δὴ E. [f] οἷον ξύλα σάρκα F. [g] μίγματα E.L. [h] αὐτῶν ἑκάτερον H.M. [i] ἀοράτων τῶν ὁμ. E. [k] ἠθροισμένον M. [l] γενέσθαι E.L. [m] δὲ παντὸς τοῦ φυσικοῦ σώματός ἐστι F. [n] εἰσὶ om. F. [o] στοιχεῖον M. [p] εἰ om. F. [q] τὰ om. E. [r] καθάπερ καὶ ἀναξ. E.L. [s] ὁμοιομερῆ] μέρη E. [t] ὀστᾶ καὶ ξύλα F. [v] εἴπερ] ἐπὶ E. [w] ἕτερον M. [x] οὔθ' H. et margo F, om. E.L. [y] τὸ om. E. [z] ἀποδοθήσεσθαι E. [a] ἄν E.L. [b] ἐγχειρεῖ E.L. [c] γὰρ om M. [d] ξυμβαίνει H.M.

βαίνει μὴ πάντα ποιεῖν ἐξ ὁμοιομερῶν (πρόσωπον γὰρ οὐκ ἐκ [e]προσώπων ποιοῦσιν, οὐδ' ἄλλο τῶν κατὰ φύσιν ἐσχηματισμένων οὐθέν), φανερὸν ὅτι [f]πολλῷ βέλτιον πεπερασμένας ποιεῖν τὰς ἀρχάς, καὶ ταύτας ὡς ἐλαχίστας πάντων γε τῶν [g]αὐτῶν μελλόντων δείκνυσθαι, καθάπερ ἀξιοῦσι καὶ οἱ ἐν τοῖς μαθήμασιν· ἀεὶ γὰρ [h]τὰς [i]πεπερασμένας λαμβάνουσιν ἀρχὰς ἢ τῷ εἴδει ἢ τῷ ποσῷ. [1]Ἔτι εἰ [k]σῶμα σώματος ἕτερον λέγεται κατὰ τὰς οἰκείας διαφοράς, αἱ δὲ τῶν σωμάτων διαφοραὶ πεπερασμέναι (διαφέρουσι γὰρ τοῖς αἰσθητοῖς, ταῦτα δὲ [l]πεπέρανται· δεῖ δὲ τοῦτο δειχθῆναι), [m]φανερὸν ὅτι καὶ τὰ στοιχεῖα [n]ἀνάγκη πεπερασμένα εἶναι. [1]Ἀλλὰ μὴν οὐδ' [o]ὡς ἕτεροί τινες λέγουσιν, οἷον Λεύκιππός [p]τε καὶ Δημόκριτος ὁ Ἀβδηρίτης, εὔλογα τὰ [q]συμβαίνοντα· φασὶ γὰρ εἶναι τὰ πρῶτα μεγέθη πλήθει μὲν ἄπειρα μεγέθει δὲ ἀδιαίρετα, καὶ οὔτ' ἐξ ἑνὸς πολλὰ γίγνεσθαι οὔτε ἐκ πολλῶν ἕν, ἀλλὰ τῇ τούτων [r]συμπλοκῇ καὶ [s]περιπλέξει πάντα [t]γεννᾶσθαι. Τρόπον [v]γάρ τινα καὶ οὗτοι πάντα τὰ ὄντα ποιοῦσιν ἀριθμοὺς καὶ ἐξ ἀριθμῶν· καὶ γὰρ εἰ μὴ σαφῶς δηλοῦσιν, ὅμως τοῦτο βούλονται λέγειν. Καὶ πρὸς τούτοις, ἐπεὶ διαφέρει τὰ σώματα σχήμασιν, ἄπειρα δὲ τὰ σχήματα, ἄπειρα καὶ τὰ ἁπλᾶ σώματά φασιν εἶναι. Ποῖον δὲ [w]καὶ τί [x]ἑκάστου [y]τὸ σχῆμα [z]τῶν στοιχείων, [a]οὐθὲν ἐπιδιώρισαν, ἀλλὰ [b]μόνον τῷ πυρὶ τὴν σφαῖραν ἀπέδωκαν· ἀέρα δὲ καὶ ὕδωρ καὶ τἆλλα μεγέθει καὶ [c]μικρότητι διεῖλον, ὡς οὖσαν αὐτῶν τὴν φύσιν οἷον πανσπερμίαν [d]πάντων [e]τῶν στοιχείων. Πρῶτον μὲν οὖν [f]καὶ τούτοις ταὐτὸν ἁμάρτημα τὸ

[e] προσώπου π. F. [f] μακρῷ F. [g] αὐτῶν] ὄντων E. [h] τὰ E.H.M, om. L. [i] πεπερασμένα E.H.L.M. [k] σῶμα om. E. [l] πεπερασμένα H.M. [m] φανερὸν om. E. [n] ἀνάγκη post ὅτι F, post εἶναι H.M. [o] ὡς δ' ἕτεροι H. [p] τε om. F. [q] ξυμβαίνοντα H.M. [r] ξυμπλοκῇ H. [s] ἐπαλλάξει F.H.M. [t] γενέσθαι M. [v] γάρ] δέ E.L. [w] καὶ τί om. F.H.M. [x] ἑκάστου post σχῆμα ponit L, om. E. [y] τὸ om. F.H.M. [z] τῶν στοιχείων om. F. [a] οὐκέτι διώρισαν F, οὐδὲν ἔτι διώρισαν H.M. [b] μόνῳ F.H.M. [c] σμικρότητι F.L. [d] ἁπάντων H.M. [e] τῶν om. E. [f] ταυτὸ καὶ τούτοις H, ταυτὸ καὶ τούτοις ἔοικεν ἀκολουθεῖν F.M.

μὴ [g] πεπερασμένας λαβεῖν τὰς ἀρχάς, ἐξὸν [h] ἅπαντα ταὐτὰ λέγειν. Ἔτι δ' εἰ μὴ ἄπειροι τῶν [i] σωμάτων αἱ διαφοραί, δῆλον ὅτι οὐκ ἔσται τὰ στοιχεῖα ἄπειρα. Πρὸς δὲ τούτοις ἀνάγκη μάχεσθαι ταῖς [k] μαθηματικαῖς [l] ἐπιστήμαις ἄτομα σώματα λέγοντας, καὶ πολλὰ τῶν ἐνδόξων καὶ [m] τῶν φαινομένων κατὰ τὴν αἴσθησιν ἀναιρεῖν, περὶ ὧν εἴρηται [n] πρό-
9 τερον ἐν τοῖς περὶ χρόνου καὶ κινήσεως. Ἅμα δὲ καὶ ἐναντία λέγειν αὐτοὺς αὐτοῖς ἀνάγκη· ἀδύνατον γὰρ ἀτόμων ὄντων [o] τῶν στοιχείων μεγέθει καὶ [p] μικρότητι διαφέρειν ἀέρα καὶ [q] γῆν καὶ ὕδωρ· οὐ γὰρ [r] οἷόν τ' ἐξ ἀλλήλων γίγνεσθαι· [s] ὑπολείψει γὰρ [t] ἀεὶ τὰ μέγιστα σώματα [v] ἐκκρινόμενα, φασὶ δ' οὕτω γίγνεσθαι ὕδωρ καὶ ἀέρα καὶ γῆν ἐξ ἀλλήλων.
10 [w] Ἔτι οὐδὲ κατὰ τὴν τούτων ὑπόληψιν δόξειεν ἂν ἄπειρα γίγνεσθαι τὰ στοιχεῖα, [x] εἴπερ τὰ μὲν σώματα [y] διαφέρει σχήμασι, τὰ δὲ σχήματα πάντα [z] σύγκειται ἐκ πυραμίδων, [a] τὰ μὲν εὐθύγραμμα ἐξ εὐθυγράμμων, ἡ δὲ σφαῖρα ἐξ ὀκτὼ μορίων. [b] Ἀνάγκη γὰρ εἶναί τινας ἀρχὰς [b] τῶν σχημάτων. Ὥστε εἴτε μία εἴτε δύο εἴτε πλείους, καὶ τὰ [c] ἁπλᾶ σώματα
11 τοσαῦτα ἔσται τὸ πλῆθος. Ἔτι δ' εἰ [d] ἑκάστῳ μὲν τῶν [e] στοιχείων ἐστί τις οἰκεία κίνησις, καὶ ἡ τοῦ ἁπλοῦ σώματος ἁπλῆ, μή εἰσι δ' [f] αἱ ἁπλαῖ κινήσεις ἄπειροι διὰ τὸ μήτε τὰς ἁπλᾶς φορὰς πλείους εἶναι [g] δυοῖν μήτε τοὺς τόπους [h] ἀπείρους, οὐκ ἂν εἴη οὐδ' [i] οὕτως ἄπειρα τὰ στοιχεῖα.
5 [k] Ἐπεὶ δ' ἀνάγκη πεπεράνθαι [k] τὰ στοιχεῖα, λοιπὸν σκέψασθαι [l] πότερον πλείω ἔσται ἢ [m] ἕν. Ἔνιοι γὰρ ἓν μόνον ὑποτίθενται, καὶ [n] τοῦτο οἱ μὲν ὕδωρ, οἱ δ' ἀέρα, οἱ δὲ πῦρ,

[g] πεπερασμένον L. [h] πάντα ταυτὰ E, ἅπαντα ταυτὰ L. [i] σχημάτων F.L. [k] μαθητικαῖς E. [l] ἐπιστήμαις] ἀνάγκαις M. [m] τῶν post καὶ om. F.H.M. [n] πρῶτον L. [o] τῶν om. E. [p] σμικρότητι F. [q] ὕδωρ καὶ γῆν F. [r] οἴονται E. [s] ἐπιλείψει M. [t] αἰεὶ H.L. [v] ἐγκρινόμενα M. [w] ἔτι δ' οὐδὲ H.M. [x] ἐπεὶ E.L. [y] διαφ. τοῖς σχ. H.M. [z] ξύγκειται H, ξύγκεινται M. [a] τὰ] καὶ τὰ H.M. [b] τῶν om. H. [c] ἁπλᾶ] αὐτὰ L. [d] ἑκάστων E. [e] στοιχείων] σωμάτων F. [f] αἱ] αὖ M. [g] δυεῖν L. [h] ἀπείρους εἶναι οὐκ E.L. [i] οὕτως] ὧς H.M. [k] τὰ στοιχεῖα om. F. [l] πρότερον L. [m] ἕν] οὔ L. [n] τούτων F.M.

οἱ δ' ὕδατος μὲν λεπτότερον ἀέρος δὲ πυκνότερον, ὃ περιέχειν φασὶ πάντας τοὺς οὐρανοὺς ἄπειρον ὄν. [v]Ὅσοι μὲν οὖν τὸ 2
ἓν τοῦτο ποιοῦσιν ὕδωρ ἢ ἀέρα ἢ ὕδατος μὲν λεπτότερον ἀέρος δὲ πυκνότερον, εἶτ' ἐκ τούτου [o]πυκνότητι καὶ μανότητι τἆλλα γεννῶσιν, [p]οὗτοι λανθάνουσιν αὐτοὶ αὐτοὺς ἄλλο τι πρότερον τοῦ στοιχείου ποιοῦντες· ἔστι γὰρ ἡ μὲν ἐκ τῶν στοιχείων γένεσις [q]σύνθεσις, ὥς φασιν, ἡ δ' εἰς τὰ στοιχεῖα διάλυσις, ὥστ' ἀνάγκη πρότερον εἶναι τῇ φύσει τὸ λεπτομερέστερον. [t]Ἐπεὶ οὖν φασὶ πάντων τῶν σωμάτων τὸ πῦρ 3
λεπτότατον εἶναι, πρῶτον ἂν εἴη τῇ [r]φύσει τὸ πῦρ. Διαφέρει δ' οὐθέν· ἀνάγκη γὰρ ἕν τι τῶν ἄλλων εἶναι πρῶτον, καὶ μὴ τὸ μέσον. [u]Ἔτι δὲ τὸ μὲν [s]πυκνότητι καὶ μανότητι τἆλλα γεννᾶν οὐθὲν διαφέρει ἢ λεπτότητι καὶ παχύτητι· τὸ μὲν γὰρ λεπτὸν μανόν, τὸ δὲ παχὺ βούλονται εἶναι πυκνόν. Πάλιν δὲ τὸ λεπτότητι καὶ παχύτητι ταὐτὸν καὶ τὸ μεγέθει 4
[t]καὶ μικρότητι· λεπτὸν μὲν γὰρ τὸ [v]μικρομερές, παχὺ δὲ τὸ μεγαλομερές· τὸ γὰρ ἐπεκτεινόμενον ἐπὶ πολὺ λεπτόν, τοιοῦτον δὲ τὸ ἐκ μικρῶν μερῶν [w]συνεστός. [v]Ὥστ' αὐτοῖς
[x]συμβαίνει μεγέθει καὶ [y]μικρότητι διαιρεῖν τὴν τῶν ἄλλων οὐσίαν. Οὕτω δὲ διοριζομένοις ἅπαντα [z]συμβήσεται λέγειν 5
πρός τι, καὶ οὐκ ἔσται [a]ἁπλῶς τὸ μὲν πῦρ τὸ δ' ὕδωρ τὸ δ' ἀήρ, ἀλλὰ τὸ αὐτὸ πρὸς μὲν τόδε πῦρ, πρὸς δέ [b]τι ἄλλο ἀήρ, ὅπερ συμβαίνει καὶ τοῖς πλείω μὲν τὰ στοιχεῖα λέγουσι, μεγέθει δὲ καὶ [c]μικρότητι διαφέρειν φάσκουσιν· ἐπεὶ γὰρ τῷ ποσῷ διώρισται ἕκαστον, ἔσται τις λόγος πρὸς ἄλληλα τῶν μεγεθῶν, ὥστε τὰ τοῦτον [d]ἔχοντα τὸν λόγον πρὸς ἄλληλα ἀνάγκη τὸ μὲν ἀέρα εἶναι τὸ δὲ πῦρ τὸ δὲ γῆν τὸ δ' ὕδωρ, διὰ τὸ [e]ἐνυπάρχειν [f]ἐν τοῖς μείζοσι τοὺς τῶν [g]ἐλατ-

[o] *μανότητι καὶ πυκνότητι* F.H, *μανότατον καὶ πυκνότατον* M. [p] *οὗτοι δὲ* λ. F. [q] *ξύνθεσις* H.M. [r] *φύσει τὸ λεπτομερέστερον τὸ* F. [s] *πυκνότατον καὶ μανότατον* M. [t] *καὶ τὸ σμικρότητι* F, *καὶ τὸ μικρότητι* H.L.M. [v] *σμικρομερὲς* F. [w] *συνεστώς* F.H.L M. [x] *ξυμβαίνει* H, *ξυμβαίνειν* M. [y] *σμικρότητι* F. [z] *ξυμβήσεται* H.M, *συμβαίνει* F. [a] *τὸ μὲν ἁπλῶς* M. [b] *τι* om. H.M. [c] *σμικρότητι* F. [d] *ἔχοντα ὅμοια τὸν* F.H. [e] *ὑπάρχειν* M. [f] *ἐν* om. F. [g] *ἐλασσόνων* H.M.

6 τόνων λόγους. [v]Οσοι δὲ πῦρ ὑποτίθενται τὸ στοιχεῖον, τοῦτο μὲν διαφεύγουσιν, ἄλλα δ' αὐτοῖς ἀναγκαῖον ἄλογα [h] συμβαίνειν. Οἱ μὲν γὰρ αὐτῶν σχῆμα περιάπτουσι τῷ πυρί, καθάπερ οἱ τὴν πυραμίδα ποιοῦντες, καὶ τούτων οἱ μὲν [i] ἁπλουστέρως [k] λέγοντες ὅτι τῶν [l] μὲν σχημάτων [m] τμητικώτατον ἡ πυραμίς, τῶν δὲ σωμάτων τὸ πῦρ, οἱ δὲ κομψοτέρως τῷ λόγῳ προσάγοντες ὅτι τὰ μὲν σώματα πάντα σύγκειται ἐκ τοῦ λεπτομερεστάτου, τὰ δὲ σχήματα τὰ στερεὰ ἐκ [n] τῶν πυραμίδων, ὥστ' ἐπεὶ τῶν μὲν σωμάτων τὸ πῦρ λεπτότατον, τῶν δὲ σχημάτων ἡ πυραμὶς [o] μικρομερέστατον [p] καὶ πρῶτον, τὸ δὲ πρῶτον σχῆμα τοῦ πρώτου σώματος,
7 πυραμὶς ἂν εἴη τὸ πῦρ. Οἱ δὲ περὶ [q] μὲν σχήματος οὐδὲν ἀποφαίνονται, λεπτομερέστατον δὲ [r] μόνον ποιοῦσιν, ἔπειτ' ἐκ τούτου συντιθεμένου [s] φασὶ γίγνεσθαι τἆλλα καθάπερ ἂν εἰ [t] συμφυσωμένου ψήγματος. [u]Αμφοτέροις δὲ ταὐτὰ [v] συμβαίνει δυσχερῆ· εἰ [w] μὲν γὰρ ἄτομον τὸ πρῶτον σῶμα [x] ποιοῦσι, πάλιν ἥξουσιν οἱ πρότερον εἰρημένοι λόγοι [y] πρὸς ταύ-
8 την τὴν ὑπόθεσιν. [z]Ετι οὐκ ἐνδέχεται τοῦτο λέγειν [z] φυσικῶς βουλομένους θεωρεῖν. [a] Εἰ γὰρ ἅπαν σῶμα σώματι συμβλητὸν κατὰ [b] τὸ ποσόν, ἔχει δ' ἀνάλογον τὰ μεγέθη τά τε τῶν ὁμοιομερῶν πρὸς ἄλληλα καὶ τὰ τῶν στοιχείων, οἷον [c] τὰ τοῦ παντὸς ὕδατος πρὸς τὸν ἅπαντα ἀέρα καὶ τοῦ στοιχείου πρὸς τὸ στοιχεῖον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὁ δ' ἀὴρ πλείων τοῦ ὕδατος [d] καὶ [e] ὅλως τὸ [f] λεπτομερέστερον [g] τοῦ [h] παχυμερεστέρου, φανερὸν ὅτι καὶ τὸ στοιχεῖον ἔλαττον ἔσται [i] τὸ τοῦ ὕδατος ἢ τὸ τοῦ ἀέρος. Εἰ οὖν τὸ ἔλαττον

[h] ξυμβαίνειν H.M. [i] ἁπλούστερον E.L. [k] λέγουσιν E. [l] μὲν om. M. [m] τμητικωτάτη F, τμητικώτερον M. [n] τῶν post ἐκ om. E.L. [o] μικρ.] λεπτομερέστατον E.L. [p] καὶ τὸ πρῶτον M. [q] μὲν om. F. [r] μόνον τὸ στοιχεῖον ποιοῦσιν F. [s] γίγνεσθαί φασι F.H.M, φασι γενέσθαι L. [t] συμφυομένου F.L, ξυμφυομένου H.M. [v] ξυμβαίνει M. [w] μὲν om. H. [x] ποιήσουσι H.M. [y] πρὸς τὴν αὐτὴν ὑπ. F.H.M. [z] φυσικῶς βουλομένοις E, βουλομένους φυσ. F. [a] εἰ] ἀεὶ E. [b] τὸ om. E. [c] τὰ] τὸ F. [d] καὶ om. M. [e] ὅλως om. E. [f] λεπτομερέστατον E H.L.M. [g] τοῦ om. M. [h] παχυμερεστάτου E.L, μεγαλομερεστέρου H.M. [i] τὸ ante ὕδατος om. M.

μέγεθος ἐνυπάρχει τῷ μείζονι, διαιρετὸν ἂν εἴη τὸ τοῦ ἀέρος στοιχεῖον. [t]Ὡσαύτως δὲ καὶ τὸ τοῦ πυρὸς καὶ ὅλως τῶν λε- 9
πτομερεστέρων. Εἰ δὲ διαιρετόν, τοῖς μὲν σχηματίζουσι τὸ πῦρ [k]συμβήσεται μὴ εἶναι τὸ τοῦ πυρὸς μέρος πῦρ διὰ τὸ μὴ συγκεῖσθαι τὴν πυραμίδα ἐκ πυραμίδων, ἔτι δὲ μὴ πᾶν σῶμα εἶναι ἢ στοιχεῖον [l]ἢ ἐκ στοιχείων (τὸ γὰρ [m]μέρος τοῦ πυρὸς οὔτε πῦρ οὔθ' ἕτερον στοιχεῖον οὐδέν), τοῖς δὲ τῷ μεγέθει διορίζουσι πρότερόν τι τοῦ στοιχείου στοιχεῖον εἶναι, καὶ τοῦτ' εἰς ἄπειρον βαδίζειν, εἴπερ ἅπαν σῶμα διαιρετὸν καὶ τὸ μικρομερέστατον στοιχεῖον. [u]Ἔτι δὲ καὶ τούτοις 10
[n]συμβαίνει λέγειν ὡς ταὐτὸν πρὸς [o]μὲν τόδε πῦρ [p]ἐστὶ πρὸς ἄλλο δ' ἀήρ, καὶ πάλιν ὕδωρ καὶ γῆ. Κοινὸν δὲ πᾶσιν ἁμάρτημα τοῖς ἓν τὸ στοιχεῖον ὑποτιθεμένοις τὸ μίαν [q]μόνην κίνησιν ποιεῖν φυσικήν, καὶ πάντων τὴν αὐτήν. [r]Ὁρῶμεν γὰρ πᾶν [r]τὸ φυσικὸν σῶμα κινήσεως ἔχον ἀρχήν. Εἰ οὖν ἅπαντα 11
τὰ σώματα ἕν τί ἐστι, πάντων ἂν εἴη μία κίνησις· καὶ ταύτην ἀναγκαῖον ὅσῳπερ ἂν [s]πλείων [t]γίγνηται, κινεῖσθαι μᾶλλον, ὥσπερ [v]καὶ τὸ πῦρ ὅσῳ [w]ἂν [x]πλεῖον γίγνηται, φέρεται θᾶττον [y]ἄνω τὴν [z]αὑτοῦ φοράν. Συμβαίνει δὲ πολλὰ κάτω [a]φέρεσθαι θᾶττον. [v]Ὥστε διά τε ταῦτα, καὶ πρὸς τούτοις ἐπεὶ διώρισται πρότερον ὅτι πλείους [b]αἱ φυσικαὶ κινήσεις, δῆλον ὅτι ἀδύνατον [c]ἓν εἶναι [d]τὸ στοιχεῖον. [e][w]Ἐπεὶ δὲ οὔτε ἄπειρα οὔτε ἕν, [f]πλείω ἀνάγκη εἶναι καὶ [g]πεπερασμένα.

[x]Ἐπισκεπτέον δὲ πρῶτον [h]πότερον ἀΐδιά ἐστιν ἢ [i]γινό- 6
μενα [k]φθείρεται· τούτου [l]γὰρ δειχθέντος φανερὸν [m]ἔσται καὶ [n]πόσ' [o]ἄττα καὶ ποῖά ἐστιν. [y]Ἀΐδια μὲν οὖν εἶναι ἀδύνατον· ὁρῶμεν γὰρ [p]καὶ πῦρ καὶ ὕδωρ καὶ ἕκαστον τῶν

[k] ξυμβ. H.M. [l] ἢ ante ἐκ om. E. [m] τοῦ πυρὸς μέρος F.H.M. [n] ξυμβ. H.M. [o] μὲν om. H.L. [p] ἐστί om. E. [q] μόνον ποιεῖν κίνησιν H.M. [r] τὸ om. H.M. [s] πλείω H.L.M. [t] γένηται E.L. [v] καὶ τὸ πῦρ ὅσῳ om. E. [w] ἂν] περ ἂν L. [x] πλείω E.F.L. [y] ἄνω—θᾶττον om. L. [z] ἑαυτοῦ F.L. [a] θᾶττον φέρεσθαι κάτω H. [b] αἱ φοραὶ καὶ φ. H. [c] ἓν om. E. [d] τὸ om. F. [e] ἐπειδὴ F.H.L.M. [f] ἀνάγκη πλείω F.H.M. [g] πεπερασμένα τὰ στοιχεῖα H.M. [h] πότερον om. E. [i] γενόμενα L. [k] φθείρεται om. E. [l] γὰρ] δὲ F. [m] ἔσται καὶ om. H. [n] πῶς L. [o] καὶ ποῖ' ἄττα H.M. [p] καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ F.H.M.

ἁπλῶν σωμάτων διαλυόμενον. Ἀνάγκη δὲ [q] ἢ ἄπειρον εἶναι ἢ ἵστασθαι τὴν διάλυσιν. Εἰ μὲν οὖν [r] ἄπειρον, ἔσται καὶ ὁ χρόνος ὁ τῆς διαλύσεως ἄπειρος, καὶ πάλιν ὁ τῆς συνθέσεως· ἕκαστον γὰρ ἐν [s] ἄλλῳ χρόνῳ διαλύεται καὶ [t] συντίθεται τῶν μορίων. [u] Ὥστε συμβήσεται ἔξω τοῦ ἀπείρου χρόνου ἄλλον [v] εἶναι ἄπειρον, ὅταν ὅ τε τῆς συνθέσεως ἄπειρος [w] ᾖ καὶ ἔτι [x] τούτου πρότερος ὁ τῆς διαλύσεως. [u] Ὥστε [y] τοῦ ἀπείρου ἔξω [z] γίγνεται ἄπειρον· ὅπερ ἀδύνατον. Εἰ δὲ [a] στήσεταί που ἡ διάλυσις, ἤτοι ἄτομον ἔσται τὸ σῶμα ἐν ᾧ ἵσταται, ἢ διαιρετὸν μὲν οὐ μέντοι διαιρεθησόμενον οὐδέποτε, καθάπερ ἔοικεν [i] Ἐμπεδοκλῆς βούλεσθαι λέγειν. [u] Ἄτομον μὲν οὖν οὐκ ἔσται διὰ τοὺς πρότερον εἰρημένους λόγους· ἀλλὰ μὴν οὐδὲ διαιρετὸν μὲν οὐδέποτε δὲ διαλυθησόμενον. Τὸ γὰρ ἔλαττον σῶμα τοῦ μείζονος εὐφθαρτότερόν ἐστιν. Εἴπερ οὖν καὶ τὸ πολὺ φθείρεται [b] κατὰ ταύτην τὴν φθοράν, ὥστε διαλύεσθαι εἰς ἐλάττω, ἔτι [c] μᾶλλον τοῦτο πάσχειν εὔλογον τὸ ἔλαττον. Δύο δὲ τρόπους ὁρῶμεν φθειρόμενον τὸ πῦρ· ὑπό τε γὰρ τοῦ ἐναντίου φθείρεται σβεννύμενον, καὶ αὐτὸ [d] ὑφ' αὑτοῦ μαραινόμενον. Τοῦτο δὲ πάσχει τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος, καὶ θᾶττον, ὅσῳ ἂν ᾖ ἔλαττον. [u] Ὥστ' ἀνάγκη φθαρτὰ καὶ γενητὰ εἶναι τὰ στοιχεῖα τῶν σωμάτων. Ἐπεὶ δ' ἐστὶ [e] γενητά, [f] ἤτοι ἐξ ἀσωμάτου ἢ ἐκ σώματος ἔσται ἡ γένεσις, καὶ εἰ ἐκ σώματος, [g] ἤτοι ἐξ ἄλλου ἢ ἐξ ἀλλήλων. [i] Ὁ μὲν οὖν ἐξ ἀσωμάτου γεννῶν λόγος ποιεῖ [h] γεννώμενον κενόν. Πᾶν γὰρ τὸ γινόμενον [i] ἔν τινι γίνεται, [k] καὶ ἤτοι ἀσώματον ἔσται [l] ἐν ᾧ ἡ γένεσις, [m] ἢ ἕξει σῶμα· καὶ εἰ μὲν ἕξει σῶμα, δύο [n] ἔσται σώματα [o] ἅμα ἐν τῷ αὐτῷ, τό τε γιγνόμενον καὶ τὸ προϋπάρχον· εἰ δ' ἀσώματον,

[q] ἢ post δὲ om. E. [r] ἄπειρος F. [s] ἄλλῳ] ὅλῳ M. [t] ξυντίθεται H.M. [v] ἄπειρον εἶναι F. [w] εἴη H.M. [x] πρότερος τούτου E.L, τούτου πρότερον M. [y] τοῦ om. E. [z] γίγνεσθαι F.H.L.M. [a] συστήσεταί M. [b] κατὰ om. H. [c] τοῦτο μᾶλλον H, μᾶλλον τὸ E. [d] ὑφ' ἑαυτοῦ F, ὑπ' αὐτοῦ M. [e] γενητὸν M. [f] ἤτοι] ἢ F. [g] ἢ F.H.M. [h] γεννώμενον om. F.H.M. [i] ἔν τινι γίγνεται om. E.F.H.L. [k] καὶ om. E.F.H.L.M. [l] ἐν] ἢ ἐν E. [m] ἢ ἕξει σῶμα om. E. [n] ἔσται] ἕξει E.L. [o] ἅμα post δύο E.L, post αὐτῷ F.

ἀνάγκη κενὸν εἶναι ἀφωρισμένον. Τοῦτο δ' ὅτι ἀδύνατον, δέδεικται [p]καὶ πρότερον. [1]Ἀλλὰ μὴν οὐδ' ἐκ σώματός [q]τινος 6
ἐγχωρεῖ [r]γίνεσθαι τὰ στοιχεῖα· συμβήσεται γὰρ ἄλλο σῶμα πρότερον εἶναι τῶν στοιχείων. Τοῦτο δ' εἰ μὲν [s]ἔχει βάρος ἢ κουφότητα, τῶν στοιχείων ἔσται τι, μηδεμίαν δ' ἔχον ῥοπὴν [t]ἀκίνητον ἔσται καὶ [v]μαθηματικόν· τοιοῦτον δὲ ὂν οὐκ ἔσται ἐν τόπῳ. [1]Ἐν ᾧ γὰρ ἠρεμεῖ, ἐν τούτῳ καὶ κινεῖσθαι δυνατόν. [w]Καὶ εἰ μὲν βίᾳ, παρὰ φύσιν, εἰ δὲ μὴ βίᾳ, κατὰ φύσιν. Εἰ 7
μὲν οὖν ἔσται ἐν τόπῳ, [x]καί που ἔσται τι τῶν στοιχείων· εἰ δὲ μὴ ἐν τόπῳ, [y]οὐδὲν ἐξ αὐτοῦ ἔσται· τὸ γὰρ γινόμενον, καὶ ἐξ οὗ γίγνεται, ἀνάγκη ἅμα εἶναι. [1]Ἐπεὶ δ' οὔτε ἐξ ἀσωμάτου γίγνεσθαι δυνατὸν οὔτ' ἐξ ἄλλου σώματος, λείπεται ἐξ ἀλλήλων γίγνεσθαι.

Πάλιν οὖν ἐπισκεπτέον τίς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γε- 7
νέσεως, πότερον ὡς [1]Ἐμπεδοκλῆς λέγει καὶ Δημόκριτος, ἢ ὡς οἱ [z]εἰς τὰ ἐπίπεδα διαλύοντες, ἢ [a]ἔστιν ἄλλος τις τρόπος παρὰ τούτους. Οἱ μὲν οὖν [b]περὶ [1]Ἐμπεδοκλέα καὶ Δημόκριτον λανθάνουσιν αὐτοὶ [c]αὐτοὺς [d]οὐ γένεσιν ἐξ ἀλλήλων ποιοῦντες ἀλλὰ φαινομένην γένεσιν· ἐνυπάρχον γὰρ ἕκαστον ἐκκρίνεσθαί φασιν, ὥσπερ ἐξ ἀγγείου τῆς γενέσεως οὔσης ἀλλ' οὐκ ἔκ τινος ὕλης, [e]οὐδὲ γίγνεσθαι μεταβάλλοντος. [1]Ἔπειτα [f]κἂν οὕτως οὐδὲν ἧττον ἄλογα τὰ συμβαίνοντα. 2
Τὸ γὰρ αὐτὸ μέγεθος οὐ δοκεῖ [g]συμπιληθὲν γίνεσθαι βαρύτερον. [1]Ἀνάγκη δὲ τοῦτο λέγειν τοῖς φάσκουσιν ἐκκρίνεσθαι τὸ ὕδωρ ἐκ τοῦ ἀέρος [h]ἐνυπάρχον· ὅταν γὰρ ὕδωρ ἐξ ἀέρος γένηται, βαρύτερόν ἐστιν. [1]Ἔτι [i]δὲ τῶν μεμιγμένων σωμά- 3
των οὐκ ἀνάγκη χωρισθὲν θάτερον ἀεὶ πλείω τόπον ἐπέχειν· ὅταν δ' ἐξ ὕδατος ἀὴρ γένηται, πλείω καταλαμβάνει τόπον· τὸ δὲ λεπτομερέστερον ἐν [k]πλείονι τόπῳ γίγνεται. Φανερὸν

p καὶ om. F.H.M. q τινος] ἑνὸς H.M. r γενέσθαι E. s ἕξει E.L. t ἀκ. ἔσται] ἀκ. ἐστι E.F. v μαθητικὸν E. w καὶ ante εἰ om. H. x καί που om. M. y οὐδέ τι ἐξ F. z εἰς om. H.L. a ἔστιν om. E. b περὶ om. E. c ἑαυτοὺς F. d οὔτε E.L. e οὐδὲ] οὐ F, οὔ L. f καὶ (supra posito κἂν) F.L. g ξυμπιληθὲν H.M. h ὑπάρχον E. i δὲ καὶ τῶν E. k μείζονι F.H.M.

δὲ τοῦτό [l]γε καὶ ἐν τῇ μεταβάσει· διατμιζομένου γὰρ καὶ [m]πνευματουμένου [n]τοῦ ὑγροῦ ῥήγνυται τὰ περιέχοντα τοὺς
4 ὄγκους [o]ἀγγεῖα διὰ τὴν στενοχωρίαν. [v]Ὥστ' εἰ μὲν ὅλως μή ἐστι κενὸν μηδ' ἐπεκτείνεται τὰ σώματα, καθάπερ φασὶν οἱ ταῦτα λέγοντες, φανερὸν [p]τὸ ἀδύνατον· εἰ δ' ἔστι κενὸν καὶ ἐπέκτασις, ἄλογον τὸ ἐξ ἀνάγκης ἀεὶ πλείω τόπον ἐπιλαμβάνειν τὸ χωριζόμενον. [q]Ἀλλ' ἀνάγκη καὶ ὑπολείπειν τὴν ἐξ ἀλλήλων γένεσιν, εἴπερ ἐν τῷ πεπερασμένῳ μεγέθει
5 μὴ [r]ἐνυπάρχει ἄπειρα [s]μεγέθη πεπερασμένα. [v]Οταν γὰρ ἐκ γῆς ὕδωρ γένηται, ἀφῄρηταί τι τῆς γῆς, εἴπερ ἐκκρίσει ἡ γένεσις· καὶ πάλιν ὅταν ἐκ τῆς ὑπολειπομένης, [t]ὡσαύτως. Εἰ μὲν [v]οὖν ἀεὶ τοῦτ' ἔσται, συμβήσεται ἐν τῷ [w]πεπερασμένῳ ἄπειρα ἐνυπάρχειν· ἐπεὶ δὲ τοῦτ' ἀδύνατον, οὐκ ἂν ἀεὶ γί-
6 γνοιτο ἐξ ἀλλήλων. [v]Οτι μὲν οὖν οὐκ ἔστι τῇ ἐκκρίσει [x]ἡ εἰς [y]ἄλληλα μετάβασις, εἴρηται. Λείπεται [z]δ' εἰς ἄλληλα μεταβάλλοντα γίγνεσθαι. Τοῦτο δὲ διχῶς· ἢ γὰρ τῇ μετασχηματίσει, καθάπερ ἐκ τοῦ αὐτοῦ κηροῦ [a]γίγνοιτ' ἂν σφαῖρα καὶ κύβος, ἢ τῇ διαλύσει τῇ εἰς τὰ ἐπίπεδα, [b]ὥσπερ ἔνιοί
7 φασιν. Εἰ μὲν [c]οὖν τῇ μετασχηματίσει [d]γίνεται, συμβαίνει ἐξ ἀνάγκης ἄτομα λέγειν τὰ σώματα· διαιρετῶν γὰρ ὄντων οὐκ [e]ἔσται τὸ τοῦ πυρὸς μέρος πῦρ, οὐδὲ τὸ τῆς γῆς γῆ, διὰ τὸ μὴ εἶναι [f]μήτε τὸ τῆς πυραμίδος μέρος [g]πάντως πυρα-
8 μίδα μήτε [h]τὸ τοῦ κύβου κύβον. Εἰ [i]δὲ τῇ τῶν ἐπιπέδων διαλύσει, πρῶτον μὲν [k]ἄτοπον τὸ μὴ [l]πάντα γεννᾶν ἐξ ἀλλήλων, ὅπερ ἀνάγκη λέγειν αὐτοῖς, καὶ λέγουσιν. Οὔτε γὰρ εὔλογον ἓν [m]μόνον ἄμοιρον γενέσθαι τῆς μεταβάσεως, οὔτε φαίνεται κατὰ τὴν αἴσθησιν, ἀλλ' ὁμοίως [n]πάντα μεταβάλλειν εἰς ἄλληλα. Συμβαίνει [o]δὲ περὶ τῶν φαινομένων

[l] γε om. H.M. [m] πνευματιζομένου H, πνευμα E. [n] τοῦ om. L. [o] ἀγγεῖα om. E. [p] τὸ] ὅτι L. [q] ἀλλ' ἀνάγκη] ἀνάγκη δὲ F.H.M. [r] ἐνυπάρχῃ L. [s] μεγέθη om. E.F. [t] ὡσαύτως post ὅταν H.M. [v] οὖν om. F. [w] πεπ. ἀεὶ ὑπάρχειν E. [x] ἡ om. M. [y] ἄλλα F. [z] δὴ H.M. [a] γίγνοιτ ἂν om. F. [b] ὥσπερ] καθάπερ F.H.M. [c] οὖν ἐν τῇ F. [d] γείνονται E. [e] ἔστι H. [f] μήτε om. M. [g] πάντως om. H.M. [h] τὸ om. E. [i] δέ τις τῇ L. [k] ἄτομον E. [l] πάντα μόριον γ. pr. F. [m] μόνον] μόριον F.M. [n] ἅπαντα F.H.M. [o] δὴ L.

λέγουσι [p] μὴ [q] ὁμολογούμενα λέγειν τοῖς φαινομένοις. Τούτου 9
δ' αἴτιον τὸ μὴ καλῶς λαβεῖν τὰς πρώτας ἀρχάς, ἀλλὰ πάντα
βούλεσθαι πρός τινας δόξας [r] ὡρισμένας ἀνάγειν. Δεῖ γὰρ
ἴσως τῶν μὲν αἰσθητῶν αἰσθητάς, τῶν δὲ ἀϊδίων ἀϊδίους, τῶν
δὲ φθαρτῶν φθαρτὰς εἶναι τὰς ἀρχάς, ὅλως δ' ὁμογενεῖς
τοῖς ὑποκειμένοις. [s] Οἱ δὲ διὰ τὴν τούτων φιλίαν ταὐτὸ 10
ποιεῖν ἐοίκασι τοῖς τὰς θέσεις ἐν τοῖς λόγοις [t] διαφυλάττου-
σιν· ἅπαν γὰρ ὑπομένουσι τὸ συμβαῖνον ὡς ἀληθεῖς ἔχοντες
ἀρχάς, ὥσπερ οὐκ ἐνίας δέον κρίνειν ἐκ τῶν ἀποβαινόντων,
καὶ μάλιστα ἐκ τοῦ τέλους. Τέλος δὲ τῆς μὲν ποιητικῆς
ἐπιστήμης τὸ ἔργον, τῆς δὲ φυσικῆς [v] τὸ φαινόμενον ἀεὶ
κυρίως κατὰ τὴν αἴσθησιν. Συμβαίνει δ' αὐτοῖς [w] μάλιστα 11
τὴν γῆν εἶναι στοιχεῖον, καὶ μόνην ἄφθαρτον, εἴπερ τὸ [x] ἀδιά-
λυτον ἄφθαρτόν [y] τ' ἐστὶ καὶ στοιχεῖον· ἡ γὰρ γῆ μόνη
ἀδιάλυτος εἰς ἄλλο σῶμα. [z] Ἀλλὰ μὴν οὐδ' ἐν τοῖς διά-
λυομένοις ἡ τῶν τριγώνων παραιώρησις εὔλογος. Συμβαίνει
δὲ καὶ τοῦτο ἐν τῇ εἰς ἄλληλα μεταβάσει διὰ τὸ ἐξ ἀνίσων
τῷ πλήθει συνεστάναι τριγώνων. Ἔτι δ' ἀνάγκη τοῖς ταῦτα 12
λέγουσιν [a] οὐκ ἐκ [b] σώματος ποιεῖν γένεσιν· ὅταν γὰρ ἐξ ἐπι-
πέδων γένηται, οὐκ ἐκ [c] σώματος ἔσται γεγονός. Πρὸς δὲ
τούτοις ἀνάγκη μὴ πᾶν σῶμα [d] λέγειν διαιρετόν, ἀλλὰ μά-
χεσθαι ταῖς ἀκριβεστάταις ἐπιστήμαις· αἱ μὲν γὰρ καὶ τὸ
νοητὸν λαμβάνουσι διαιρετόν, αἱ [e] μαθηματικαί, οἱ δὲ οὐδὲ
τὸ αἰσθητὸν ἅπαν συγχωροῦσι διὰ τὸ βούλεσθαι σώζειν τὴν
ὑπόθεσιν. Ἀνάγκη γὰρ ὅσοι [f] σχῆμα ποιοῦσιν ἑκάστου 13
τῶν στοιχείων καὶ τούτῳ διορίζουσι τὰς οὐσίας αὐτῶν, ἀδιαί-
ρετα ποιεῖν αὐτά· τῆς γὰρ πυραμίδος ἢ τῆς σφαίρας διαιρε-
θείσης πως οὐκ ἔσται τὸ λειπόμενον σφαῖρα ἢ πυραμίς. Ὥστε
ἢ τὸ [g] τοῦ πυρὸς μέρος οὐ πῦρ, ἀλλ' ἔσται τι πρότερον τοῦ

[p] μὴ om. M. [q] ἀνομολογούμενα H.M. [r] διωρισμένας H.L. [s] οἱ] εἰ F.H. [t] φυλάττουσιν H.M. [v] ἀεὶ τὸ φ. L. [w] τὴν γῆν μάλιστα F.H.M. [x] ἀδ. καὶ ἄφθ. E. [y] τ'] γ' H, om. M. [z] λυομένοις E. [a] οὐκ ἐκ om. E. [b] σωμάτων ποιεῖν τὴν γένεσιν F. [c] σωμάτων F. [d] λέγειν] εἶναι F. [e] μαθητικαί E.F. [f] σχηματοποιοῦσιν ἕκαστον F. [g] τοῦ post τὸ om. E.

στοιχείου, διὰ τὸ πᾶν εἶναι ἢ στοιχεῖον ἢ ἐκ [h] στοιχείων, ἢ οὐχ ἅπαν σῶμα διαιρετόν.

8 [v]Ὅλως δὲ τὸ πειρᾶσθαι τὰ ἁπλᾶ σώματα σχηματίζειν ἄλογόν ἐστι, πρῶτον μὲν ὅτι συμβήσεται μὴ ἀναπληροῦσθαι τὸ ὅλον· ἐν μὲν γὰρ τοῖς ἐπιπέδοις τρία σχήματα δοκεῖ συμπληροῦν τὸν τόπον, τρίγωνον [i] καὶ τετράγωνον καὶ ἑξάγωνον, ἐν δὲ τοῖς στερεοῖς δύο [k] μόνα, πυραμὶς καὶ κύβος· ἀνάγκη δὲ πλείω τούτων λαμβάνειν διὰ τὸ πλείω τὰ στοιχεῖα ποιεῖν.

2 [w]Ἔπειτα φαίνεται [l] πάντα μὲν τὰ ἁπλᾶ σώματα σχηματιζόμενα τῷ περιέχοντι τόπῳ, μάλιστα δὲ τὸ ὕδωρ καὶ ὁ ἀήρ. Διαμένειν μὲν οὖν τὸ τοῦ στοιχείου σχῆμα ἀδύνατον· [m] οὐ γὰρ ἂν ἤπτετο πανταχῇ τοῦ περιέχοντος τὸ ὅλον. [x]Ἀλλὰ μὴν εἰ [n] μεταρρυθμισθήσεται, οὐκέτι [o] ἔσται ὕδωρ, εἴπερ τῷ σχήματι διέφερεν. [y]Ὥστε φανερὸν ὅτι οὐκ ἔστιν ὡρισμένα

3 τὰ σχήματα [p] αὐτοῦ. [z]Ἀλλ' ἔοικεν ἡ φύσις [q] αὐτὴ τοῦτο σημαίνειν ἡμῖν, [r] ὃ καὶ κατὰ λόγον ἐστίν· ὥσπερ γὰρ [s] καὶ [t] ἐν τοῖς ἄλλοις, ἀειδὲς καὶ ἄμορφον δεῖ τὸ ὑποκείμενον εἶναι· μάλιστα γὰρ [v] ἂν οὕτω δύναιτο [w] ῥυθμίζεσθαι, καθάπερ ἐν τῷ Τιμαίῳ γέγραπται, τὸ πανδεχές. [x]Οὕτω καὶ τὰ στοιχεῖα δεῖ νομίζειν ὥσπερ ὕλην εἶναι τοῖς [y] συνθέτοις· διὸ καὶ δύναται μεταβάλλειν εἰς ἄλληλα χωριζομένων τῶν [z] κατὰ

4 πάθη διαφορῶν. Πρὸς δὲ τούτοις πῶς ἐνδέχεται [a] γίγνεσθαι σάρκα καὶ ὀστοῦν ἢ [b] ὁτιοῦν σῶμα τῶν συνεχῶν; Οὔτε γὰρ ἐξ αὐτῶν τῶν στοιχείων ἐγχωρεῖ διὰ τὸ μὴ γίγνεσθαι συνεχὲς ἐκ τῆς συνθέσεως, οὔτ' ἐκ τῶν ἐπιπέδων συντιθεμένων· τὰ γὰρ στοιχεῖα γεννᾶται τῇ συνθέσει καὶ [c] οὐ τὰ ἐκ τῶν στοι-

5 χείων. [v]Ὥστ' ἐάν τις ἀκριβολογεῖσθαι βούληται καὶ μὴ ἐκ παρόδου τοὺς λόγους ἀποδέχεσθαι [d] τοὺς τοιούτους, ἀναι-

[h] στοιχείων] στοιχείου E. [i] καὶ ante τετρ. om. F. [k] μόνον E. [l] πάντα om. H. [m] οὐδὲ γὰρ H.M. [n] μεταρρυθμίσεται pr. F. [o] ἔστιν M. [p] αὐτοῦ] τούτων F, αὐτῶν L.M. [q] αὐτῶν (supra posito ὸ) F. [r] ὃ δὴ καὶ F.H.M. [s] καὶ post γὰρ om. E.L. [t] ἐν om. E. [v] ἂν om. M. [w] μεταρρυθμίζεσθαι L. [x] οὕτω δὲ καὶ M. [y] συνθ. αἰσθητοῖς. διόπερ H.M. [z] κατὰ τὰ π. F.H.L. [a] γίγνεσθαι κατὰ σ. M. [b] ὁτιοῦν τῶν σωμάτων οὔτε H.M. [c] οὐ τὰ] οὐκ αὐτὰ L. [d] τοὺς τοιούτους] τοῦ στοιχείου αὐτοὺς L, τοῦ στοιχείου αὐτοῦ E.

ροῦντας [e] ὄψεται τὴν γένεσιν [f] ἐκ τῶν ὄντων. [1] Ἀλλὰ μὴν [g] καὶ πρὸς [h] τὰ πάθη [i] τε καὶ [k] τὰς δυνάμεις καὶ τὰς κινήσεις [l] ἀσύμφωνα [m] τὰ σχήματα τοῖς σώμασιν, εἰς ἃ μάλιστα βλέψαντες οὕτω διένειμαν. Οἷον ἐπεὶ τὸ πῦρ εὐκίνητόν ἐστι 6 καὶ θερμαντικὸν καὶ καυστικόν, οἱ μὲν ἐποίησαν αὐτὸ σφαῖραν, οἱ δὲ πυραμίδα· ταῦτα γὰρ [n] εὐκινητότατα μὲν διὰ τὸ ἐλαχίστων ἅπτεσθαι καὶ ἥκιστα βεβηκέναι, θερμαντικώτατα [o] δὲ καὶ καυστικώτατα, διότι τὸ μὲν ὅλον ἐστὶ γωνία, τὸ δὲ ὀξυγωνιώτατον, καίει δὲ καὶ θερμαίνει ταῖς γωνίαις, [p] ὡς φασίν. Πρῶτον μὲν οὖν κατὰ τὴν κίνησιν ἀμφότεροι διημαρτήκασιν· 7 εἰ γὰρ καὶ ἔστιν εὐκινητότατα ταῦτα τῶν [q] σχημάτων, ἀλλ' οὐ τὴν τοῦ πυρὸς κίνησιν εὐκίνητα· ἡ μὲν γὰρ τοῦ πυρὸς ἄνω καὶ κατ' εὐθεῖαν, ταῦτα δ' εὐκίνητα [r] κύκλῳ, τὴν καλουμένην [s] κύλισιν. [1] Ἔπειτ' εἰ ἔστιν ἡ γῆ κύβος διὰ τὸ βεβη- 8 κέναι καὶ μένειν, μένει [t] δ' οὐχ οὗ ἔτυχεν ἀλλ' ἐν τῷ αὑτῆς τόπῳ, ἐκ δὲ τοῦ ἀλλοτρίου φέρεται μὴ κωλυομένη, καὶ τὸ πῦρ δὲ καὶ τὰ ἄλλα ὡσαύτως, δῆλον ὅτι καὶ τὸ πῦρ καὶ ἕκαστον τῶν στοιχείων ἐν μὲν τῷ ἀλλοτρίῳ τόπῳ σφαῖρα ἔσται ἢ πυραμίς, ἐν δὲ τῷ οἰκείῳ κύβος. [1] Ἔτι δ' [v] εἰ θερ- 9 μαίνει καὶ καίει τὸ πῦρ διὰ τὰς γωνίας, ἅπαντα [w] ἔσται [x] τὰ στοιχεῖα θερμαντικά, μᾶλλον δ' ἴσως [y] ἕτερον ἑτέρου· πάντα γὰρ ἔχει γωνίας, οἷον τό τε ὀκτάεδρον καὶ τὸ [z] δωδεκάεδρον. Δημοκρίτῳ δὲ καὶ ἡ σφαῖρα ὡς γωνία τις οὖσα [a] τέμνει ὡς εὐκίνητον. [1] Ὥστε διοίσει τῷ μᾶλλον καὶ ἧττον. Τοῦτο δ' ὅτι [c] ἔστι [d] ψεῦδος, φανερόν. [1] Ἅμα δὲ συμβήσεται καὶ 10 τὰ [e] μαθηματικὰ σώματα καίειν καὶ θερμαίνειν· ἔχει γὰρ

[e] ὄψεται γένεσιν F, τὴν γένεσιν ὄψεται H.M. [f] ἐκ τῶν ὄντων om. E. [g] καὶ om. E. [h] τὰ om. F. [i] τε om. M. [k] τὰς ante δ. om. H. [l] ἀξύμφωνα H.M. [m] τοῖς σώμασι τὰ σχήματα M. [n] εὐκινητότερα F. [o] δὲ καὶ καυστικώτατα om. E. [p] ὡς om. E.H.L. [q] σωμάτων pr. F. [r] κύκλῳ om. E.L. [s] κύλησιν E, κίνησιν M. [t] δ' οὐ πανταχοῦ ἀλλ' E.L. [v] εἰ] ὃ M. [w] ἔσται post στοιχ. F. [x] τὰ] δὲ τὰ E. [y] ἕτερον om. E. [z] δωδ.] δωδ. καὶ πυραμίς E, δωδ. καὶ ἡ πυραμίς H.L.M. [a] τέμνει ὡς εὐκίνητος H.M, καίει F.L. [b] τοῦτο δ' ὅτι] διότι δὲ E. [c] ἔσται L, om. H.M. [d] ψευδὲς E. [e] μαθητικὰ E.

κἀκεῖνα γωνίας, καὶ ἔνεισιν ἐν αὐτοῖς [f] ἄτομοι καὶ σφαῖραι καὶ πυραμίδες, ἄλλως τε καὶ εἰ ἔστιν ἄτομα μεγέθη, [g] καθάπερ φασίν. Εἰ [h] γὰρ τὰ μὲν τὰ δὲ μή, λεκτέον τὴν διαφοράν,
11 ἀλλ' οὐχ ἁπλῶς οὕτω λεκτέον [i] ὡς λέγουσιν. [11]Ετι εἰ τὸ καιόμενον πυροῦται, τὸ [k] δὲ πῦρ [l] ἐστι σφαῖρα ἢ πυραμίς, ἀνάγκη [m] τὸ καιόμενον γίγνεσθαι σφαίρας ἢ πυραμίδας. [n] Τὸ μὲν οὖν τέμνειν καὶ τὸ διαιρεῖν [o] οὕτως ἔστω κατὰ λόγον συμβαῖνον τῷ σχήματι· τὸ δ' ἐξ ἀνάγκης τὴν πυραμίδα [p] ποιεῖν πυραμίδας ἢ τὴν σφαῖραν [q] σφαίρας παντελῶς ἄλογον καὶ ὅμοιον [r] ὥσπερ εἴ τις [s] ἀξιοίη τὴν μάχαιραν εἰς μα-
12 χαίρας διαιρεῖν ἢ τὸν πρίονα εἰς πρίονας. [12]Ετι δὲ [t] γελοῖον πρὸς τὸ διαιρεῖν μόνον ἀποδοῦναι [v] τὸ σχῆμα τῷ πυρί· δοκεῖ γὰρ μᾶλλον συγκρίνειν [w] καὶ συνορίζειν ἢ [x] διακρίνειν. [y] Διακρίνει μὲν γὰρ τὰ μὴ ὁμόφυλα, [z] συγκρίνει δὲ τὰ ὁμόφυλα· καὶ ἡ μὲν σύγκρισις καθ' αὑτό ἐστι (τὸ γὰρ [a] συνορίζειν καὶ ἑνοῦν τοῦ πυρός), ἡ δὲ διάκρισις κατὰ συμβεβηκός (συγκρῖνον
13 γὰρ τὸ ὁμόφυλον ἐξαιρεῖ τὸ ἀλλότριον). [13]Ωστ' ἢ πρὸς ἄμφω [b] ἐχρῆν ἀποδοῦναι ἢ μᾶλλον ἐπὶ τὸ συγκρίνειν. Πρὸς δὲ τούτοις, ἐπεὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐναντία τῇ δυνάμει, ἀδύνατον ἀποδοῦναι τῷ ψυχρῷ σχῆμά [c] τι· [d] δεῖ γὰρ ἐναντίον εἶναι τὸ ἀποδιδόμενον, [e] οὐθὲν δ' ἐναντίον [f] ἐστὶ σχήματι. Διὸ καὶ πάντες [g] ἀπολελοίπασι τοῦτο· καίτοι
14 προσῆκεν ἢ πάντα ἀφορίσαι σχήμασιν ἢ μηδέν. [14]Ενιοι δὲ περὶ τῆς δυνάμεως αὐτοῦ πειραθέντες εἰπεῖν ἐναντία λέγουσιν αὐτοὶ [h] αὑτοῖς. Φασὶ γὰρ [i] εἶναι ψυχρὸν τὸ μεγαλομερὲς

[f] ἄτομοι καὶ κύβοι καὶ σφ. F, ἄτομοι κύβοι καὶ σφ. H. [g] καθάπερ φασίν om. E.L. [h] γὰρ] δὲ E.L. [i] ὡς λέγουσιν om. E. [k] δὲ om. E. [l] ἐστὶ post σφαῖρα F, om. H. [m] τὰ καιόμενα F. [n] τὸ om. E.L. [o] οὕτως om. F.H.M. [p] πυραμίδας ποιεῖν F.H.M. [q] σφαίρας margo F. [r] ὡς εἴπερ τις M. [s] ἀξιοῖ F. [t] γελοῖον τὸ πρὸς τὸ H.M. [v] τὸ om. H.M. [w] καὶ συνορίζειν om. H. [x] διακρίνειν om. E. [y] διακρίνει] διακρίνειν F.H.L. [z] συγκρίνειν F.L. [a] ξυνορίζειν H.M. [b] χρὴν M, χρὴ H. [c] τι om. E. [d] δεῖ γὰρ] διὰ τὸ δεῖν μὲν F.H.M. [e] μηδὲν F. [f] ἐστὶ] εἶναι F.H.M. [g] ἀπολείπουσι F. [h] ἑαυτοῖς F. [i] ψυχρὸν εἶναι F.

διὰ τὸ συνθλίβειν καὶ μὴ διιέναι διὰ τῶν πόρων. Δῆλον τοίνυν ὅτι καὶ [k]τὸ θερμὸν ἂν εἴη τὸ διιόν. Τοιοῦτον δ' [l]ἀεὶ τὸ λεπτομερές. [v]Ὥστε συμβαίνει [m]μικρότητι καὶ μεγέθει διαφέρειν τὸ [n]θερμὸν καὶ τὸ ψυχρόν, ἀλλ' οὐ τοῖς σχήμασιν. [w]Ἔτι δ' εἰ ἄνισοι αἱ πυραμίδες, αἱ μεγάλαι ἂν εἶεν οὐ πῦρ οὐδ' αἴτιον τὸ σχῆμα τοῦ καίειν, ἀλλὰ [o]τοὐναντίον. [v]Ὅτι μὲν οὖν οὐ τοῖς σχήμασι [p]διαφέρει τὰ στοιχεῖα, φανερὸν ἐκ τῶν εἰρημένων· ἐπεὶ δὲ κυριώταται [q]διαφοραὶ σωμάτων αἵ τε κατὰ [r]τὰ πάθη καὶ τὰ ἔργα καὶ [s]τὰς δυνάμεις (ἑκάστου γὰρ εἶναί φαμεν τῶν φύσει καὶ ἔργα καὶ πάθη καὶ δυνάμεις), πρῶτον ἂν εἴη περὶ τούτων λεκτέον, ὅπως θεωρήσαντες ταῦτα λάβωμεν τὰς ἑκάστου πρὸς ἕκαστον διαφοράς.

Δ.

Περὶ δὲ βαρέος καὶ κούφου, τί [t]τ' ἐστὶν ἑκάτερον καὶ [v]τίς 1
ἡ φύσις αὐτῶν, σκεπτέον, καὶ διὰ τίν' αἰτίαν ἔχουσι τὰς δυνάμεις ταύτας. [w]Ἔστι γὰρ ἡ περὶ αὐτῶν θεωρία τοῖς περὶ κινήσεως λόγοις οἰκεία· βαρὺ γὰρ καὶ κοῦφον [w]τῷ δύνασθαι κινεῖσθαι φυσικῶς πως λέγομεν. Ταῖς δὲ ἐνεργείαις ὀνόματ' αὐτῶν οὐ κεῖται, πλὴν εἴ τις οἴοιτο τὴν ῥοπὴν εἶναι τοιοῦτον. Διὰ δὲ τὸ τὴν φυσικὴν [x]μὲν εἶναι πραγματείαν περὶ [y]κινή- 2
σεως, ταῦτα δ' ἔχειν ἐν [z]ἑαυτοῖς οἷον ζώπυρ' [a]ἅττα κινήσεως, πάντες μὲν χρῶνται ταῖς δυνάμεσιν αὐτῶν, [b]οὐ μὴν διωρίκασί γε, πλὴν ὀλίγων. [t]Ἰδόντες οὖν πρῶτον τὰ παρὰ τῶν ἄλλων εἰρημένα, καὶ διαπορήσαντες ὅσα πρὸς τὴν σκέψιν ταύτην διελεῖν ἀναγκαῖον, οὕτω καὶ τὸ φαινόμενον ἡμῖν εἴπωμεν περὶ αὐτῶν. Λέγεται δὴ τὸ μὲν ἁπλῶς βαρὺ καὶ κοῦ- 3
φον, τὸ δὲ πρὸς ἕτερον· τῶν γὰρ ἐχόντων βάρος φαμὲν τὸ μὲν εἶναι κουφότερον τὸ δὲ βαρύτερον, οἷον ξύλου χαλκόν.

[k] τὸ om. H. [l] ἀεὶ] ἂν εἴη F, om. H.M. [m] σμικρότητι F, καὶ μικρότητι E. [n] ψυχρὸν καὶ τὸ θερμὸν F. [o] τοῦ ἐναντίου E. [p] διέφερε pr. L. [q] διαφοραὶ τῶν σωμάτων F.H.L.M. [r] τὰ ante πάθη om. E. [s] τὰς om. E. [t] τ' om. E.F. [v] τίς] πῶς H. [w] τὸ E. [x] μὲν om. E. [y] κίνησιν E. [z] αὐτοῖς F. [a] ἅττα τῆς κιν. F.H.M. [b] οὐ μὴν] πλὴν οὐ E.L.

περὶ μὲν οὖν τῶν ἁπλῶς λεγομένων [c] οὐδὲν εἴρηται παρὰ τῶν πρότερον, περὶ δὲ τῶν πρὸς ἕτερον· οὐ γὰρ λέγουσι τί ἐστι τὸ βαρὺ καὶ [d] τί τὸ κοῦφον, ἀλλὰ τί τὸ βαρύτερον [e] καὶ κουφότερον ἐν τοῖς ἔχουσι βάρος. Μᾶλλον δ' [f] ἔσται 4 δῆλον [g] τὸ λεγόμενον ὧδε. Τὰ μὲν γὰρ ἀεὶ πέφυκεν ἀπὸ τοῦ μέσου φέρεσθαι, τὰ δ' ἀεὶ πρὸς τὸ μέσον. Τούτων δὲ τὸ μὲν ἀπὸ τοῦ μέσου φερόμενον ἄνω [h] λέγω φέρεσθαι, κάτω δὲ τὸ πρὸς τὸ μέσον. Ἄτοπον γὰρ τὸ μὴ νομίζειν [i] εἶναί τι ἐν τῷ οὐρανῷ τὸ μὲν ἄνω τὸ δὲ κάτω, καθάπερ τινὲς ἀξιοῦσιν· οὐ γὰρ εἶναι τὸ μὲν ἄνω τὸ δὲ κάτω φασίν, εἴπερ πάντῃ ὅμοιός ἐστι, καὶ πανταχόθεν ἀντίπους ἔσται πορευό- 5 μενος ἕκαστος αὐτὸς αὑτῷ. [k] Ἡμεῖς δὲ τὸ τοῦ παντὸς ἔσχατον ἄνω λέγομεν, ὃ καὶ κατὰ τὴν θέσιν ἐστὶν ἄνω καὶ τῇ φύσει πρῶτον· ἐπεὶ δ' ἐστί τι τοῦ οὐρανοῦ ἔσχατον καὶ μέσον, δῆλον ὅτι ἔσται [k] καὶ ἄνω καὶ κάτω, [l] ὥσπερ καὶ οἱ 6 πολλοὶ λέγουσι, πλὴν οὐχ ἱκανῶς. Τούτου δ' αἴτιον ὅτι νομίζουσιν οὐχ ὅμοιον εἶναι πάντῃ τὸν οὐρανόν, ἀλλ' ἓν εἶναι [m] μόνον τὸ ὑπὲρ ἡμᾶς ἡμισφαίριον, ἐπεὶ προσυπολαβόντες καὶ κύκλῳ τοιοῦτον, καὶ τὸ μέσον ὁμοίως ἔχειν πρὸς ἅπαν, τὸ 7 μὲν ἄνω φήσουσιν εἶναι, τὸ δὲ μέσον κάτω. [k] Ἁπλῶς μὲν οὖν κοῦφον λέγομεν τὸ ἄνω φερόμενον καὶ πρὸς τὸ ἔσχατον, βαρὺ δὲ τὸ ἁπλῶς [n] κάτω καὶ πρὸς τὸ μέσον· πρὸς ἄλλο δὲ κοῦφον καὶ κουφότερον, ὃ [o] δυοῖν ἐχόντων βάρος καὶ τὸν [p] ὄγκον ἴσον κάτω φέρεται θάτερον φύσει θᾶττον.

2 Τῶν δὴ πρότερον [q] ἐλθόντων ἐπὶ τὴν περὶ τούτων σκέψιν σχεδὸν οἱ πλεῖστοι περὶ τῶν οὕτω [r] βαρέων καὶ κούφων εἰρήκασι [s] μόνον, [t] ὅσων ἀμφοτέρων ἐχόντων βάρος θάτερόν ἐστι κουφότερον. Οὕτω δὲ διελθόντες οἴονται [v] διωρίσθαι καὶ περὶ τοῦ ἁπλῶς κούφου καὶ βαρέος· ὁ δὲ λόγος αὐτοῖς

[c] οὐδὲν post πρότερον M. [d] τί τὸ post καὶ om. E. [e] καὶ τί τὸ κουφότερον F. [f] ἐστὶ F. [g] ὃ λέγομεν F.L. [h] λέγομεν F. [i] τι εἶναι F. [k] καὶ post ἔσται om. M. [l] ὅπερ E, ὡς ὅπερ L. [m] μόνον om. H.M. [n] κάτω] καὶ τὸ pr. E. [o] δυεῖν L. [p] ἴσον ὄγκον F. [q] ἐλθόντων post σκέψιν F. [r] κούφων τε καὶ βαρέων F. [s] μόνων F. [t] ὅσον L. [v] ὡρίσθαι E.

οὐκ ἐφαρμόττει. Δῆλον δ' ἔσται [w] τοῦτο μᾶλλον προελθοῦσιν. Λέγουσι γὰρ τὸ κουφότερον καὶ βαρύτερον οἱ μὲν 2
ὥσπερ ἐν τῷ Τιμαίῳ τυγχάνει γεγραμμένον, βαρύτερον μὲν τὸ ἐκ πλειόνων τῶν αὐτῶν [x] συνεστός, κουφότερον δὲ τὸ ἐξ ἐλαττόνων, ὥσπερ [y] μολίβδου μόλιβδος [z] ὁ πλείων βαρύτερος καὶ χαλκοῦ χαλκός. [r] Ὁμοίως δὲ καὶ [a] τῶν ἄλλων τῶν [b] ὁμοιοειδῶν ἕκαστον· ἐν ὑπεροχῇ γὰρ τῶν ἴσων μορίων βαρύτερον ἑκάστου ἐστιν. Τὸν αὐτὸν [c] δὲ τρόπον καὶ [d] ξύλου μόλιβδόν 3
φασιν· ἔκ τινων γὰρ τῶν αὐτῶν εἶναι πάντα τὰ σώματα καὶ μιᾶς ὕλης, ἀλλ' οὐ δοκεῖν. Οὕτω [e] δὴ διωρισμένων οὐκ εἴρηται περὶ τοῦ ἁπλῶς κούφου καὶ βαρέος· νῦν γὰρ τὸ μὲν πῦρ ἀεὶ κοῦφον καὶ ἄνω φέρεται, ἡ δὲ γῆ καὶ τὰ γενηὰ πάντα κάτω καὶ πρὸς τὸ μέσον. [u] Ὥστ' οὐ δι' ὀλιγότητα τῶν τρι- 4
γώνων ἐξ ὧν συνεστάναι φασὶν ἕκαστον αὐτῶν, τὸ πῦρ ἄνω φέρεσθαι πέφυκεν· τό [f] τε γὰρ [g] πλεῖον ἧττον [h] ἂν ἐφέρετο καὶ βαρύτερον ἂν ἦν ἐκ πλειόνων ὂν [i] τριγώνων. Νῦν δὲ φαίνεται τοὐναντίον· ὅσῳ γὰρ ἂν ᾖ πλεῖον, κουφότερόν ἐστι καὶ ἄνω φέρεται θᾶττον. Καὶ ἄνωθεν δὲ κάτω τὸ ὀλιγον οἰσθήσεται θᾶττον πῦρ, τὸ δὲ πολὺ βραδύτερον. Πρὸς δὲ 5
τούτοις, [k] ἐπεὶ τὸ μὲν ἐλάσσω [l] ἔχον τὰ [m] ὁμογενῆ κουφότερον εἶναί φασι, τὸ δὲ πλείω βαρύτερον, ἀέρα δὲ καὶ [n] ὕδωρ καὶ πῦρ ἐκ τῶν αὐτῶν εἶναι τριγώνων, ἀλλὰ διαφέρειν ὀλιγότητι καὶ πλήθει, διὸ τὸ μὲν αὐτῶν εἶναι κουφότερον τὸ δὲ [o] βαρύτερον, ἔσται τι πλῆθος ἀέρος ὃ βαρύτερον ὕδατος ἔσται. Συμβαίνει δὲ πᾶν τοὐναντίον· ἀεί τε γὰρ ὁ πλείων 6
ἀὴρ [p] ἄνω φέρεται μᾶλλον, καὶ ὅλως ὁτιοῦν μέρος ἀέρος ἄνω φέρεται ἐκ τοῦ ὕδατος. Οἱ μὲν οὖν [q] τοῦτον τὸν τρόπον περὶ κούφου καὶ βαρέος διώρισαν· τοῖς δ' οὐχ ἱκανὸν ἔδο-

[w] μᾶλλον τοῦτο H.M. [x] συνεστὼς F.L, συνεστηκὸς H.M. [y] μολίβδου om. E. [z] ὁ πλείων] πλειόνων E. [a] τῶν ἄλλων om. E. [b] ὁμοειδῶν E.M. [c] δὴ H. [d] ξύλου] ξύλον καὶ F. [e] δὲ F. [f] τε om. F. [g] ἂν πλέον ἧττον E, ἂν πλεῖον ἧττον L. [h] ἂν om. E.H.M. [i] τρίγωνον F. [k] ἐπειδὴ F. [l] ἔχον ante κουφότερον H.M. [m] ὁμοιογενῆ F.H. [n] πῦρ καὶ ὕδωρ F.H.M. [o] βραδύτερον E. [p] μᾶλλον φέρεται ἄνω F. [q] τὸν τρόπον τοῦτον L.

ξεν οὕτω διελεῖν, ἀλλὰ καίπερ ὄντες ἀρχαιότεροι [r] τῆς νῦν ἡλικίας καινοτέρως ἐνόησαν περὶ τῶν νῦν λεχθέντων.
7 Φαίνεται γὰρ ἔνια τὸν ὄγκον μὲν ἐλάττω τῶν σωμάτων ὄντα, [s] βαρύτερα δέ. Δῆλον οὖν [t] ὡς οὐχ ἱκανὸν τὸ φάσκειν ἐξ ἴσων συγκεῖσθαι τῶν πρώτων τὰ ἰσοβαρῆ· ἴσα γὰρ ἂν ἦν τὸν ὄγκον. Τὰ δὲ πρῶτα καὶ ἄτομα τοῖς μὲν ἐπίπεδα λέγουσιν ἐξ ὧν συνέστηκε τὰ βάρος ἔχοντα τῶν σωμάτων, ἄτοπον [v] τὸ φάναι· τοῖς δὲ στερεὰ μᾶλλον ἐν-
8 δέχεται λέγειν τὸ μεῖζον [w] εἶναι βαρύτερον αὐτῶν. [x] Τῶν δὲ συνθέτων, ἐπειδήπερ οὐ φαίνεται τοῦτον [y] ἔχειν [z] ἕκαστον τὸν τρόπον, [a] ἀλλὰ πολλὰ βαρύτερα ὁρῶμεν ἐλάττω τὸν ὄγκον ὄντα, καθάπερ ἐρίου χαλκόν, ἕτερον τὸ αἴτιον οἰόνται τε καὶ λέγουσιν ἔνιοι· τὸ γὰρ κενὸν ἐμπεριλαμβανόμενον [b] κουφίζειν τὰ σώματά φασι καὶ ποιεῖν ἔστιν ὅτε τὰ μείζω
9 κουφότερα· πλεῖον γὰρ ἔχειν κενόν. Διὰ τοῦτο [c] γὰρ καὶ τὸν ὄγκον [d] εἶναι μείζω συγκείμενα πολλάκις ἐξ ἴσων στερεῶν ἢ [e] καὶ ἐλαττόνων. [v] Ὅλως δὲ καὶ παντὸς αἴτιον εἶναι τοῦ κουφοτέρου τὸ πλεῖον ἐνυπάρχειν κενόν. Λέγουσι μὲν οὖν τοῦτον τὸν τρόπον, ἀνάγκη δὲ προσθεῖναι τοῖς οὕτω διορίζουσι μὴ μόνον τὸ κενὸν ἔχειν πλεῖον, ἂν ᾖ κουφότερον, ἀλλὰ καὶ τὸ στερεὸν ἔλαττον· εἰ γὰρ ὑπερέξει τῆς τοιαύτης
10 ἀναλογίας, οὐκ ἔσται κουφότερον. Διὰ γὰρ τοῦτο καὶ τὸ πῦρ εἶναί φασι κουφότατον, ὅτι πλεῖστον ἔχει κενόν. Συμβήσεται οὖν μικροῦ πυρὸς πολὺν χρυσὸν πλεῖον ἔχοντα τὸ κενὸν εἶναι κουφότερον, [f] εἰ μὴ [g] καὶ στερεὸν ἕξει πολλαπλά-
11 σιον· ὥστε τοῦτο λεκτέον. [d] Ἔνιοι μὲν οὖν τῶν μὴ φασκόντων εἶναι κενὸν οὐδὲν διώρισαν περὶ κούφου καὶ βαρέος, οἷον [d] Ἀναξαγόρας καὶ [d] Ἐμπεδοκλῆς· οἱ δὲ διορίσαντες μέν, οὐ φάσκοντες δὲ εἶναι κενόν, οὐδὲν εἶπον διὰ [h] τί τὰ μὲν ἁπλῶς

[r] ταῖς ἡλικίαις F.H.M. [s] δὲ βαρύτερα E.H.L.M. [t] ὡς om. E. [v] τὸ om. F.M. [w] εἶναι καὶ β. F. [x] δὲ τῶν E. [y] ἔχον M. [z] ἕκαστον post τοῦτον ponit E, om. L. [a] ἀλλὰ—sect. 9. τὸν τρόπον om. M. [b] τὰ σώματα κουφίζειν F.H. [c] γὰρ καὶ] δὲ καὶ F.H. [d] ἔχειν μείζονα F.H. [e] καὶ ante ἐλ. om. F. [f] εἰ μὴ post στερεὸν L. [g] καὶ τὸ στ. F. [h] τί] τὸ E.

κοῦφα τὰ δὲ βαρέα τῶν σωμάτων, καὶ φέρεται τὰ μὲν ἀεὶ ἄνω τὰ δὲ κάτω. [i]Ἔτι δὲ περὶ τοῦ ἕνια μείζω τὸν ὄγκον 12
[k] ὄντα κουφότερα τῶν ἐλαττόνων εἶναι σωμάτων οὐδὲν ἐπεμνήσθησαν, [l] οὐδὲ δῆλον [m] πῶς ἐκ τῶν εἰρημένων [n] ὁμολογούμενα τοῖς φαινομένοις συμβήσεται λέγειν [o] αὐτοῖς. [1]Αναγκαῖον δὲ καὶ τοῖς περὶ [p] τῆς τοῦ πυρὸς κουφότητος αἰτιωμένοις τὸ πολὺ κενὸν ἔχειν σχεδὸν ἐν ταῖς αὐταῖς ἐνέχεσθαι δυσχερείαις. [1]Ελαττον μὲν γὰρ [q] ἕξει στερεὸν τῶν ἄλλων 13
σωμάτων, καὶ τὸ κενὸν πλεῖον· ἀλλ' ὅμως ἔσται τι πυρὸς πλῆθος ἐν ᾧ τὸ στερεὸν καὶ τὸ πλῆρες [r] ὑπερβάλλει τῶν περιεχομένων στερεῶν ἕν τινι μικρῷ πλήθει γῆς. [s]Ἐὰν δὲ φῶσι [t] καὶ τὸ κενόν, πῶς διοριοῦσι τὸ ἁπλῶς βαρύ; [u]Η [v] γὰρ τῷ πλεῖον στερεὸν ἔχειν ἢ τῷ ἔλαττον κενόν. Εἰ μὲν οὖν [w] τοῦτο φήσουσιν, ἔσται τι πλῆθος γῆς οὕτως ὀλίγον ἐν [x] ᾧ στερεὸν ἔσται ἔλαττον ἢ ἐν πολλῷ πλήθει πυρός. [1]Ομοίως 14
δὲ κἂν τῷ [y] κενῷ διορίσωσιν, ἔσται τι κουφότερον [z] τοῦ ἁπλῶς κούφου καὶ φερομένου ἀεὶ ἄνω [a] αὐτὸ φερόμενον ἀεὶ κάτω. Τοῦτο δὲ ἀδύνατον· τὸ γὰρ ἁπλῶς [b] κοῦφον [c] ἀεὶ κουφότερον τῶν ἐχόντων βάρος καὶ κάτω φερομένων, τὸ δὲ κουφότερον οὐκ ἀεὶ κοῦφον διὰ τὸ λέγεσθαι καὶ ἐν τοῖς ἔχουσι βάρος ἕτερον ἑτέρου κουφότερον, οἷον [d] γῆς ὕδωρ. [1]Αλλὰ μὴν οὐδὲ 15
[e] τῷ τὸ κενὸν ἀνάλογον ἔχειν πρὸς τὸ πλῆρες ἱκανὸν λῦσαι τὴν λεγομένην [f] νῦν ἀπορίαν. Συμβήσεται γὰρ καὶ τοῦτον τὸν τρόπον λέγουσιν ὡσαύτως τὸ ἀδύνατον. [1]Εν γὰρ τῷ [g] πλείονι πυρὶ καὶ [h] ἐν τῷ ἐλάττονι τὸν αὐτὸν [i] ἕξει λόγον τὸ στερεὸν [k] πρὸς τὸ κενόν. Φέρεται δέ [l] γε [m] θᾶττον τὸ 16

[i] ἔτι] οὐ H.M. [k] ὄντα] ἔχοντα M, τὰ E.L. [l] οὐδὲ] οἱ δὲ E. [m] ὅπως H.L.M. [n] ὁμολογούμενον F. [o] αὐτούς F. [p] τῆς om. F. [q] ἕξει τὸ στερ. H.M. [r] ὑπερβάλῃ M. [s] ἂν H.L.M. [t] καὶ—διοριοῦσι om. E. [v] γάρ τοι τῷ πλεῖστον F. [w] τοῦτο] οὕτω F. [x] ᾧ τὸ στ. F.L. [y] κενῷ om. E. [z] τοῦ om. E. [a] αὐτὸ] τὸ F.H.L.M. [b] κοῦφον om. E. [c] ἀεὶ] ἔσται ἀεὶ M, αἰεὶ καὶ L, om. E. [d] ὕδωρ γῆς F.H.M. [e] τῷ om. F. [f] νῦν om. F. [g] πλέονι L. [h] ἐν om. F.H.M. [i] λόγον ἕξει L. [k] πρὸς] καὶ H. [l] γε om. F.H.M. [m] θᾶττον post πῦρ H.M.

πλεῖον ἄνω πῦρ τοῦ ἐλάττονος, καὶ κάτω δὲ [n] πάλιν ὡσαύτως ὁ πλείων χρυσὸς καὶ ὁ [o] μόλιβδος· ὁμοίως δὲ [p] καὶ τῶν ἄλλων ἕκαστον τῶν ἐχόντων βάρος. Οὐκ ἔδει δὲ τοῦτο συμβαίνειν, εἴπερ τούτῳ διώρισται τὸ βαρὺ [q] καὶ κοῦφον. [17] Ἄτοπον δὲ [r] καὶ εἰ διὰ τὸ κενὸν μὲν ἄνω [s] φέρονται, τὸ δὲ κενὸν αὐτὸ μή. Ἀλλὰ μὴν εἴ γε τὸ μὲν κενὸν ἄνω [t] πέφυκε φέρεσθαι, κάτω δὲ τὸ πλῆρες, καὶ διὰ τοῦτο τοῖς ἄλλοις αἴτια τῆς φορᾶς [v] ἑκατέρας, οὐθὲν περὶ τῶν συνθέτων ἔδει σκοπεῖν διὰ τί τὰ μὲν [w] κοῦφα τὰ δὲ βαρέα τῶν σωμάτων, ἀλλὰ περὶ τούτων αὐτῶν εἰπεῖν διὰ τί τὸ μὲν κοῦφον, τὸ δ' [x] ἔχει βάρος· ἔτι δὲ τί τὸ αἴτιον τοῦ μὴ διεστάναι τὸ πλῆρες καὶ τὸ [y] κενόν. [18] Ἄλογον δὲ καὶ τὸ χώραν [z] τῷ κενῷ ποιεῖν, ὥσπερ οὐκ [a] αὐτῷ χώραν τινὰ οὖσαν· ἀναγκαῖον δ' εἴπερ κινεῖται τὸ κενόν, εἶναι [b] αὐτοῦ τινὰ τόπον, ἐξ οὗ μεταβάλλει καὶ εἰς ὅν. Πρὸς δὲ τούτοις [c] τί τῆς [d] κινήσεως αἴτιον; Οὐ γὰρ δὴ τό [e] γε κενόν· [19] οὐ γὰρ αὐτὸ κινεῖται μόνον, ἀλλὰ καὶ τὸ στερεόν. [f] Ὡσαύτως δὲ συμβαίνει [f] κἄν τις ἄλλως διορίζῃ, μεγέθει καὶ [g] σμικρότητι ποιῶν βαρύτερα καὶ κουφότερα θάτερα τῶν ἑτέρων, [h] καὶ ἄλλον ὁντινοῦν τρόπον κατασκευάζων, μόνον δὲ τὴν αὐτὴν ὕλην ἅπασιν ἀποδιδούς, [i] ἢ πλείους [i] μὲν [k] ὑπεναντίας δὲ [20] μόνον. Μιᾶς [l] μὲν γὰρ οὔσης οὐκ ἔσται τὸ ἁπλῶς βαρὺ καὶ κοῦφον, ὥσπερ τοῖς ἐκ τῶν τριγώνων συνιστᾶσιν· ἐναντίας δέ, καθάπερ οἱ τὸ κενὸν [m] καὶ πλῆρες, οὐκ ἔσται τὰ μεταξὺ τῶν ἁπλῶς βαρέων καὶ κούφων διὰ [n] τίν' αἰτίαν βαρύτερα καὶ [21] κουφότερα ἀλλήλων καὶ τῶν ἁπλῶν ἐστίν. Τὸ δὲ μεγέθει καὶ μικρότητι διορίζειν πεπλασμένῳ μὲν ἔοικε μᾶλλον τῶν [o] πρότερον, ὅτι δ' ἐνδέχεται καθ' ἕκαστον ποιεῖν [p] διαφορὰν

[n] πάλιν] θᾶττον F. [o] μόλυβδος F. [p] καὶ ἐπὶ τῶν F. [q] καὶ τὸ κοῦφον H.M. [r] καὶ] κἂν H.M. [s] φέρεται H, φέρηται M. [t] φέρεσθαι πέφυκε F. [v] ἑκατέρας om. E. [w] βαρέα τὰ δὲ κοῦφα F.H.M. [x] ἔχει τι βάρος F. [y] κενὸν ἀεί. ἄλογον E. [z] τῷ—χώραν rc. margo E. [a] αὐτὸ F.H.M. et rc. E. [b] τινὰ αὐτοῦ F.H.M. [c] τί τὸ τῆς F. [d] κινήσεως τὸ αἴτιον H. [e] γε om. F. [f] κἂν εἴ τις ἄλλος L. [g] μικρότητι F. [h] καὶ] κἂν F.H.M. [i] μὲν om. F. [k] ἐναντίας E. [l] γὰρ μὲν F. [m] καὶ τὸ πλῆρες F.H.M. [n] τίνα γ' αἰτίαν M. [o] προτέρων F. [p] διαφορὰς E.L.

τῶν [q]τεττάρων στοιχείων, [r]ἀσφαλεστέρως ἔχει πρὸς τὰς ἔμπροσθεν ἀπορίας. [s]Τὸ δὲ μίαν ποιεῖν φύσιν τῶν τῷ με- 22
γέθει διαφερόντων ἀναγκαῖον ταὐτὸν συμβαίνειν τοῖς μίαν ποιοῦσιν ὕλην, καὶ μήθ' ἁπλῶς [t]εἶναι μηθὲν κοῦφον [v]μήτε φερόμενον ἄνω, ἀλλ' ἢ [w]ὑστερίζον ἢ ἐκθλιβόμενον, καὶ πολλὰ μικρὰ ὀλίγων μεγάλων βαρύτερα εἶναι. Εἰ δὲ τοῦτο 23
ἔσται, συμβήσεται πολὺν [x]ἀέρα καὶ πολὺ πῦρ ὕδατος εἶναι [y]βαρύτερα καὶ γῆς ὀλίγης. Τοῦτο δ' [z]ἐστὶν ἀδύνατον. Τὰ μὲν οὖν παρὰ τῶν ἄλλων εἰρημένα ταῦτα καὶ τοῦτον λέγεται τὸν τρόπον.

[b]Ἡμεῖς δὲ [a]λέγομεν πρῶτον διορίσαντες περὶ οὗ μάλιστα 3
ἀποροῦσί τινες, διὰ τί τὰ μὲν ἄνω φέρεται τὰ δὲ κάτω τῶν σωμάτων ἀεὶ κατὰ φύσιν, τὰ δὲ [b]καὶ ἄνω καὶ κάτω, μετὰ δὲ ταῦτα περὶ βαρέος καὶ κούφου καὶ τῶν συμβαινόντων περὶ αὐτὰ παθημάτων, διὰ τίν' αἰτίαν [c]ἕκαστον γίνεται. Περὶ μὲν οὖν τοῦ φέρεσθαι εἰς τὸν [d]αὑτοῦ τόπον ἕκαστον ὁμοίως ὑπολητέον ὥσπερ καὶ περὶ τὰς ἄλλας γενέσεις καὶ μεταβολάς. [e]Ἐπεὶ γάρ εἰσι τρεῖς [f]αἱ κινήσεις, ἡ μὲν κατὰ 2
μέγεθος, [f]ἡ δὲ κατ' εἶδος, ἡ δὲ κατὰ τόπον, ἐν ἑκάστῃ τούτων [g]τὴν μεταβολὴν ὁρῶμεν γινομένην ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία [h]καὶ τὰ μεταξὺ καὶ οὐκ εἰς τὸ [i]τυχὸν τῷ [k]τυχόντι μεταβολὴν οὖσαν· ὁμοίως δὲ οὐδὲ [l]κινητικὸν τὸ τυχὸν τοῦ τυχόντος· ἀλλ' ὥσπερ τὸ ἀλλοιωτὸν καὶ τὸ αὐξητὸν ἕτερον, οὕτω καὶ τὸ ἀλλοιωτικὸν καὶ τὸ αὐξητικόν. Τὸν αὐ- 3
τὸν δὴ τρόπον ὑπολητέον καὶ τὸ κατὰ τόπον [m]κινητικὸν καὶ κινητὸν οὐ τὸ τυχὸν εἶναι τοῦ τυχόντος. [n]Εἰ οὖν εἰς τὸ ἄνω καὶ τὸ κάτω [o]κινητικὸν μὲν τὸ βαρυντικὸν καὶ [p]τὸ κου-

[q] *τεσσάρων* F.M. [r] *ἀσφαλέστερον* F. [s] *τῷ δὲ μίαν ποιοῦντι* H.M. *τῷ* etiam L. [t] *μηδὲν εἶναι* H.M, *εἶναι μηδὲ* F. [v] *μηδὲ* H.M. [w] *ὑστεριζόμενον* F.H. [x] *ἀέρα πολὺν* M. [y] *βαρύτερον* M. [z] *ἐστὶν* om. F. [a] *λέγωμεν πρῶτον* E, *πρῶτον λέγωμεν* H, *πρῶτον λέγομεν* F.M. [b] *καὶ* post *δὲ* om. F.H.M. [c] *ἕκαστα* F.H.M. [d] *ἑαυτοῦ* H. [e] *αἱ* om. H.M. [f] *ἡ δὲ κατὰ τόπον, ἡ δὲ κατ' εἶδος* H.M. [g] *τὴν* om. F. [h] *καὶ εἰς τὰ* F.H. [i] *τυχὸν τῷ* om. E. [k] *τυχόντι τὴν μ.* F. [l] *κινητικὰ* F. [m] *κινητὸν καὶ κινητικὸν* F, *κινητικὸν καὶ τὸ κινητὸν* E.L. [n] *εἰ οὖν εἰς*] *εἰς οὖν* M, *εἰ οὖν* F.H. [o] *κινητικὰ* F. [p] *τὸ* post *καὶ* om. H.M.

φιστικόν, [q] κινητὸν δὲ τὸ δυνάμει βαρὺ [r] καὶ κοῦφον, τὸ δ' εἰς τὸν αὑτοῦ [s] τόπον φέρεσθαι [t] ἕκαστον τὸ [v] εἰς τὸ αὐτοῦ εἶδός
4 ἐστι φέρεσθαι. Καὶ ταύτῃ [w] μᾶλλον ἄν τις ὑπολάβοι ὃ ἔλεγον οἱ ἀρχαῖοι, ὅτι τὸ ὅμοιον [x] φέροιτο πρὸς τὸ ὅμοιον. Τοῦτο γὰρ οὐ συμβαίνει πάντως· οὐ γὰρ ἐάν τις μεταθῇ τὴν γῆν οὗ νῦν ἡ σελήνη, οἰσθήσεται τῶν μορίων ἕκαστον πρὸς αὐτήν, ἀλλ' ὅπου περ καὶ νῦν. [y] Ὅλως μὲν οὖν τοῖς ὁμοίοις καὶ ἀδιαφόροις ὑπὸ τῆς αὐτῆς κινήσεως ἀνάγκη τοῦτο συμβαίνειν, ὥσθ' ὅπου πέφυκεν [y] ἕν τι [z] φέρεσθαι μόριον, καὶ τὸ
5 πᾶν. [1] Ἐπεὶ δ' ὁ τόπος ἐστὶ [a] τὸ τοῦ περιέχοντος πέρας, περιέχει δὲ πάντα τὰ κινούμενα ἄνω καὶ κάτω τό τε ἔσχατον καὶ τὸ μέσον, τοῦτο δὲ τρόπον τινὰ γίγνεται τὸ εἶδος τοῦ περιεχομένου, τὸ εἰς [b] τὸν αὑτοῦ [c] τόπον φέρεσθαι πρὸς τὸ ὅμοιόν ἐστι φέρεσθαι· τὰ γὰρ [d] ἑξῆς ὅμοιά ἐστιν ἀλλήλοις, οἷον ὕδωρ ἀέρι καὶ [e] ἀὴρ πυρί. [1] Ἀνάπαλιν δὲ λέγειν τοῖς [f] μὲν μέσοις ἔστι, τοῖς δ' ἄκροις οὔ, οἷον ἀέρα μὲν ὕδατι, ὕδωρ δὲ γῇ· ἀεὶ [g] γὰρ τὸ [h] ἀνώτερον πρὸς τὸ ὑφ' αὑτὸ, ὡς εἶδος
6 πρὸς ὕλην, οὕτως ἔχει πρὸς ἄλληλα. Τὸ δὲ ζητεῖν διὰ τί [i] φέρεται τὸ πῦρ ἄνω καὶ ἡ γῆ κάτω, τὸ αὐτό ἐστι καὶ διὰ τί τὸ ὑγιαστὸν ἂν κινῆται καὶ μεταβάλλῃ ᾗ ὑγιαστόν, εἰς ὑγίειαν ἔρχεται ἀλλ' οὐκ εἰς λευκότητα. [1] Ὁμοίως δὲ καὶ τἆλλα πάντα [k] τὰ ἀλλοιωτά. [1] Ἀλλὰ μὴν καὶ τὸ αὐξητὸν ὅταν μεταβάλλῃ ᾗ αὐξητόν, οὐκ εἰς ὑγίειαν ἔρχεται ἀλλ' εἰς
7 μεγέθους ὑπεροχήν. [1] Ὁμοίως δὲ [l] καὶ τούτων ἕκαστον τὸ μὲν ἐν τῷ ποιῷ τὸ δ' ἐν τῷ ποσῷ μεταβάλλει, καὶ ἐν τόπῳ τὰ μὲν κοῦφα ἄνω τὰ δὲ βαρέα κάτω, πλὴν ὅτι τὰ μὲν [m] ἐν αὐτοῖς δοκεῖ ἔχειν ἀρχὴν τῆς μεταβολῆς, λέγω [n] δὲ τὸ βαρὺ καὶ
8 [o] τὸ κοῦφον, τὰ δ' οὔ, ἀλλ' ἔξωθεν, οἷον τὸ ὑγιαστὸν [p] καὶ τὸ αὐξητόν. Καίτοι ἐνίοτε καὶ ταῦτα ἐξ [q] αὑτῶν μεταβάλ-

[q] κινητικὸν L. [r] καὶ om. L. [s] τόπον om. L. [t] ἕκαστον—φέρεσθαι om. E. [v] εἰς τὸ] εἰς αὐτὸ L. [w] μᾶλλον om. E. [x] φέρεται F.L. [y] ἕν om. E. [z] μόριον φέρεσθαι F. [a] τὸ om. M. [b] τὸν αὑτοῦ om. E. [c] τρόπον M. [d] ἐφεξῆς F.H.L.M. [e] ἀὴρ] οὗτος F.H.M. [f] μὲν om. E.H.L. [g] γὰρ om. E. [h] ἀνωτέρω F. [i] τὸ πῦρ φέρεται ἄνω ἡ δὲ γῆ H.M. [k] τὰ om. E.F. [l] καὶ om. H.M. [m] ἐν om. E. [n] δὴ F. [o] τὸ post καὶ om. E.L. [p] καὶ] ἢ H, ᾗ M. [q] ἑαυτῶν F.

λει, καὶ μικρᾶς γενομένης ἐν τοῖς [r]ἔξω κινήσεως τὸ μὲν εἰς ὑγίειαν ἔρχεται τὸ δ' εἰς [s]αὔξην· καὶ ἐπεὶ [t]ταὐτὸν τὸ ὑγιαστὸν καὶ [v]τὸ νόσου δεκτικόν, ἐὰν μὲν κινηθῇ ᾗ [w]ὑγιαστόν, [x]εἰς ὑγίειαν φέρεται, ἐὰν δ' ᾗ νοσερόν, [y]εἰς νόσον. Μᾶλλον 9
δὲ τὸ βαρὺ [z]καὶ τὸ κοῦφον τούτων ἐν [a]ἑαυτοῖς ἔχειν φαίνεται τὴν ἀρχὴν διὰ τὸ ἐγγύτατα τῆς οὐσίας εἶναι τὴν τούτων ὕλην· σημεῖον δ' ὅτι ἡ φορὰ [b]ἀπολελυμένων ἐστί, καὶ γενέσει ὑστάτη τῶν κινήσεων, ὥστε πρώτη ἂν [c]εἴη κατὰ τὴν οὐσίαν [d]αὕτη κίνησις. [v]Οταν μὲν οὖν γίγνηται ἐξ ὕδατος ἀὴρ καὶ ἐκ βαρέος κοῦφον, ἔρχεται εἰς [e]τὸ ἄνω. [v]Αμα δ' ἐστὶ κοῦ- 10
φον, καὶ οὐκέτι γίνεται, ἀλλ' ἐκεῖ ἐστίν. Φανερὸν [f]δὴ [g]ὅτι δυνάμει ὄν, εἰς ἐντελέχειαν ἰὸν ἔρχεται ἐκεῖ καὶ [h]εἰς τοσοῦτον [i]καὶ τοιοῦτον, οὗ [k]ἡ ἐντελέχεια καὶ ὅσου καὶ οἵου [l]καὶ ὅπου. Τὸ δ' αὐτὸ αἴτιον καὶ τοῦ [m]ἤδη ὑπάρχοντα καὶ ὄντα γῆν καὶ πῦρ κινεῖσθαι εἰς τοὺς αὑτῶν [n]τόπους μηδενὸς ἐμποδίζοντος. Καὶ γὰρ ἡ τροφή, ὅταν τὸ κωλῦον, καὶ τὸ ὑγια- 11
στόν, ὅταν τὸ [o]ἐπίσχον [p]μὴ ᾖ, φέρεται [q]εὐθύς· [r]καὶ κινεῖ δὲ τό τε ἐξ ἀρχῆς ποιῆσαν καὶ τὸ [s]ὑποσπάσαν ἢ ὅθεν ἀπεπήδησεν, καθάπερ εἴρηται ἐν τοῖς πρώτοις λόγοις, ἐν οἷς διωρίζομεν ὅτι οὐθὲν τούτων [t]αὐτὸ [v]ἑαυτὸ κινεῖ. Διὰ τίνα μὲν οὖν αἰτίαν φέρεται τῶν φερομένων ἕκαστον, καὶ τὸ φέρεσθαι εἰς τὸν αὐτοῦ τόπον τί ἐστιν, εἴρηται.

Τὰς δὲ διαφορὰς καὶ τὰ συμβαίνοντα περὶ αὐτὰ νῦν λέ- 4
γωμεν. Πρῶτον μὲν οὖν διωρίσθω, καθάπερ φαίνεται πᾶσι, βαρὺ μὲν ἁπλῶς τὸ πᾶσιν ὑφιστάμενον, κοῦφον δὲ τὸ πᾶσιν ἐπιπολάζον. [t]Απλῶς δὲ λέγω εἷς [w]τε τὸ γένος βλέπων, καὶ ὅσοις μὴ ἀμφότερα ὑπάρχει· οἷον φαίνεται πυρὸς μὲν

[r] ἔξωθεν F. [s] αὔξησιν F.H.L.M. [t] ταυτὸ E. [v] τὸ post καὶ om. E. [w] ὑγιαντὸν H. [x] εἰς] ἐφ' H.M. [y] εἰς νόσον om. E. [z] καὶ κοῦφον F.H.L.M. [a] αὐτοῖς F. [b] ἀπολελυμένη F.L. [c] εἴη καὶ κατὰ L. [d] αὕτη ἡ κ. F.H.M. [e] τὰ F. [f] δὲ F. [g] ὅτι τὸ δ. M. [h] εἰς τὸ τοσοῦτον H.M. et pr. F. [i] καὶ τὸ τοιοῦτον E.H. et pr. F, καὶ εἰς τὸ τοιοῦτον M. [k] ἡ om. M. [l] καὶ ὅπου om. F. [m] ἤδη καὶ ὑπ. pr. F. [n] τόπους καὶ μ. E. [o] ἐπισχὸν plerique. [p] μὴ ᾖ] ἀρθῇ F.M. [q] εὐθέως F. [r] καὶ om. E. [s] ὑπὸ πᾶσαν L. [t] αὐτὸ om. L. [v] αὑτὸ H, om. E. [w] τε om. E.L.

τὸ τυχὸν [x] μέγεθος ἄνω φερόμενον, [y] ἐὰν μή τι τύχῃ κωλῦον ἕτερον, γῆς δὲ κάτω· τὸν αὐτὸν [z] δὲ τρόπον καὶ θᾶττον τὸ
2 πλεῖον. [1] Ἄλλως δὲ βαρὺ καὶ κοῦφον, οἷς ἀμφότερα ὑπάρχει· καὶ γὰρ ἐπιπολάζουσί τισι καὶ ὑφίστανται, καθάπερ ἀὴρ καὶ ὕδωρ· ἁπλῶς μὲν γὰρ [a] οὐδέτερον τούτων κοῦφον ἢ βαρύ· γῆς μὲν γὰρ ἄμφω κουφότερα (ἐπιπολάζει γὰρ αὐτῇ τὸ τυχὸν αὐτῶν μόριον), πυρὸς δὲ [b] βαρύτερα (ὑφίσταται γὰρ αὐτῶν ὁπόσον ἂν ᾖ μόριον), πρὸς [c] ἑαυτὰ δὲ ἁπλῶς τὸ [d] μὲν βαρὺ τὸ δὲ κοῦφον· ἀὴρ μὲν γὰρ ὁπόσος ἂν ᾖ, ἐπιπο-
3 λάζει ὕδατι, ὕδωρ δὲ ὁπόσον ἂν ᾖ, ἀέρι ὑφίσταται. [2] Ἐπεὶ δὲ καὶ τῶν ἄλλων τὰ μὲν ἔχει βάρος τὰ δὲ κουφότητα, δῆλον [e] ὅτι τούτων μὲν αἰτία πάντων ἡ ἐν τοῖς ἀσυνθέτοις διαφορά· [f] κατὰ [g] γὰρ τὸ ἐκείνων τετυχηκέναι τοῦ μὲν πλεῖον τοῦ δ' ἔλαττον, ἔσται τὰ μὲν κοῦφα τὰ δὲ βαρέα τῶν σωμάτων. [3] Ὥστε περὶ ἐκείνων λεκτέον· [h] τἆλλα γὰρ ἀκολουθεῖ τοῖς πρώτοις, ὅπερ ἔφαμεν χρῆναι ποιεῖν καὶ τοὺς διὰ τὸ πλῆρες
4 τὸ βαρὺ λέγοντας [i] καὶ διὰ τὸ κενὸν τὸ κοῦφον. Συμβαίνει [k] δὴ μὴ [l] πανταχοῦ ταὐτὰ βαρέα δοκεῖν εἶναι καὶ κοῦφα διὰ τὴν τῶν πρώτων διαφοράν· λέγω δ' οἷον ἐν μὲν ἀέρι βαρύτερον [m] ἔσται ταλαντιαῖον ξύλον μολίβδου μναϊαίου, ἐν δὲ ὕδατι κουφότερον· αἴτιον δ' ὅτι πάντα βάρος ἔχει πλὴν πυρὸς καὶ κουφότητα πλὴν γῆς. Γῆν μὲν οὖν καὶ ὅσα [n] γῆς ἔχει πλεῖστον, πανταχοῦ βάρος ἔχειν ἀναγκαῖον, ὕδωρ δὲ [o] πανταχοῦ πλὴν ἐν γῇ, ἀέρα δὲ πλὴν ἐν ὕδατι καὶ γῇ· ἐν τῇ αὐτοῦ γὰρ χώρᾳ [p] πάντα βάρος ἔχει πλὴν πυρός, καὶ ὁ
5 ἀήρ. Σημεῖον δ' ὅτι [q] ἕλκει πλεῖον ὁ πεφυσημένος ἀσκὸς τοῦ κενοῦ· ὥστ' εἴ τι ἀέρος ἔχει πλεῖον ἢ [r] γῆς καὶ ὕδατος, ἐν μὲν ὕδατι ἐνδέχεται κουφότερον εἶναι τινός, ἐν δὲ ἀέρι βα-

[x] μέγεθος] μόριον M. [y] ἂν H.M. [z] τρόπον δὲ E.L. [a] οὐθ' ἕτερον E.F.M. [b] βαρύτερον M. [c] αὐτὰ F.H.M. [d] μὲν γὰρ β. E.M. [e] ὅτι τούτων μὲν] μὲν ὅτι τούτων E. [f] κατὰ] καὶ H. [g] γὰρ ἐκείνων τὸ F, τὸ ἐκείνων γὰρ E.L. [h] ἄλλα E. [i] καὶ τοὺς διὰ H.M. [k] δὲ F. [l] πανταχῇ M. [m] ἔσται τὸ τ. M. [n] γῇ E.M. [o] πανταχῇ H.L.M. [p] ἅπαντα βάρος ἔχει M, βάρος ἔχει ἅπαντα F. [q] πλεῖον ἕλκει F. [r] γῆς ἢ καὶ F.

ρύτερον· ἀέρι μὲν γὰρ οὐκ ἐπιπολάζει, τῷ δὲ ὕδατι ἐπιπολάζει. [v]Οτι δ' ἔστι [s]τι ἁπλῶς [t]κοῦφον καὶ ἁπλῶς βαρύ, ἐκ 6
τῶνδ' ἐστὶ φανερόν. Λέγω δ' ἁπλῶς κοῦφον ὃ ἀεὶ ἄνω καὶ βαρὺ ὃ ἀεὶ κάτω πέφυκε φέρεσθαι μὴ κωλυόμενον· τοιαῦτα γάρ ἐστί [v]τινα, καὶ οὐχ ὥσπερ οἴονταί τινες πάντ' [w]ἔχειν βάρος· βαρὺ μὲν γὰρ δοκεῖ τισὶν εἶναι καὶ ἑτέροις, καὶ ἀεὶ φέρεσθαι πρὸς τὸ μέσον. [x]Ἔστι δ' ὁμοίως καὶ τὸ κοῦφον· ὁρῶμεν γάρ, καθάπερ εἴρηται πρότερον, ὅτι τὰ [y]γεηρὰ πᾶσιν [z]ὑφίσταται καὶ φέρεται πρὸς τὸ μέσον. [a]Ἀλλὰ μὴν 7
ὥρισται τὸ μέσον. Εἰ τοίνυν ἔστι τι ὃ πᾶσιν ἐπιπολάζει, καθάπερ φαίνεται τὸ πῦρ καὶ ἐν [a]αὐτῷ τῷ ἀέρι ἄνω φερόμενον, ὁ δ' ἀὴρ ἡσυχάζων, δῆλον ὅτι τοῦτο φέρεται πρὸς τὸ ἔσχατον. [b]Ὥστε βάρος [b]οὐδὲν οἷόν τ' ἔχειν αὐτό· [c]ὑφίστατο γὰρ ἂν ἄλλῳ· εἰ δὲ τοῦτο, εἴη ἄν τι [d]ἕτερον, ὃ φέρεται ἐπὶ τὸ ἔσχατον, ὃ πᾶσι τοῖς φερομένοις [e]ἐπιπολάζει. Νῦν δ' οὐδὲν φαίνεται. Τὸ ἄρα πῦρ οὐδὲν ἔχει βάρος, οὐδὲ 8
ἡ γῆ κουφότητα οὐδεμίαν, εἴπερ ὑφίσταται πᾶσι καὶ τὸ ὑφιστάμενον φέρεται ἐπὶ τὸ μέσον. [d]Ἀλλὰ μὴν ὅτι γ' ἐστὶ μέσον πρὸς ὃ ἡ φορὰ τοῖς [f]ἔχουσι βάρος καὶ ἀφ' οὗ τοῖς κούφοις, δῆλον πολλαχόθεν, πρῶτον μὲν [g]τῷ εἰς ἄπειρον μὴ ἐνδέχεσθαι φέρεσθαι μηθέν. [h]Ὥσπερ γὰρ οὐκ ἔστιν οὐθὲν 9
ἀδύνατον, οὕτως οὐδὲ γίγνεται· ἡ δὲ φορὰ γένεσίς ποθέν ποι. [i]Ἔπειτα πρὸς ὁμοίας [i]φαίνεται γωνίας τὸ [k]μὲν πῦρ ἄνω φερόμενον, ἡ δὲ γῆ κάτω καὶ πᾶν τὸ βάρος ἔχον. [v]Ωστ' ἀνάγκη φέρεσθαι πρὸς τὸ μέσον. Τοῦτο δὲ πότερον συμβαίνει πρὸς τὸ [l]τῆς γῆς μέσον ἢ πρὸς τὸ τοῦ παντός, ἐπεὶ [m]ταὐτόν ἐστιν, ἄλλος λόγος. [d]Ἐπεὶ δὲ τὸ πᾶσιν [n]ὑφιστά- 10
μενον φέρεται πρὸς τὸ μέσον, ἀνάγκη τὸ πᾶσιν ἐπιπολάζον

[s] τι om. E. [t] βαρὺ καὶ ἁπλῶς κοῦφον F.H.M. [v] τινα om. E. [w] ἔχει M. [x] ἔστι—πρὸς τὸ μέσον om. L. [y] γεηρὰ σώματα π. M. [z] ὑφίσταταί τε καὶ F. [a] αὐτῷ] ταυτῷ E. [b] οὐδὲν ἔχειν οἷόν τε αὐτό H, οὐδὲν ἔχειν αὐτὸ οἷόν τε F, ἔχειν αὐτὸ οὐδὲν οἷόν τε M. pro αὐτὸ E αὐτόν. [c] ὑφίσταιτο E.F. [d] ἕτερον] ἄλλο E.L. [e] ἐπιπολάσει E.L. [f] βάρος ἔχουσι M. [g] τὸ E.F. [h] ὥσπερ γὰρ οὐκ ἔστιν om. pr. E. [i] φέρεται F.H. [k] μὲν γὰρ πῦρ H. [l] τῆς γῆς margo F. [m] ταὐτὸν αὐτῶν ἐστὶν F.H.M. [n] ὑφιστανόμενον E.

φέρεσθαι πρὸς τὸ ἔσχατον τῆς χώρας, ἐν ᾗ ποιοῦνται τὴν κίνησιν· ἐναντίον γὰρ τὸ μὲν [o]μέσον τῷ ἐσχάτῳ, τὸ δὲ [p]ὑφιστάμενον ἀεὶ τῷ [q]ἐπιπολάζοντι. Διὸ καὶ εὐλόγως τὸ βαρὺ [r]καὶ κοῦφον δύο ἐστίν· καὶ γὰρ οἱ τόποι δύο, τὸ μέσον καὶ
11 τὸ ἔσχατον. [1]Ἔστι [s]δὲ δή τι καὶ [s]τὸ μεταξὺ τούτων, [t]ὃ πρὸς ἑκάτερον αὐτῶν λέγεται θάτερον· ἔστι γὰρ ὡς ἔσχατον καὶ μέσον [v]ἀμφοτέρων τὸ μεταξύ. Διὰ τοῦτο ἔστι τι καὶ ἄλλο βαρὺ καὶ κοῦφον, οἷον [w]ὕδωρ καὶ ἀήρ· φαμὲν δὲ τὸ μὲν περιέχον [x]τοῦ εἴδους εἶναι, τὸ δὲ περιεχόμενον τῆς ὕλης.
[1]Ἔστι δ' [y]ἐν [z]πᾶσι [a]τοῖς γένεσιν [b]αὕτη ἡ διάστασις· καὶ γὰρ ἐν τῷ ποιῷ καὶ [c]ἐν τῷ ποσῷ ἐστὶ τὸ μὲν ὡς εἶδος μᾶλ-
12 λον, τὸ δ' ὡς ὕλη. Καὶ ἐν τοῖς κατὰ τόπον ὡσαύτως τὸ μὲν ἄνω τοῦ ὡρισμένου, τὸ δὲ κάτω τῆς ὕλης. [v]Ὥστε καὶ ἐν αὐτῇ τῇ ὕλῃ τῇ τοῦ βαρέος καὶ κούφου, ᾗ μὲν [d]τοιοῦτον δυνάμει, βαρέος ὕλη, ᾗ δὲ [e]τοιοῦτον, κούφου· καὶ ἔστι μὲν ἡ αὐτή, τὸ δ' εἶναι οὐ ταὐτόν, ὥσπερ [f]καὶ τὸ νοσερὸν καὶ [g]τὸ ὑγιαστόν, τὸ [h]δ' εἶναι οὐ ταὐτόν· διόπερ οὐδὲ τὸ νοσῶδες εἶναι ἢ ὑγιεινῷ.

5 Τὸ μὲν οὖν ἔχον τοιαύτην ὕλην κοῦφον καὶ ἀεὶ ἄνω, τὸ δὲ τὴν ἐναντίαν βαρὺ καὶ ἀεὶ κάτω· τὸ δ' ἑτέρας μὲν τούτων, ἐχούσας δ' οὕτω πρὸς ἀλλήλας ὡς αὗται, ἁπλῶς καὶ [i]ἄνω καὶ κάτω φερομένας· [k]διὸ ἀὴρ [l]καὶ ὕδωρ ἔχουσι [m]καὶ κουφότητα καὶ βάρος ἑκάτερον, καὶ ὕδωρ μὲν πλὴν γῆς πᾶσιν
2 ὑφίσταται, ἀὴρ δὲ πλὴν πυρὸς πᾶσιν ἐπιπολάζει. [1]Ἐπεὶ δ' ἐστὶν ἓν μόνον ὃ πᾶσιν ἐπιπολάζει καὶ [n]ἓν ὃ πᾶσιν ὑφίσταται, ἀνάγκη δύο ἄλλα εἶναι ἃ καὶ ὑφίσταταί τινι καὶ ἐπιπολάζει τινί. [v]Ὥστε ἀνάγκη καὶ τὰς ὕλας [o]εἶναι τοσαύτας

[o] μέσον μέσῳ τῷ F. [p] ὑφίστασθαι M. [q] ἐπιπολάζειν F.H.M. [r] καὶ τὸ κοῦφον M. [s] δὲ et τὸ om. E.L. [t] ὃ καὶ πρὸς M. [v] ἀμφ. ἐστὶ τὸ E.F.L.M. [w] ἀὴρ καὶ ὕδωρ E.F. [x] εἶναι τοῦ εἴδους F.H.L.M. [y] ἐν om. E.H. [z] πᾶσι om. E. [a] τοῖς] τούτοις τοῖς F. [b] αὕτη δ. E, ἡ αὐτὴ δ. F.L. [c] ἐν post καὶ om. F. [d] τοιούτου F.L. [e] τοιοῦτον] τοῦδε F.L, τοῦ E. [f] καὶ om. M. [g] τὸ om. E. [h] δ'] γὰρ E.L. [i] κάτω καὶ ἄνω EL. [k] διὸ καὶ ὁ ἀὴρ M. [l] καὶ τὸ ὕδωρ F.M. [m] καὶ ante κουφότητα om. H.M. [n] ἓν μόνον ὃ H.M. [o] τοσαύτας εἶναι F.H.M.

ὅσαπερ ταῦτα, τέτταρας, οὕτω δὲ τέτταρας ὡς μίαν μὲν ἁπάντων τὴν κοινήν, ἄλλως τε [p] καὶ εἰ [q] γίγνονται ἐξ ἀλλήλων, ἀλλὰ τὸ εἶναι ἕτερον. Οὐδὲ [r] γὰρ κωλύει τῶν [s] ἐναντίων εἶναι μεταξὺ καὶ εν καὶ πλείω, ὥσπερ ἐν χρώμασιν· [t] πολλαχῶς γὰρ λέγεται τὸ μεταξὺ καὶ τὸ μέσον. [u] Ἐν μὲν 3
οὖν τῇ [v] αὐτοῦ χώρᾳ τῶν ἐχόντων [w] καὶ βάρος καὶ κουφότητα ἕκαστον ἔχει βάρος· ἡ δὲ γῆ ἐν ἅπασιν [x] ἔχει βάρος, κουφότητα δ' οὐκ ἔχει, [y] εἰ μὴ ἐν οἷς ἐπιπολάζει. Διὸ καὶ ὑποσπωμένων [z] μὲν φέρεται εἰς [a] τὸ ἐφεξῆς κάτω, ἀὴρ μὲν εἰς τὴν τοῦ ὕδατος χώραν, ὕδωρ δὲ εἰς τὴν τῆς γῆς. [v] Ἄνω δ' 4
εἰς τὴν τοῦ πυρός, ἀναιρουμένου τοῦ πυρός, οὐκ οἰσθήσεται ὁ ἀήρ, [b] ἀλλ' ἢ βίᾳ, ὥσπερ καὶ τὸ ὕδωρ σπᾶται, ὅταν γένηται τὸ ἐπίπεδον ἓν καὶ θᾶττον [c] σπάσῃ τις ἄνω τῆς φορᾶς, ἣν φέρεται τὸ ὕδωρ κάτω. Οὐδὲ τὸ ὕδωρ εἰς τὴν τοῦ ἀέρος, ἀλλ' ἢ ὡς νῦν εἴρηται. [w] Ἡ [d] γῆ δὲ τοῦτο οὐ πάσχει, ὅτι οὐχ ἓν τὸ ἐπίπεδον. Διὸ τὸ μὲν ὕδωρ εἰς τὸ ἀγγεῖον πυρωθὲν σπᾶται, [e] γῆ δ' οὔ. [x] Ὥσπερ δὲ [f] οὐδ' ἡ γῆ ἄνω, οὐδὲ τὸ πῦρ 5
κάτω εἰσὶν ὑφαιρουμένου τοῦ ἀέρος· [g] οὐδὲν γὰρ ἔχει βάρος οὐδ' ἐν τῇ αὑτοῦ χώρᾳ, ὥσπερ οὐδ' ἡ γῆ κουφότητα. Φέρεται [h] δὲ [i] κάτω τὰ δύο ὑποσπωμένων, ὅτι τὸ μὲν ἁπλῶς βαρύ ἐστιν, ὃ πᾶσιν ὑφίσταται, τὸ δὲ πρός τι βαρὺ ὂν εἰς τὴν [k] αὑτοῦ χώραν ἢ οἷς ἐπιπολάζει, δι' ὁμοιότητα τῆς ὕλης. [y] Ὅτι δ' ἀναγκαῖον ποιεῖν ἴσας τὰς διαφορὰς [l] αὐτοῖς, δῆλον.
Εἰ μὲν γὰρ μία ὕλη πάντων, οἷον ἢ τὸ κενὸν ἢ τὸ πλῆρες ἢ 6
[m] τὸ μέγεθος ἢ τὰ τρίγωνα, ἢ πάντα ἄνω ἢ πάντα κάτω οἰσθήσεται, [n] ἡ δὲ ἑτέρα [o] φορὰ οὐκέτι ἔσται· ὥστ' [p] ἢ κοῦφον [q] οὐδὲν [r] ἔσται ἁπλῶς, εἰ πάντα ῥέπει μᾶλλον τῷ ἐκ μειζόνων

[p] κἂν H.M. [q] *γίνωνται* M, *γίγνεται* L, incerto E. [r] *γὰρ* om. E. [s] *ἐναντίων ἓν εἶναι μεταξὺ καὶ πλείω* F. [t] *πολλαχῶς—μέσον* om. L. [u] *ἑαυτοῦ* M. [w] *καὶ* ante *β.* om. F.H.M. [x] *ἔχει βάρος* ante *κ.* om. F.M. et corr. H. [y] *εἰ μὴ*] *ἀλλ'* F.H.M. [z] *μὲν* om. F. [a] *τὰ* E.H.M. [b] *ἀλλ' ἢ*] *εἰ μὴ* E.L. [c] *σπάσει* M. [d] *δὲ γῆ* F. [e] *γῆ*] *ἡ γῆ* H.M. [f] *οὐδ' ἡ*] *οὐ* M. [g] *οὐδὲν*] *οὐδὲ* F. [h] *δὲ*] *δὲ καὶ* M. [i] *τὰ δύο κάτω ὑπ. διότι* F. [k] *χώραν αὐτοῦ* F. [l] *αὐτοῖς* om. M. [m] *τὸ* ultimum om. H.M. [n] *ἡ*] *εἰ* E.L.M. [o] *φορὰ* et *ἔτι* om. E. [p] *ἢ*] *εἰ* M. [q] *οὐδὲν*] *οὐκέτι* H. [r] *ἔστιν* L.

εἶναι σωμάτων ἢ ἐκ πλειόνων, ἢ ὅτι [s]πλήρη. Τοῦτο δὲ ὁρῶμέν [t]τε, καὶ δέδεικται ὅτι ὁμοίως κάτω [v]τε ἀεὶ [w]καὶ παντα-
7 χοῦ φέρεται [x]καὶ ἄνω. Ἐὰν δὲ τὸ κενὸν ᾖ [y]τι τοιοῦτον ὃ ἀεὶ ἄνω, οὐκ [z]ἔσται [a]τὸ ἀεὶ κάτω. Καὶ τῶν μεταξὺ [b]δὴ [c]ἕνια ἔσται κάτω θᾶττον γῆς· ἐν γὰρ [d]τῷ πολλῷ ἀέρι τρίγωνα πλείω ἢ τὰ στερεὰ ἢ τὰ μικρὰ ἔσται. Οὐ φαίνεται δ' [e]οὐδὲ ἓν μόριον ἀέρος κάτω φερόμενον. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κούφου, ἐὰν ἐκεῖνο [f]ποιῇ τις [g]ὑπερέχειν τῇ ὕλῃ.
Ἐὰν δὲ δύο τὰ [h]μεταξύ, πῶς ἔσται ποιοῦντα ἃ ποιεῖ ἀήρ τε
8 καὶ ὕδωρ; Οἷον εἴ τις φαίη [i]εἶναι κενὸν καὶ πλῆρες. Τὸ μὲν [k]οὖν πῦρ κενόν, [l]διὸ καὶ ἄνω, τὴν δὲ γῆν πλῆρες, διὸ [m]καὶ κάτω. Ἀέρα δὲ [n]πλεῖον πυρὸς ἔχειν, ὕδωρ δὲ γῆς· ἔσται γάρ τι ὕδωρ ὃ πλεῖον ἕξει πῦρ ὀλίγου ἀέρος, καὶ ἀὴρ πολὺς ὀλίγου ὕδατος [o]γῆν πλείω, ὥστε δεήσει ἀέρος τι
9 πλῆθος [p]θᾶττον φέρεσθαι κάτω ὕδατος ὀλίγου. Τοῦτο δ' οὐ φαίνεται οὐδαμοῦ οὐδέποτε. Ἀνάγκη τοίνυν, ὥσπερ καὶ [q]τὸ πῦρ ἄνω, ὅτι τοδὶ ἔχει, οἷον τὸ κενόν, τὰ δ' ἄλλα οὔ, καὶ τὴν γῆν κάτω, ὅτι τὸ πλῆρες ἔχει, καὶ τὸν ἀέρα [r]εἰς τὸν αὐτοῦ καὶ ἀνώτερον τοῦ ὕδατος, ὅτι τοδί τι ἔχει, καὶ τὸ ὕδωρ κάτω, ὅτι [s]τοιόνδε [t]τι. Εἰ [v]δὲ [w]ἦν ἕν τι ἄμφω ἢ δύο, ἄμφω δ' ὑπάρξει [x]ταῦτα ἑκατέρῳ, ἔσται τι πλῆθος [y]ἑκατέρου [z]οὗ ὑπερέξει [a]ὕδωρ τε ἀέρος ὀλίγου τῷ ἄνω καὶ [b]ἀὴρ ὕδατος τῷ κάτω, καθάπερ εἴρηται πολλάκις.

6 Τὰ δὲ σχήματα οὐκ αἴτια τοῦ φέρεσθαι ἁπλῶς ἢ κάτω ἢ ἄνω, ἀλλὰ τοῦ θᾶττον ἢ βραδύτερον. Διὸ ἃς [c]δ'

[s] πλῆρες F. [t] τε om. E.L. [v] τε] τι E. [w] καὶ om. E. [x] καὶ om. corr. F. [y] τι] τὸ E. [z] ἔστι E.L. [a] τὸ] ὃ F.H.M, om. E. [b] δὲ F.M. [c] ἔσται ἕνια F. [d] τῷ om. F.H.M. [e] οὐδὲν M, οὐθὲν F.H. [f] ποιήσῃ F. [g] ὑπερέχον F.H.M. [h] μεταξὺ καὶ πῶς M. [i] εἶναι] τὸ E. [k] οὖν κενὸν τὸ (λέγουσι posito supra τὸ) πῦρ F. [l] διὸ καὶ ἄνω om. M, καὶ om. E.L. [m] καὶ om. E.F. [n] πλείω M. [o] πλείω γῆν F.H.M. [p] φέρεσθαι θᾶττον F.H.M. [q] τὸ post καὶ om. E.L. [r] εἰς τὸν] εἰς τὴν E.M. [s] τοιόνδε] τοδί F. [t] τι om. F.H.M. [v] δὲ] δέ γε F. [w] ἦν] ἢ L. [x] ταῦτα] τὰ δύο E. et pr. F. ταῦτα—ὑπερέξει om. L. [y] ἑκατέρῳ F. [z] ᾧ F, ὃ E.H.M. [a] ὕδωρ πολύ τε margo H. [b] ἀὴρ πολὺς ὕδατος idem. [c] δ' om. F.

αἰτίας, οὐ χαλεπὸν ἰδεῖν· ἀπορεῖται γὰρ νῦν διὰ [d]τί τὰ πλατέα σιδήρια [e]καὶ [f]μόλιβδος ἐπιπλεῖ ἐπὶ τοῦ ὕδατος, ἄλλα δὲ ἐλάττω καὶ [g]ἧττον βαρέα, [h]ἂν ᾖ στρογγύλα [i]ᾖ [k]μακρά, οἷον βελόνη, κάτω φέρεται, καὶ ὅτι ἔνια διὰ [l]μικρότητα ἐπιπλεῖ, οἷον τὸ ψῆγμα καὶ ἄλλα γεώδη καὶ κονιορτώδη [m]ἐπὶ τοῦ ἀέρος. Περὶ δὴ τούτων ἁπάντων τὸ μὲν νομίζειν αἴτιον εἶναι ὥσπερ Δημόκριτος οὐκ ὀρθῶς ἔχει. [n]Ἐκεῖνος γάρ φησι [o]τὰ ἄνω φερόμενα θερμὰ ἐκ τοῦ ὕδατος [p]ἀνακωχεύειν τὰ πλατέα τῶν ἐχόντων βάρος, τὰ δὲ στενὰ διαπίπτειν· ὀλίγα γὰρ εἶναι τὰ [q]ἀντικρούοντα αὐτοῖς. [r]Ἔδει δ' ἐν τῷ ἀέρι [r]ἔτι μᾶλλον τοῦτο ποιεῖν, ὥσπερ ἐνίσταται [s]κἀκεῖνος αὐτός. [t]Ἀλλ' ἐνστὰς λύει μαλακῶς· φησὶ γὰρ οὐκ εἰς ἓν 3
ὁρμᾶν τὸν σοῦν, [t]λέγων [v]σοῦν τὴν κίνησιν τῶν ἄνω φερομένων σωμάτων. [t]Ἐπεὶ δ' ἐστὶ τὰ μὲν εὐδιαίρετα τῶν συνεχῶν τὰ δ' ἧττον, καὶ διαιρετικὰ [w]δὲ τὸν αὐτὸν τρόπον τὰ μὲν μᾶλλον τὰ δ' ἧττον, ταύτας εἶναι νομιστέον αἰτίας. Εὐδιαίρετον μὲν οὖν τὸ εὐόριστον, καὶ μᾶλλον τὸ μᾶλλον· ἀὴρ δὲ μᾶλλον ὕδατος τοιοῦτον, [x]ὕδωρ δὲ γῆς. Καὶ τὸ ἔλαττον 4
δὴ ἐν ἑκάστῳ γένει εὐδιαιρετώτερον καὶ διασπᾶται ῥᾷον. Τὰ μὲν οὖν ἔχοντα πλάτος διὰ τὸ πολὺ περιλαμβάνειν [y]ἐπιμένει, διὰ τὸ μὴ διασπᾶσθαι τὸ πλεῖον ῥᾳδίως· τὰ δ' ἐναντίως ἔχοντα τοῖς σχήμασι [z]διὰ τὸ ὀλίγον περιλαμβάνειν φέρεται κάτω, διὰ τὸ διαιρεῖν ῥᾳδίως. Καὶ ἐν ἀέρι πολὺ μᾶλλον, ὅσῳ [a]εὐδιαιρετώτερος ὕδατός ἐστιν. [t]Ἐπεὶ δὲ τό [b]τε βάρος 5
ἔχει τινὰ ἰσχὺν καθ' ἣν φέρεται κάτω, καὶ τὰ συνεχῆ πρὸς τὸ [c]μὴ διασπᾶσθαι, ταῦτα δεῖ πρὸς ἄλληλα συμβάλλειν· ἐὰν γὰρ [d]ὑπερβάλλῃ ἡ ἰσχὺς ἡ τοῦ βάρους τῆς ἐν τῷ συνεχεῖ πρὸς τὴν [e]διάσπασιν [f]καὶ διαίρεσιν, βιάσεται κάτω θᾶτ-

[d] τί] τε M. [e] καὶ] καὶ ὁ F. [f] μόλυβδος H. [g] ἧττω L. [h] ἐὰν F.M. [i] ᾖ] ἢ καὶ F.H. [k] μικρὰ E.F.H. [l] σμικρότητα F. [m] ἐπὶ] καὶ ἐπὶ M. [n] κεῖνος E. [o] τὰ ἀναφερόμενα E.L.M. [p] ἀνακωχεύει M. [q] ἀντικρουόμενα F.H. [r] τοῦτο μᾶλλον ποιεῖν ἔτι H, ἔτι τοῦτο μ. π. E.L. [s] ἐκεῖνος F.H. [t] λέγω M. [v] σοῦν] τὸν σοῦν F.H.M, om. E. [w] δὲ] δὴ E.L. [x] γῆς δὲ ὕδωρ H. [y] ἐπιμένει—περιλαμβάνειν om. L. [z] διὰ τὸ post κάτω om. E. [a] εὐδιαιρετώτερον M. [b] τε om. E.H.L. [c] μὴ om. E H.L. [d] ὑπερβάλῃ L. [e] διάστασιν M. [f] καὶ τὴν δ. F.H.M.

τον, ἐὰν δὲ ἀσθενεστέρα ᾖ, ἐπιπολάσει. Περὶ μὲν οὖν βαρέος καὶ κούφου καὶ τῶν περὶ αὐτὰ [g] συμβεβηκότων [h] διωρίσθω [i] τοῦτον ἡμῖν τὸν [k] τρόπον.

[g] συμβαινόντων M. [h] ἀφωρίσθω E.F. [i] τοῦτον ἡμῖν] ἡμῖν τόνδε M. [k] τρόπον. περὶ δὲ γενέσεως καὶ φθορᾶς τῶν φύσει γινομένων L et, qui γενόμενον, E.

ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΚΑΙ ΦΘΟΡΑΣ Α.

ΠΕΡΙ [a] δὲ γενέσεως καὶ φθορᾶς τῶν φύσει γινομένων καὶ φθειρομένων, ὁμοίως κατὰ πάντων, τάς τε αἰτίας διαιρετέον καὶ τοὺς λόγους [b] αὐτῶν, ἔτι δὲ περὶ αὐξήσεως καὶ ἀλλοιώσεως, τί ἑκάτερον, καὶ πότερον τὴν αὐτὴν ὑπολητπέον [c] φύσιν εἶναι ἀλλοιώσεως καὶ γενέσεως, ἢ χωρίς, [d] ὥσπερ διώρισται καὶ τοῖς ὀνόμασιν. Τῶν μὲν οὖν ἀρχαίων οἱ [e] μὲν τὴν καλουμένην ἁπλῆν γένεσιν ἀλλοίωσιν εἶναί φασιν, οἱ δ' ἕτερον ἀλλοίωσιν καὶ γένεσιν. [v]Ὅσοι μὲν γὰρ ἕν τι τὸ πᾶν [f] λέ- 2
γουσιν εἶναι καὶ πάντα ἐξ ἑνὸς [g] γεννῶσιν, τούτοις [h] μὲν ἀνάγκη [i] τὴν γένεσιν ἀλλοίωσιν φάναι καὶ τὸ κυρίως [k] γιγνόμενον ἀλλοιοῦσθαι· ὅσοι δὲ πλείω τὴν ὕλην ἑνὸς τιθέασιν, οἷον [l] Ἐμπεδοκλῆς καὶ [t] Ἀναξαγόρας καὶ Λεύκιππος, τούτοις [l] δὲ ἕτερον. Καίτοι [t] Ἀναξαγόρας [m] γε τὴν οἰκείαν φωνὴν ἠγνόησεν· λέγει γοῦν ὡς τὸ γίγνεσθαι [n] καὶ ἀπόλλυσθαι [o] ταὐτὸν καθέστηκε τῷ ἀλλοιοῦσθαι. Πολλὰ δὲ λέγει τὰ στοιχεῖα, 3
καθάπερ καὶ ἕτεροι. [t]Ἐμπεδοκλῆς [p] μὲν γὰρ τὰ μὲν σωματικὰ [q] τέτταρα, τὰ δὲ πάντα μετὰ τῶν κινούντων ἓξ τὸν ἀριθμόν, [t]Ἀναξαγόρας δὲ ἄπειρα καὶ Λεύκιππος καὶ Δημόκριτος. [r]Ὁ μὲν γὰρ τὰ ὁμοιομερῆ στοιχεῖα τίθησιν, [r] οἷον 4
ὀστοῦν [s] καὶ σάρκα [t] καὶ [v] μυελόν, [w] καὶ τῶν ἄλλων ὧν [x] ἑκάστου [y] συνώνυμον τὸ μέρος ἐστίν· Δημόκριτος δὲ καὶ Λεύκιπ-

Codices E.F.H.L. [a] δὲ om. E. [b] αὐτῶν διοριστέον ἔτι F. [c] εἶναι φύσιν F.H. [d] ὥσπερ καὶ ὥρισται E. [e] μὲν οὖν τὴν E. [f] εἶναι λέγουσι F.H. [g] γεννῶσι] γεγονέναι H. [h] μὲν] μὲν δὴ F, om. H. [i] ἀλλοίωσιν τὴν γένεσιν H. [k] γιγνόμενον καὶ ἀλλ. F. [l] δὲ om. F.H.L. [m] γε om. F.H. [n] καὶ τὸ ἀπ. F. [o] ταὐτὸ F.L. [p] μὲν om. H.L. [q] τέσσαρα H. [r] οἷον om. H. [s] καὶ om. E.F. [t] καὶ om. E. [v] μυελὸν καὶ ξύλον καὶ H. [w] καὶ τῶν] τῶν δὲ E. [x] ἑκάστῳ E. [y] συνωνύμως τὸ μέρος κατηγορεῖται L, τὸ μέρος συνώνυμόν ἐστι H.

πος ἐκ σωμάτων ἀδιαιρέτων [z] τἆλλα συγκεῖσθαί φασι, ταῦτα δ' ἄπειρα καὶ τὸ πλῆθος [a] εἶναι καὶ τὰς μορφάς, αὐτὰ δὲ πρὸς αὐτὰ [b] διαφέρειν τούτοις ἐξ ὧν εἰσὶ καὶ θέσει καὶ τάξει τού-
5 των. [1]Εναντίως [c] δὲ φαίνονται λέγοντες οἱ [d] περὶ [1]Αναξαγόραν τοῖς περὶ [1]Εμπεδοκλέα· ὁ μὲν γάρ φησι πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν στοιχεῖα [e] τέσσαρα καὶ ἁπλᾶ εἶναι μᾶλλον ἢ σάρκα καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα τῶν [f] ὁμοιομερῶν, οἱ δὲ ταῦτα μὲν ἁπλᾶ καὶ στοιχεῖα, [g] γῆν δὲ καὶ πῦρ [h] καὶ ὕδωρ καὶ
6 ἀέρα σύνθετα· πανσπερμίαν γὰρ εἶναι τούτων. Τοῖς μὲν οὖν ἐξ ἑνὸς πάντα κατασκευάζουσιν ἀναγκαῖον λέγειν τὴν γένεσιν καὶ τὴν φθορὰν ἀλλοίωσιν· ἀεὶ γὰρ μένειν τὸ ὑποκείμενον ταὐτὸ καὶ ἕν· τὸ [i] δὲ τοιοῦτον ἀλλοιοῦσθαί φαμεν· τοῖς δὲ τὰ γένη πλείω ποιοῦσι διαφέρειν τὴν ἀλλοίωσιν τῆς γενέσεως· συνιόντων γὰρ καὶ διαλυομένων ἡ γένεσις συμβαίνει
7 καὶ ἡ φθορά. Διὸ [k] λέγει τοῦτον τὸν τρόπον καὶ [1]Εμπεδοκλῆς, ὅτι

φύσις οὐδενός ἐστιν,
ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων.

ὅτι μὲν οὖν οἰκεῖος ὁ λόγος αὐτῶν τῇ ὑποθέσει οὕτω φάναι, δῆλον, καὶ [l] ὅτι λέγουσι τὸν τρόπον τοῦτον· ἀναγκαῖον δὲ καὶ τούτοις τὴν ἀλλοίωσιν εἶναι μέν [m] τι φάναι παρὰ τὴν γένεσιν, ἀδύνατον μέντοι κατὰ τὰ [n] ὑπ' ἐκείνων λεγόμενα.
8 Τοῦτο δ' ὅτι λέγομεν ὀρθῶς, ῥᾴδιον συνιδεῖν. [v]Ωσπερ γὰρ ὁρῶμεν ἠρεμούσης τῆς οὐσίας ἐν αὐτῇ μεταβολὴν κατὰ μέγεθος, τὴν καλουμένην αὔξησιν καὶ φθίσιν, οὕτω καὶ ἀλλοίωσιν. Οὐ μὴν ἀλλ' ἐξ ὧν λέγουσιν οἱ πλείους ἀρχὰς [o] ποιοῦντες
9 μιᾶς ἀδύνατον ἀλλοιοῦσθαι. Τὰ γὰρ πάθη, καθ' ἃ φαμεν τοῦτο συμβαίνειν, διαφοραὶ τῶν στοιχείων εἰσίν, λέγω δ' οἷον θέρμον ψυχρόν, [p] λευκὸν μέλαν, ξηρὸν ὑγρόν, [q] μαλακὸν

[z] τἆλλα] ταῦτα F. [a] καὶ τὰς μορφὰς εἶναι F. [b] διαφέρει F. [c] δὲ] γὰρ E. [d] περὶ τὸν ἀν. F. [e] εἶναι τέσσαρα καὶ ἁπλᾶ μᾶλλον εἶναι ἢ F. [f] ὁμοιομερῶν] μερῶν F. [g] γῆν—ὕδωρ] πῦρ δὲ καὶ ὕδωρ pr. E. [h] καὶ post πῦρ om. F. [i] δὲ ante τοιοῦτον om. E. [k] λέγει καὶ τ. L. [l] ὅτι καὶ E. [m] τοι F. [n] ὑπ' ἐκείνων corr. E. [o] ποιοῦνται L. [p] λευκὸν] καὶ H. [q] σκληρὸν μαλακὸν L.

σκληρὸν καὶ τῶν ἄλλων ἕκαστον, ὥσπερ [r] καὶ φησὶν [t]Ἐμπεδοκλῆς

ἠέλιον μὲν λευκὸν [s]ὁρᾶν καὶ θερμὸν ἁπάντῃ,
ὄμβρον δ' ἐν πᾶσιν [t]δνοφόεντά τε ῥιγαλέον τε.

ὁμοίως δὲ διορίζει καὶ [v]ἐπὶ τῶν λοιπῶν. [w]Ὥστ' εἰ μὴ δυνα- 10
τὸν ἐκ πυρὸς [w]γενέσθαι ὕδωρ μηδ' ἐξ ὕδατος γῆν, οὐδ' ἐκ λευκοῦ μέλαν ἔσται οὐδὲν οὐδ' ἐκ μαλακοῦ σκληρόν· ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἄλλων. Τοῦτο δ' ἦν [x]ἀλλοίωσις. [y]‡Ηι καὶ φανερὸν ὅτι [z]μίαν ἀεὶ τοῖς ἐναντίοις ὑποθετέον ὕλην, ἄν τε μεταβάλλῃ κατὰ τόπον, [a]ἄν τε κατ' αὔξησιν καὶ φθίσιν, ἄν τε κατ' ἀλλοίωσιν. [y]Ἔτι δ' ὁμοίως ἀναγκαῖον 11
εἶναι τοῦτο καὶ ἀλλοίωσιν· εἴτε γὰρ ἀλλοίωσίς ἐστι, καὶ τὸ ὑποκείμενον ἓν στοιχεῖον καὶ μία [b]ἡ πάντων ὕλη τῶν ἐχόντων εἰς ἄλληλα μεταβολήν, κἂν εἰ τὸ ὑποκείμενον ἕν, ἔστιν ἀλλοίωσις. [t]Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐναντία λέγειν καὶ 12
πρὸς τὰ φαινόμενα καὶ πρὸς [c]αὐτὸν [d]αὐτός. [v]Αμα μὲν γὰρ οὔ φησιν ἕτερον ἐξ ἑτέρου γίνεσθαι τῶν στοιχείων οὐδέν, ἀλλὰ τἆλλα πάντα ἐκ τούτων, ἅμα δ' ὅταν εἰς ἓν συναγάγῃ τὴν ἅπασαν φύσιν πλὴν τοῦ νείκους, ἐκ τοῦ ἑνὸς γίγνεσθαι πάλιν ἕκαστον. [v]Ὥστ' ἐξ ἑνός τινος δῆλον ὅτι δια- 13
φοραῖς τισὶ χωριζομένων καὶ πάθεσιν ἐγένετο τὸ μὲν ὕδωρ τὸ δὲ πῦρ, καθάπερ λέγει τὸν μὲν ἥλιον λευκὸν καὶ θερμόν, τὴν δὲ γῆν βαρὺ καὶ σκληρόν. [t]Αφαιρουμένων οὖν τούτων τῶν διαφορῶν (εἰσὶ γὰρ ἀφαιρεταὶ γενόμεναί γε) δῆλον [e]ὡς [f]ἀνάγκη γίνεσθαι καὶ γῆν ἐξ ὕδατος καὶ ὕδωρ ἐκ γῆς, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον, οὐ τότε μόνον ἀλλὰ καὶ νῦν, μεταβάλλοντά γε τοῖς πάθεσιν. [y]Εστι δ' ἐξ ὧν εἴρηκε δυνά- 14
μενα προσγίνεσθαι καὶ χωρίζεσθαι πάλιν, ἄλλως τε καὶ μαχομένων ἀλλήλοις ἔτι τοῦ νείκους καὶ τῆς φιλίας. Διόπερ καὶ τότε ἐξ ἑνὸς [g]ἐγεννήθησαν· οὐ γὰρ δὴ πῦρ [h]γε καὶ γῆ

[r] φησὶ καὶ F. [s] ὅρα E.L. [t] ζοφόεντά H.L. [v] ἐπὶ] περὶ F.H. [w] γίνεσθαι F.H. [x] ἀλλοίωσιν E. [y] ἡ E.H.L. [z] μίαν ὑποθετέον εἶναι τοῖς ἐναντίοις H, μίαν ἀεὶ εντιοις ὑποθετέον E. [a] ἄν τε κατ' αὔξ. καὶ φθ. om. E. [b] ἡ om. E. [c] ἑαυτὸν F. [d] αὐτὸς om. E. [e] ὡς om. E. [f] ἀναγκαῖον H. [g] ἐγενήθησαν F.H.L. [h] γε om F.

καὶ ὕδωρ [i] ἔτι ὄντα ἓν ἦν τὸ πᾶν. [j] Ἄδηλον δὲ καὶ πότερον ἀρχὴν [k] αὐτῶν θετέον [l] τὸ ἓν ἢ τὰ πολλά, λέγω δὲ πῦρ [m] καὶ γῆν καὶ τὰ σύστοιχα τούτων. [n] Ἡι μὲν γὰρ ὡς ὕλη ὑπόκειται, ἐξ οὗ [o] μεταβάλλοντα διὰ τὴν κίνησιν γίνονται γῆ καὶ πῦρ, τὸ ἓν στοιχεῖον· ἢ δὲ τοῦτο μὲν ἐκ συνθέσεως [p] γίγνεται συνιόντων ἐκείνων, ἐκεῖνα δ' ἐκ διαλύσεως, [q] στοιχειωδέστερα ἐκεῖνα καὶ πρότερα τὴν φύσιν.

2 [r] Ὅλως τε δὴ περὶ γενέσεως καὶ φθορᾶς τῆς ἁπλῆς λεκτέον, πότερον ἔστιν ἢ οὐκ ἔστι καὶ πῶς ἐστίν, καὶ περὶ [r] τῶν ἄλλων ἁπλῶν κινήσεων, [s] οἷον περὶ αὐξήσεως καὶ ἀλλοιώσεως. 2 Πλάτων μὲν οὖν [t] μόνον περὶ γενέσεως [v] ἐσκέψατο καὶ φθορᾶς, [w] ὅπως ὑπάρχει τοῖς πράγμασι, καὶ περὶ γενέσεως οὐ πάσης ἀλλὰ τῆς [x] τῶν στοιχείων· πῶς δὲ σάρκες ἢ ὀστᾶ ἢ τῶν ἄλλων τι τῶν τοιούτων, [y] οὐδέν· ἔτι [z] οὔτε περὶ ἀλλοιώσεως [a] οὔτε περὶ αὐξήσεως, τίνα τρόπον [b] ὑπάρχουσι τοῖς πράγμασιν. [v] Ὅλως δὲ παρὰ τὰ ἐπιπολῆς περὶ οὐδενὸς οὐ- 3 δεὶς ἐπέστησεν ἔξω Δημοκρίτου. Οὗτος [c] δ' ἔοικε μὲν περὶ ἁπάντων φροντίσαι, ἤδη δὲ ἐν τῷ πῶς [d] διαφέρει. Οὔτε γὰρ περὶ αὐξήσεως οὐδεὶς [e] οὐδὲν [f] διώρισεν, ὥσπερ λέγομεν, ὅ τι [g] μὴ κἂν ὁ τυχὼν εἴπειεν, ὅτι προσιόντος αὐξάνονται τῷ ὁμοίῳ (πῶς δὲ τοῦτο, οὐκέτι), οὐδὲ περὶ μίξεως, οὐδὲ περὶ τῶν ἄλλων ὡς εἰπεῖν οὐδενός, οἷον τοῦ ποιεῖν [h] καὶ τοῦ πάσχειν, τίνα τρόπον τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει τὰς φυσικὰς 4 ποιήσεις. Δημόκριτος δὲ καὶ Λεύκιππος ποιήσαντες τὰ σχήματα τὴν ἀλλοίωσιν καὶ τὴν γένεσιν ἐκ τούτων ποιοῦσι, διακρίσει μὲν καὶ συγκρίσει γένεσιν καὶ φθοράν, τάξει δὲ καὶ 5 θέσει ἀλλοίωσιν. [d] Ἐπεὶ δ' ᾤοντο ταληθὲς ἐν τῷ φαίνεσθαι,

[i] ἔτι om. E.F. [k] αὐτῷ E. [l] τὰ πολλὰ ἢ τὸ ἕν F. [m] καὶ om. F. [n] γίνεται F. [o] πῦρ καὶ γῆ F.L, γῆ καὶ τὸ ὕδωρ E. [p] γίγνονται E. [q] στοιχ. τὰ τέτταρα ἐκεῖνα F. [r] τὰς ἄλλας ἁπλᾶς κινήσεις E.F.L, et omisso ἁπλᾶς H. [s] οἷον καὶ π. H. [t] μόνον om. F.H. [v] καὶ φθ. ἐσκέψατο L. [w] πῶς H. [x] τῶν πάντων στ. F. [y] οὐδαμῶς H. [z] οὐδὲ H, om. E, qui περὶ αὐξήσεως οὐδὲ ἀλλοιώσεως. [a] οὐδὲ H, οὔτε δὲ F. [b] ὑπάρξουσι E. [c] δὲ δοκεῖ H. [d] διαφέρειν E. [e] οὐδὲν] οὐδὲ H. [f] διώρικεν E. [g] κἂν ὁ μὴ E. [h] καὶ] ἢ τοῦ F.H.L.

ἐναντία δὲ καὶ ἄπειρα τὰ φαινόμενα, τὰ σχήματα ἄπειρα ἐποίησαν, ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου τὸ αὐτὸ ἐναντίον [i] δοκεῖν ἄλλῳ [k] καὶ ἄλλῳ, καὶ μετακινεῖσθαι μικροῦ [l] ἐμμιγνυμένου, καὶ ὅλως ἕτερον φαίνεσθαι ἐνὸς μετακινηθέντος· ἐκ τῶν αὐτῶν γὰρ [m] τραγῳδία καὶ κωμῳδία [n] γίνεται γραμμάτων. [o] Ἐπεὶ δὲ δοκεῖ [p] σχεδὸν πᾶσιν ἕτερον εἶναι γένεσις καὶ ἀλλοίωσις, [q] καὶ γίνεσθαι μὲν καὶ φθείρεσθαι συγκρινόμενα καὶ διακρινόμενα, ἀλλοιοῦσθαι δὲ μεταβαλλόντων τῶν παθημάτων, περὶ τούτων ἐπιστήσασι θεωρητέον. [1] Ἀπορίας γὰρ ἔχει ταῦτα καὶ πολλὰς καὶ εὐλόγους. Εἰ μὲν γάρ ἐστι σύγκρισις ἡ γένεσις, πολλὰ ἀδύνατα συμβαίνει· εἰσὶ δ' αὖ [r] λόγοι ἕτεροι ἀναγκαστικοὶ [s] καὶ οὐκ εὔποροι διαλύειν ὡς οὐκ ἐνδέχεται ἄλλως ἔχειν. Εἴτε μή ἐστι σύγκρι- 7
σις ἡ γένεσις, ἢ ὅλως οὐκ ἔστι γένεσις [t] ἢ ἀλλοίωσις, ἢ [v] εἰ καὶ τοῦτο διαλῦσαι χαλεπὸν [w] ὂν πειρατέον. [2] Ἀρχὴ δὲ τούτων [x] πάντων, πότερον [y] οὕτω γίνεται καὶ ἀλλοιοῦται καὶ αὐξάνεται τὰ ὄντα καὶ τἀναντία τούτοις πάσχει, τῶν πρώτων ὑπαρχόντων μεγεθῶν ἀδιαιρέτων, ἢ οὐθέν ἐστι μέγεθος ἀδιαίρετον· διαφέρει γὰρ τοῦτο πλεῖστον. Καὶ πάλιν εἰ μεγέθη, 8
πότερον, ὡς Δημόκριτος καὶ Λεύκιππος, σώματα [z] ταῦτ' ἐστίν, ἢ ὥσπερ ἐν τῷ Τιμαίῳ, ἐπίπεδα. Τοῦτο μὲν οὖν [a] αὐτό, καθάπερ [b] καὶ ἐν ἄλλοις εἰρήκαμεν, [c] ἄλογον μέχρι ἐπιπέδων διαλῦσαι. Διὸ μᾶλλον εὔλογον σώματα εἶναι ἀδιαίρετα. [3] Ἀλλὰ καὶ ταῦτα πολλὴν ἔχει ἀλογίαν. [d] Ὁμως 9
δὲ [e] τούτοις ἀλλοίωσιν καὶ γένεσιν ἐνδέχεται ποιεῖν, [f] καθάπερ εἴρηται, τροπῇ καὶ [g] διαθιγῇ μετακινοῦντα τὸ αὐτὸ καὶ ταῖς τῶν σχημάτων διαφοραῖς, ὅπερ ποιεῖ Δημόκριτος. Διὸ καὶ [h] χροιὰν οὔ [i] φησιν εἶναι· τροπῇ γὰρ χρωματίζεσθαι.

[i] δοκεῖ E. [k] καὶ ἄλλῳ om. L. [l] ἐγγινομένου F. [m] κωμωδία καὶ τραγωδία F. [n] γίνεται om. L. [o] ἐπεὶ δὲ] ἔτι E. [p] πᾶσι σχεδὸν F.L. [q] καὶ γίνεσθαι μὲν] γίνεσθαι μὲν γὰρ F.H. [r] ἕτεροι λόγοι H. [s] καὶ οὐκ εὔπ. διαλ. post ἔχειν H. [t] ἢ ἀλλ.] καὶ ἀλλ. E. [v] εἰ om. E.H. [w] ὂν] ὃ H, om. E. [x] ἁπάντων F.L. [y] οὕτω] ἆρα H. [z] ταῦτ' ἐστὶν om. H. [a] αὐτὸ om. L. [b] καὶ om. F. [c] ἄτοπον F. [d] ὁμοίως E. [e] τούτων F. [f] καθάπερ εἴρηται om. E.L. [g] διαθιγῇ E.F.L. [h] χροιὴν F.H. [i] φασιν F.

Τοῖς δ' εἰς ἐπίπεδα διαιροῦσιν οὐκέτι· οὐδὲν γὰρ γίνεται πλὴν στερεὰ [k] συντιθεμένων· πάθος γὰρ οὐδ' [l] ἐγχειροῦσι γεννᾶν
10 οὐδὲν ἐξ αὐτῶν. Αἴτιον δὲ τοῦ ἐπ' ἔλαττον δύνασθαι τὰ ὁμολογούμενα συνορᾶν ἡ ἀπειρία. Διὸ ὅσοι [m] ἐνῴκήκασι μᾶλλον ἐν τοῖς φυσικοῖς, μᾶλλον δύνανται [n] ὑποτίθεσθαι τοιαύτας ἀρχὰς [o] αἳ [p] ἐπὶ πολὺ δύνανται συνείρειν· οἱ δ' ἐκ τῶν
[q] πολλῶν λόγων ἀθεώρητοι τῶν ὑπαρχόντων ὄντες, πρὸς
11 ὀλίγα βλέψαντες, [r] ἀποφαίνονται ῥᾷον. [s] Ἰδοι δ' ἄν τις καὶ ἐκ τούτων [s] ὅσον διαφέρουσιν οἱ φυσικῶς καὶ λογικῶς σκοποῦντες· περὶ γὰρ τοῦ ἄτομα [t] εἶναι μεγέθη οἱ μέν φασιν [v] ὅτι [w] τὸ αὐτοτρίγωνον πολλὰ ἔσται, Δημόκριτος δ' ἂν φανείη [x] οἰκείοις καὶ φυσικοῖς λόγοις πεπεῖσθαι. Δῆλον δ' ἔσται ὃ λέγομεν προϊοῦσιν. [u] Ἔχει [y] γὰρ ἀπορίαν, εἴ τις
[z] θείη σῶμά τι εἶναι καὶ μέγεθος πάντῃ διαιρετόν, [a] καὶ τοῦτο
12 δυνατόν. Τί γὰρ ἔσται [b] ὅπερ τὴν διαίρεσιν [c] διαφεύγει; Εἰ γὰρ πάντῃ διαιρετόν, καὶ τοῦτο δυνατόν, [d] κἂν ἅμα εἴη τοῦτο [e] πάντῃ διῃρημένον, καὶ εἰ μὴ [f] ἅμα διῄρηται· κἂν εἰ τοῦτο [g] γένοιτο, οὐδὲν ἂν εἴη ἀδύνατον. Οὐκοῦν καὶ κατὰ [h] τὸ μέσον ὡσαύτως. Καὶ ὅλως δὲ εἰ πάντῃ πέφυκε διαιρετόν, [i] κἂν [k] διαιρεθῇ, οὐδὲν ἔσται ἀδύνατον γεγονός, ἐπεὶ οὐδ' ἂν [l] εἰς [m] μυρία μυριάκις διῃρημένα ᾖ, οὐδὲν ἀδύνατον· καίτοι
13 ἴσως οὐδεὶς ἂν διέλοι. [t] Ἐπεὶ τοίνυν πάντῃ τοιοῦτόν ἐστι τὸ σῶμα, διῃρήσθω. Τί οὖν ἔσται λοιπόν; μέγεθος; Οὐ γὰρ οἷόν τε· ἔσται γάρ τι οὐ διῃρημένον, ἦν δὲ πάντῃ διαιρετόν. [u] Ἀλλὰ μὴν εἰ μηδὲν ἔσται σῶμα μηδὲ μέγεθος, διαίρεσις δ' ἔσται, ἢ ἐκ στιγμῶν ἔσται, καὶ ἀμεγέθη ἐξ ὧν σύγκειται, ἢ οὐδὲν παντάπασιν, ὥστε κἂν γίνοιτο ἐκ μηδενὸς κἂν εἴη συγ-

[k] *συντιθεμένων*] *συντιθεμένων κατὰ πλάτος* L. et margo F. [l] *ἐγχωροῦσι* F.L. [m] *συνῳκήκασι* L. [n] *ὑποτ. τὰς τοιαύτας* F. [o] *αἷς* F. et rc. E: pr. enim om. [p] *ἐπὶ* om. F. [q] *ἄλλων* H. [r] *ἀπεκρίναντο* L. [s] *ὅσῳ* F, *ὅσων* E. [t] *εἶναι τὰ μ.* E. [v] *διότι* F.H.L. [w] *τὸ αὐτὸ τὸ τρίγωνον* E. [x] *οἰκείοις*] *ἐκλόγῳ* H. [y] *γὰρ*] *δὲ* H. [z] *θείη*] *φήσει* E. [a] *καὶ τοῦτο δυνατόν* om. E. [b] *ὅπερ*] *παρὰ* E. [c] *διαφεύγειν* E. [d] *κἂν*] *καὶ* E. [e] *πάντῃ* om. E.H.L. [f] *ἅμα τοῦτο διήρ.* F.L. [g] *γένηται* F.H. [h] *τὸ* om. E. [i] *ἂν* E.H. [k] *διαιρεθείη* F. [l] *εἰς* om. E.F. [m] *μυρία* om. E. et corr. F.

κείμενον καὶ τὸ πᾶν δὴ οὐδὲν ἀλλ' [n] ἢ φαινόμενον. [t]Ομοίως 14
δὲ κἂν [o] ᾖ ἐκ στιγμῶν, οὐκ [p] ἔσται ποσόν. [t]Οπότε γὰρ
ἥπτοντο [q] καὶ ἓν ἦν μέγεθος καὶ ἅμα ἦσαν, οὐδὲν ἐποίουν
μεῖζον τὸ πᾶν. Διαιρεθέντος γὰρ εἰς δύο καὶ [r] πλείω, οὐδὲν
ἔλαττον οὐδὲ μεῖζον τὸ πᾶν τοῦ [s] πρότερον, ὥστε κἂν πᾶσαι
συντεθῶσιν, οὐδὲν [t] ποιήσουσι μέγεθος. [t]Αλλὰ μὴν καὶ εἴ τι 15
διαιρουμένου οἷον ἔκπρισμα γίνεται τοῦ σώματος, καὶ οὕτως
ἐκ [v] τοῦ μεγέθους σῶμά τι ἀπέρχεται, ὁ αὐτὸς λόγος, [w] ἐκεῖνο
πῶς διαιρετόν. Εἰ δὲ μὴ σῶμα ἀλλ' εἶδός τι χωριστὸν ἢ
πάθος [x] ὃ ἀπῆλθεν, καὶ ἔστι τὸ μέγεθος στιγμαὶ ἢ ἁφαὶ
τοδὶ παθοῦσαι, [y] ἄτοπον ἐκ μὴ μεγεθῶν μέγεθος εἶναι. [t]Ετι 16
δὲ ποῦ ἔσονται καὶ ἀκίνητοι ἢ κινούμεναι αἱ στιγμαί; [t]Αφή
τε ἀεὶ μία δυοῖν [z] τινῶν, ὡς ὄντος τινὸς παρὰ τὴν ἁφὴν καὶ
τὴν διαίρεσιν καὶ τὴν στιγμήν. Εἰ δή τις [a] θήσεται ὁτιοῦν
[b] ἢ [c] ὁπηλικονοῦν σῶμα εἶναι πάντῃ διαιρετόν, [d] πάντα ταῦτα
συμβαίνει. [t]Ετι [e] ἐὰν διελὼν [f] συνθῶ τὸ ξύλον ἤ τι ἄλλο,
πάλιν ἴσον τε καὶ ἕν. Οὐκοῦν οὕτως ἔχει δηλονότι [g] κἂν 17
τέμω τὸ ξύλον καθ' ὁτιοῦν σημεῖον. Πάντῃ ἄρα διῄρηται
δυνάμει. Τί οὖν ἔστι παρὰ τὴν διαίρεσιν; Εἰ γὰρ καὶ [h] ἔστι
τι πάθος, ἀλλὰ πῶς εἰς ταῦτα διαλύεται καὶ γίνεται ἐκ τού-
των; [u]Η πῶς χωρίζεται ταῦτα; [v]Ωστ' εἴπερ ἀδύνατον ἐξ
[i] ἀφῶν ἢ στιγμῶν εἶναι τὰ μεγέθη, ἀνάγκη εἶναι σώματα
ἀδιαίρετα καὶ μεγέθη. [k] Οὐ μὴν ἀλλὰ καὶ ταῦτα [l] θεμένοις 18
οὐχ ἧττον συμβαίνει [m] ἀδύνατον. [t]Εσκεπται δὲ περὶ αὐτῶν
ἐν ἑτέροις. [t]Αλλὰ ταῦτα πειρατέον λύειν· διὸ πάλιν ἐξ ἀρ-
χῆς [n] τὴν ἀπορίαν λεκτέον. Τὸ μὲν οὖν ἅπαν σῶμα αἰσθητὸν
εἶναι διαιρετὸν καθ' ὁτιοῦν σημεῖον καὶ ἀδιαίρετον οὐδὲν ἄτο-
πον· τὸ μὲν γὰρ δυνάμει [o] διαιρετόν, τὸ δ' ἐντελεχείᾳ ὑπάρ-

[n] ἢ om. H. [o] ᾖ] εἰ H.L. [p] ἔστι L. [q] καὶ ἓν ἦν μέγεθος] ἐν μεγέθει H. [r] πλείους E. [s] προτέρου F. [t] ποιοῦσι F. [v] τοῦ post ἐκ om. F. [w] ἐκεῖνο γὰρ πῶς F. [x] ὃ om. E.L. [y] ἄτοπον μὲν τὸ μὴ ἐκ μεγεθῶν H. [z] τινοῖν F. [a] ὁτιοῦν θήσεται F.L. [b] ἢ om. E.L. [c] ὁπηλίκον E. [d] πάντα om. E.F.H. [e] ἂν E. [f] συνθῶ corr. E. [g] κἂν τέμω om. E. [h] ἔσται H. [i] ἁφῶν ἢ om. F. [k] οὐ μὴν ἀλλὰ] ἀλλὰ μὴν F.H.L. [l] θεμένοις οὐχ ἧττον om. E. [m] ἀδύνατα E.H. [n] λεκτέον τὴν ἀπορίαν H. [o] διαιρετὸν om. F.H.

19 ξει. Τὸ δ' [p] εἶναι ἅμα πάντῃ διαιρετὸν δυνάμει ἀδύνατον δόξειεν ἂν εἶναι. Εἰ γὰρ δυνατόν, κἂν γένοιτο, οὐχ ὥστε εἶναι ἅμα [q] ἄμφω ἐντελεχείᾳ ἀδιαίρετον καὶ διῃρημένον, ἀλλὰ [r] διῃρημένον καθ' ὁτιοῦν σημεῖον. Οὐδὲν ἄρα ἔσται λοιπόν,
20 καὶ εἰς ἀσώματον ἐφθαρμένον τὸ σῶμα. Καὶ [s] γένοιτο δ' ἂν πάλιν ἤτοι [t] ἐκ στιγμῶν ἢ ὅλως ἐξ οὐδενός. Καὶ τοῦτο πῶς δυνατόν; [u] Ἀλλὰ μὴν ὅτι γε [v] διαιρεῖται εἰς χωριστὰ καὶ ἀεὶ εἰς ἐλάττω μεγέθη καὶ εἰς ἀπέχοντα καὶ κεχωρισμένα, φανερόν. Οὔτε δὴ κατὰ μέρος διαιροῦντι εἴη ἂν ἄπειρος ἡ θρύψις, οὔτε ἅμα οἷόν τε διαιρεθῆναι κατὰ πᾶν σημεῖον ([w] οὐ γὰρ
21 δυνατόν) ἀλλὰ μέχρι του. [x] Ἀνάγκη ἄρα ἄτομα ἐνυπάρχειν μεγέθη [y] ἀόρατα, ἄλλως τε καὶ εἴπερ ἔσται γένεσις καὶ φθορὰ ἡ μὲν διακρίσει ἡ δὲ συγκρίσει. [z] Ὁ μὲν οὖν [a] ἀναγκάζειν δοκῶν λόγος εἶναι μεγέθη ἄτομα οὗτος ἐστίν· ὅτι δὲ λανθάνει παραλογιζόμενος, καὶ ᾗ λανθάνει, λέγωμεν. [b] Ἐπεὶ γὰρ οὐκ ἔστι στιγμὴ στιγμῆς ἐχομένη, τὸ πάντῃ εἶναι διαιρετὸν ἔστι
22 [c] μὲν ὡς ὑπάρχει τοῖς μεγέθεσιν, ἔστι δ' ὡς οὔ. Δοκεῖ δ' ὅταν τοῦτο τεθῇ, καὶ ὁπῃοῦν, [d] καὶ πάντῃ στιγμὴν εἶναι, ὥστ' ἀναγκαῖον [e] εἶναι διαιρεθῆναι τὸ μέγεθος εἰς μηδέν· πάντῃ γὰρ εἶναι στιγμήν· ὥστε ἢ ἐξ ἀφῶν ἢ ἐκ στιγμῶν εἶναι. Τὸ δ' ἔστιν ὡς ὑπάρχει πάντῃ, ὅτι μία ὁπῃοῦν ἐστί, καὶ πᾶσαι ὡς ἑκάστη, πλείους δὲ μιᾶς οὐκ εἰσίν· ἐφεξῆς γὰρ οὐκ εἰσίν,
23 ὥστ' οὐ πάντῃ. Εἰ γὰρ κατὰ [f] μέσον διαιρετόν, καὶ [g] κατ' ἐχομένην στιγμὴν ἔσται διαιρετόν· οὐ γάρ ἐστιν ἐχόμενον σημεῖον σημείου ἢ στιγμὴ στιγμῆς. [h] Τοῦτο δ' ἐστὶ διαίρεσις [i] ἢ σύνθεσις. [j] Ὥστ' ἔστι καὶ [k] διάκρισις καὶ σύγκρισις, ἀλλ' οὔτ' εἰς ἄτομα καὶ ἐξ ἀτόμων (πολλὰ γὰρ τὰ [l] ἀδύ-
24 νατα) οὔτε οὕτως [m] ὥστε πάντῃ διαίρεσιν [n] γενέσθαι. Εἰ

[p] ἅμα εἶναι F.H. [q] ἐντελεχείᾳ ἄμφω E.L. [r] διῃρημένον δυνάμει καθ' pr. F. [s] γίγνοιτο F.L. [t] ἐκ τῶν στ. E. [v] διαιρεῖται ἀεὶ εἰς H. [w] οὐ γὰρ] οὐκ ἄρα E. [x] ἀόρατα—ἡ δὲ συγ. rc. supra lituram E. [y] ἀναγκάζειν λόγος δοκῶν H, ἀναγκάζων λόγος F. [z] μὲν om. E. [a] καὶ πάντῃ—ὁπῃοῦν om. L. [b] εἶναι ante διαιρ. om. F. [c] μέσων H. [d] κατ' ἐχομένην corr. E. [e] τοῦτο] τὸ E. [f] ἢ] καὶ H. [g] συγκρίσις καὶ διάκρισις F.H. [h] ἄτοπα H. [i] ὥστε corr. E. [k] γίγνεσθαι L, γείνεσθαι E.

γὰρ ἦν ἐχομένη στιγμὴ στιγμῆς, τοῦτ' [l]ἂν ἦν· ἀλλ' εἰς μικρὰ καὶ ἐλάττω ἐστί, καὶ σύγκρισις ἐξ ἐλαττόνων. Ἀλλ' οὐχ ἡ ἁπλῆ καὶ τελεία γένεσις συγκρίσει καὶ διακρίσει ὥρισται, ὥς τινές φασιν, τὴν δ' ἐν τῷ συνεχεῖ μεταβολὴν ἀλλοίωσιν. Ἀλλὰ τοῦτ' ἐστὶν ἐν ᾧ σφάλλεται πάντα. Ἔστι 25
γὰρ γένεσις ἁπλῆ καὶ φθορὰ οὐ συγκρίσει καὶ διακρίσει, ἀλλ' ὅταν [m]μεταβάλλῃ ἐκ τοῦδε εἰς [n]τόδε ὅλον. Οἱ δὲ οἴονται ἀλλοίωσιν [o]πᾶσαν εἶναι τὴν τοιαύτην μεταβολήν· τὸ δὲ διαφέρει. Ἐν γὰρ τῷ ὑποκειμένῳ [p]τὸ μέν [q]ἐστι κατὰ τὸν λόγον, τὸ δὲ κατὰ τὴν ὕλην. Ὅταν [r]μὲν οὖν ἐν 26
[s]τούτοις ᾖ ἡ μεταβολή, γένεσις [t]ἔσται ἢ φθορά, ὅταν δ' ἐν τοῖς πάθεσι καὶ κατὰ συμβεβηκός, ἀλλοίωσις. Διακρινόμενα δὲ καὶ συγκρινόμενα εὔφθαρτα γίνεται. Ἐὰν [v]μὲν [w]γὰρ εἰς ἐλάττω [x]ὑδάτια διαιρεθῇ, θᾶττον ἀὴρ γίνεται, [y]ἐὰν δὲ συγκριθῇ, βραδύτερον. Μᾶλλον δ' ἔσται δῆλον ἐν τοῖς ὕστερον. Νῦν δὲ τοσοῦτον διωρίσθω, ὅτι ἀδύνατον [z]εἶναι τὴν γένεσιν σύγκρισιν, οἵαν [a]δή τινές φασιν.

Διωρισμένων δὲ τούτων, πρῶτον θεωρητέον πότερον ἔστι 3
[b]τι γινόμενον ἁπλῶς καὶ φθειρόμενον, ἢ κυρίως μὲν οὐδέν, ἀεὶ δ' ἔκ τινος καὶ τί, λέγω δ' [c]οἷον ἐκ κάμνοντος [d]ὑγιαῖνον [e]καὶ κάμνον ἐξ ὑγιαίνοντος, ἢ μικρὸν ἐκ μεγάλου καὶ μέγα ἐκ μικροῦ, καὶ τἆλλα πάντα τοῦτον τὸν τρόπον. Εἰ γὰρ ἁπλῶς ἔσται γένεσις, ἁπλῶς [f]ἂν γίνοιτο ἐκ μὴ ὄντος, ὥστ' ἀληθὲς ἂν εἴη λέγειν ὅτι ὑπάρχει [g]τισὶ τὸ μὴ ὄν. Τὶς 2
μὲν γὰρ γένεσις ἐκ μὴ ὄντος τινός, οἷον [h]ἐκ μὴ λευκοῦ ἢ μὴ καλοῦ, ἡ δὲ ἁπλῆ ἐξ ἁπλῶς μὴ ὄντος. Τὸ δ' ἁπλῶς ἤτοι τὸ πρῶτον [i]σημαίνει καθ' ἑκάστην κατηγορίαν τοῦ ὄντος, ἢ τὸ καθόλου καὶ [k]τὸ πάντα περιέχον. Εἰ μὲν οὖν τὸ πρῶ-

[l] ἂν om. E. [m] μεταβάλῃ ἐκ τοιοῦδε E.L. [n] τόδε] τὸν τοιόνδε E. [o] εἶναι πᾶσαν F.H. [p] τὰ H. [q] ἐστι] ἐστι τόδε E. [r] μὲν om. L. [s] τοις E. [t] ἔσται] ἐστιν E. [v] μὲν om. E. [w] γὰρ om. F. [x] ὕδατα L. et nescio an E. [y] ἐὰν δὲ] καὶ ἐὰν E. [z] τὴν γένεσιν εἶναι E. [a] δή om. H. [b] τι] τὸ L. [c] οἷον om. E. [d] ὑγιαίνοντος E. [e] καὶ κ.] ἢ κ. F.H. [f] ἄν τι γ. E.L. [g] τισὶ om. H. [h] ἢ ἐκ μὴ F. [i] συμβαίνει L. [k] τὸ post καὶ om. F.

3 τον, οὐσίας ἔσται γένεσις ἐκ μὴ οὐσίας. [†]Ωι δὲ μὴ ὑπάρχει οὐσία [l]μηδὲ τόδε, δῆλον ὡς οὐδὲ τῶν ἄλλων οὐδεμία κατηγοριῶν, οἷον οὔτε ποιὸν οὔτε ποσὸν οὔτε τὸ [m]ποῦ· χωριστὰ γὰρ ἂν εἴη τὰ πάθη τῶν οὐσιῶν. Εἰ δέ, τὸ μὴ ὂν ὅλως ἀπόφασις ἔσται καθόλου πάντων, ὥστε ἐκ μηδενὸς ἀνάγκη γί-
4 νεσθαι τὸ γινόμενον. Περὶ μὲν [n]οὖν τούτων ἐν ἄλλοις τε διηπόρηται καὶ διώρισται τοῖς λόγοις ἐπὶ πλεῖον· συντόμως δὲ καὶ νῦν λεκτέον, ὅτι τρόπον μέν τινα ἐκ μὴ ὄντος ἁπλῶς γίνεται, τρόπον δὲ ἄλλον ἐξ ὄντος ἀεὶ· τὸ γὰρ δυνάμει ὂν ἐντελεχείᾳ δὲ μὴ ὂν ἀνάγκη προϋπάρχειν λεγόμενον ἀμ-
5 φοτέρως. [o]Ὁ δὲ καὶ τούτων [o]διωρισμένων ἔχει θαυμαστὴν ἀπορίαν, πάλιν ἐπαναποδιστέον, πῶς ἔστιν ἁπλῆ γένεσις, εἶτ' ἐκ δυνάμει ὄντος [p]οὖσα εἴτε καί πως ἄλλως. [q]Ἀπορήσειε γὰρ ἄν τις ἆρ' ἔστιν οὐσίας γένεσις καὶ τοῦ τοῦδε, ἀλλὰ μὴ [q]τοῦ τοιοῦδε [r]καὶ τοσοῦδε καὶ ποῦ. Τὸν αὐτὸν [s]δὲ τρόπον καὶ
6 περὶ φθορᾶς. [t]Εἰ γάρ τι γίνεται, δῆλον ὡς ἔσται δυνάμει τις οὐσία, ἐντελεχείᾳ δ' οὔ, [v]ἐξ ἧς ἡ γένεσις ἔσται καὶ εἰς ἣν ἀνάγκη μεταβάλλειν [w]τὸ φθειρόμενον. Πότερον οὖν ὑπάρξει τι [x]τούτῳ τῶν ἄλλων ἐντελεχείᾳ; [y]Λέγω δ' [z]οἷον ἆρ' ἔσται ποσὸν ἢ ποιὸν ἢ ποῦ [a]τὸ δυνάμει [b]μόνον τόδε [c]καὶ ὄν, ἁπλῶς
7 [d]δὲ μὴ τόδε μηδ' ὄν; Εἰ γὰρ μηδὲν ἀλλὰ πάντα δυνάμει, χωριστόν τε συμβαίνει τὸ [e]μὴ οὕτως ὄν, καὶ [f]ἔτι ὃ μάλιστα φοβούμενοι διετέλεσαν οἱ πρῶτοι φιλοσοφήσαντες, τὸ ἐκ μηδενὸς [g]γίνεσθαι προϋπάρχοντος· εἰ δὲ τὸ μὲν εἶναι τόδε τι ἢ οὐσίαν οὐχ [h]ὑπάρξει, τῶν δ' ἄλλων τι τῶν εἰρημένων, ἔσται,
8 καθάπερ εἴπομεν, χωριστὰ τὰ πάθη τῶν οὐσιῶν. Περί τε τούτων οὖν ὅσον ἐνδέχεται [i]πραγματευτέον, καὶ τίς αἰτία τοῦ γένεσιν ἀεὶ [k]εἶναι, καὶ τὴν ἁπλῆν καὶ τὴν κατὰ μέρος.

[l] μηδὲ τὸ τόδε H. [m] που (supra posito τόποι) F. [n] οὖν om. L. [o] λεγομένων (supra posito διωρισμένων) F. [p] οὐσία H.L. [q] τοῦ post μὴ om. L. [r] καὶ τοῦ τοσοῦδε καὶ τοῦ ποῦ F. [s] δὴ H.L. [t] εἰ om. E. [v] ἐξ—καὶ om. E. [w] τὸν E. [x] τοῦτο F. [y] λέγω om. E. [z] οἷον om. H. [a] τῷ H. [b] μόνον] ὂν F.L. [c] καὶ om. L. [d] τε E. [e] οὕτω μὴ F.H. [f] ἔτι om. E. [g] γίνεσθαι om. E. [h] ὑπάρχει F.L. [i] πραγματέον L. [k] καὶ τὴν ἁπλῆν εἶναι E.

Οὔσης δ' αἰτίας μιᾶς μὲν ὅθεν τὴν ἀρχὴν [l] εἶναί φαμεν τῆς κινήσεως, μιᾶς δὲ τῆς ὕλης, τὴν τοιαύτην αἰτίαν λεκτέον. Περὶ μὲν γὰρ ἐκείνης εἴρηται πρότερον ἐν τοῖς περὶ κινήσεως λόγοις, [m] ὅτι ἐστὶ τὸ μὲν ἀκίνητον τὸν [n] ἅπαντα χρόνον, τὸ δὲ κινούμενον ἀεί. Τούτων [o] δὲ περὶ [p] μὲν τῆς ἀκινήτου ἀρχῆς 9 τῆς ἑτέρας καὶ προτέρας διελεῖν ἐστὶ φιλοσοφίας ἔργον· περὶ δὲ τοῦ διὰ τὸ συνεχῶς κινεῖσθαι τἆλλα κινοῦντος ὕστερον ἀποδοτέον, τί [q] τοιοῦτον τῶν καθ' ἕκαστα λεγομένων αἴτιόν ἐστιν. Νῦν δὲ τὴν ὡς ἐν ὕλης εἴδει τιθεμένην αἰτίαν εἴπωμεν, 10 δι' ἣν ἀεὶ φθορὰ καὶ γένεσις οὐχ ὑπολείπει τὴν φύσιν· ἅμα γὰρ ἂν ἴσως [r] τοῦτο γένοιτο δῆλον, καὶ περὶ τοῦ νῦν ἀπορηθέντος, πῶς ποτὲ [s] δεῖ λέγειν καὶ περὶ τῆς ἁπλῆς φθορᾶς καὶ γενέσεως. [v] Ἔχει δ' ἀπορίαν ἱκανὴν καὶ τί τὸ αἴτιον τοῦ 11 συνείρειν τὴν γένεσιν, εἴπερ τὸ φθειρόμενον εἰς τὸ μὴ ὂν ἀπέρχεται, τὸ δὲ μὴ ὂν [t] μηδέν ἐστιν· οὔτε γὰρ τὶ οὔτε ποιὸν οὔτε ποσὸν οὔτε ποῦ τὸ μὴ ὄν. Εἴπερ οὖν ἀεί τι τῶν ὄντων ἀπέρχεται, διὰ τί ποτ' οὐκ ἀνήλωται [v] πάλαι καὶ φροῦδον τὸ πᾶν, εἴ γε πεπερασμένον [w] ἦν ἐξ οὗ [x] γίνεται τῶν [y] γινομένων ἕκαστον; Οὐ γὰρ δὴ διὰ τὸ ἄπειρον εἶναι ἐξ οὗ γίνεται, οὐχ ὑπολείπει· τοῦτο γὰρ ἀδύνατον. Κατ' ἐνέργειαν μὲν γὰρ 12 οὐδέν ἐστιν ἄπειρον, δυνάμει δ' ἐπὶ τὴν διαίρεσιν, ὥστ' ἔδει ταύτην εἶναι μόνην τὴν μὴ ὑπολείπουσαν τῷ γίνεσθαί τι ἀεὶ ἔλαττον· νῦν δὲ τοῦτο οὐχ ὁρῶμεν. [s] Ἆρ' οὖν διὰ τὸ τὴν τοῦδε φθορὰν ἄλλου εἶναι γένεσιν καὶ τὴν τοῦδε γένεσιν ἄλλου εἶναι φθορὰν ἄπαυστον ἀναγκαῖον εἶναι τὴν μεταβολήν; Περὶ μὲν 13 οὖν τοῦ γένεσιν εἶναι καὶ φθορὰν [z] ὁμοίως περὶ ἕκαστον τῶν ὄντων, ταύτην [a] οἰητέον εἶναι πᾶσιν ἱκανὴν αἰτίαν. Διὰ τί δέ ποτε τὰ μὲν ἁπλῶς [b] γίνεσθαι λέγεται [c] καὶ φθείρεσθαι τὰ δ' οὐχ [d] ἁπλῶς, πάλιν σκεπτέον, εἴπερ τὸ αὐτό [e] ἐστι γένεσις

[l] τῆς κινήσεως εἶναί φαμεν F. [m] ὅτι δέ ἐστι E. [n] πάντα E. [o] δὲ om. E. [p] μὲν τῆς ἑτέρας ἀρχῆς καὶ πρ. pr. E, μὲν τῆς ἀκινήτου ἀρχῆς τῆς πρ. L. [q] τοιούτων L. [r] γένοιτο τοῦτο F. [s] δεῖ om. E. [t] οὐδὲν μή ἐστιν E, οὐδέν ἐστιν L. [v] πάλαι margo F. [w] ἦν] η E. [x] γίνεται τῶν om. E. [y] γινόμενον E. [z] ὁμοίως ἀεὶ περὶ F. [a] οἰητέον ἱκανὴν πᾶσιν αἰτίαν F. [b] λέγεται γίγνεσθαι F. [c] καὶ] τὰ δὲ καὶ E. [d] ἁπλῶν E. [e] ἐστὶ om. L.

μὲν τουδὶ [f] φθορὰ δὲ τουδί, καὶ φθορὰ μὲν τουδὶ γένεσις δὲ
14 τουδί· ζητεῖ γάρ τινα τοῦτο λόγον. Λέγομεν γὰρ ὅτι φθείρεται νῦν ἁπλῶς, καὶ οὐ μόνον τοδί· καὶ αὕτη μὲν γένεσις ἁπλῶς, αὕτη δὲ φθορά. Τοδὶ δὲ γίνεται μέν τι, γίνεται δ' ἁπλῶς οὔ· φαμὲν γὰρ τὸν μανθάνοντα γίνεσθαι μὲν ἐπιστή-
15 μονα, γίνεσθαι δ' ἁπλῶς [g] οὔ. Καθάπερ οὖν [h] πολλάκις διορίζομεν λέγοντες ὅτι τὰ μὲν τόδε τι σημαίνει τὰ δ' οὔ, διὰ τοῦτο συμβαίνει τὸ ζητούμενον· διαφέρει γὰρ εἰς ἃ μεταβάλλει τὸ μεταβάλλον· οἷον ἴσως ἡ μὲν εἰς πῦρ ὁδὸς γένεσις μὲν ἁπλῆ, φθορὰ δὲ τινός [i] ἐστιν, οἷον γῆς, ἡ δὲ γῆς γένεσις τὶς γένεσις, [k] γένεσις δ' οὐχ ἁπλῶς, φθορὰ δ' ἁπλῶς, οἷον πυρός, ὥσπερ Παρμενίδης λέγει δύο τὸ ὂν καὶ τὸ μὴ ὂν
16 εἶναι φάσκων, πῦρ καὶ γῆν. Τὸ δὴ ταῦτα ἢ τοιαῦθ' ἕτερα ὑποτίθεσθαι [l] διαφέρει οὐδέν· τὸν γὰρ τρόπον ζητοῦμεν, ἀλλ' οὐ τὸ ὑποκείμενον. [t] Ἡ μὲν οὖν εἰς τὸ μὴ ὂν ἁπλῶς ὁδὸς φθορὰ ἁπλῆ, ἡ δ' εἰς τὸ ἁπλῶς ὂν γένεσις ἁπλῆ. Οἷς οὖν διώρισται εἴτε πυρὶ καὶ [m] γῇ εἴτε ἄλλοις τισί, τούτων ἔσται
17 τὸ μὲν ὂν τὸ δὲ μὴ ὄν. [v] Ἕνα μὲν οὖν τρόπον [n] τούτῳ διοίσει τὸ ἁπλῶς [o] τι γίνεσθαι καὶ φθείρεσθαι τοῦ μὴ ἁπλῶς, ἄλλον δὲ [p] τῇ ὕλῃ ὁποία τις ἂν ᾖ· ἧς μὲν γὰρ μᾶλλον αἱ διαφοραὶ τόδε τι σημαίνουσι, μᾶλλον οὐσία, [q] ἧς δὲ στέρησιν, μὴ ὄν, [r] οἷον τὸ μὲν θερμὸν κατηγορία τις [s] καὶ εἶδος, ἡ δὲ ψυχρότης στέρησις. Διαφέρουσι [t] δὲ γῆ καὶ πῦρ [v] καὶ ταύταις ταῖς
18 διαφοραῖς. Δοκεῖ δὲ μᾶλλον τοῖς πολλοῖς τῷ αἰσθητῷ καὶ μὴ αἰσθητῷ διαφέρειν· ὅταν μὲν γὰρ εἰς αἰσθητὴν [w] μεταβάλλῃ ὕλην, γίνεσθαί φασιν, ὅταν δ' εἰς ἀφανῆ, φθείρεσθαι· τὸ γὰρ ὂν καὶ [x] τὸ μὴ ὂν [y] τῷ αἰσθάνεσθαι καὶ [z] τῷ μὴ αἰσθάνεσθαι διορίζουσιν, ὥσπερ τὸ μὲν ἐπιστητὸν ὄν, τὸ δ' ἄ-

[f] φθορὰ δὲ—γένεσις δὲ τουδί om. L. [g] οὐ γὰρ καθ. E. [h] διορίζομεν πολλάκις F.H.L. [i] ἐστιν om. L. [k] γένεσις δ' οὐχ ἁπλῶς] δὲ E, om. L. [l] διαφέρει γὰρ οὐδέν E. [m] γῇ εἴτε] γῇ ἢ καὶ H. [n] διοίσει ἐν τούτῳ F. [o] τι om. F.H. [p] ἡ ὕλη F H. [q] ἧς] τῆς H. [r] οἷον εἰ τὸ F.H. [s] καὶ τὸ εἶδος E. [t] δὲ γῆ] γὰρ γῆ F. [v] καὶ om. E.F. [w] μεταβάλῃ E.L. [x] τὸ post καὶ om. F. [y] τῷ om. F.L. [z] καὶ τῷ μὴ αἰσθάνεσθαι om. E, αἰσθάνεσθαι om. L.

γνωστον μὴ ὄν· ἡ γὰρ αἴσθησις ἐπιστήμης ἔχει δύναμιν. Κα- 19
θάπερ οὖν αὐτοὶ τῷ αἰσθάνεσθαι ἢ τῷ δύνασθαι [a]καὶ ζῆν καὶ
εἶναι νομίζουσιν, οὕτω καὶ τὰ πράγματα, τρόπον τινὰ διώ-
κοντες τἀληθές, αὐτὸ δὲ λέγοντες οὐκ ἀληθές. Συμβαίνει 20
[b]δὴ κατὰ δόξαν καὶ κατ' ἀλήθειαν [c]ἄλλως τὸ γίνεσθαί τε
ἁπλῶς καὶ [d]τὸ φθείρεσθαι· [e]πνεῦμα γὰρ καὶ ἀὴρ κατὰ μὲν
τὴν αἴσθησιν ἧττόν ἐστιν (διὸ καὶ [f]τὰ φθειρόμενα ἁπλῶς τῇ
εἰς ταῦτα μεταβολῇ φθείρεσθαι λέγουσιν, γίνεσθαι δ' ὅταν
εἰς ἁπτὸν καὶ εἰς γῆν [g]μεταβάλλῃ), [h]κατὰ δ' ἀλήθειαν
[i]μᾶλλον τόδε τι καὶ εἶδος ταῦτα τῆς γῆς. Τοῦ μὲν οὖν 21
εἶναι τὴν μὲν ἁπλῆν γένεσιν φθορὰν οὖσάν τινος, [k]τὴν δὲ
φθορὰν τὴν ἁπλῆν γένεσιν οὖσάν τινος, εἴρηται τὸ αἴτιον·
διὰ γὰρ τὸ τὴν ὕλην διαφέρειν ἢ τῷ οὐσίαν εἶναι [l]ἢ τῷ μή, ἢ
τῷ [m]τὴν μὲν μᾶλλον τὴν δὲ μή, ἢ τῷ [n]τὴν μὲν μᾶλλον αἰ-
σθητὴν εἶναι τὴν ὕλην ἐξ ἧς καὶ εἰς ἥν, τὴν δὲ ἧττον εἶναι. Τοῦ 22
δὲ τὰ μὲν ἁπλῶς γίνεσθαι [o]λέγεσθαι, τὰ δέ τι μόνον, μὴ τῇ
ἐξ ἀλλήλων γενέσει, καθ' ὃν εἴπομεν νῦν τρόπον· νῦν μὲν γὰρ
τοσοῦτον διώρισται, τί δή ποτε πάσης γενέσεως [p]οὔσης
φθορᾶς ἄλλου, καὶ πάσης φθορᾶς οὔσης ἑτέρου τινὸς γενέ-
σεως, οὐχ ὁμοίως ἀποδίδομεν τὸ γίνεσθαι [q]καὶ τὸ φθείρεσθαι
τοῖς [r]εἰς ἄλληλα μεταβάλλουσιν. Τὸ δ' ὕστερον εἰρημένον 23
οὐ τοῦτο διαπορεῖ ἀλλὰ [s]τί ποτε τὸ μανθάνον μὲν οὐ λέγεται
ἁπλῶς γίνεσθαι [t]ἀλλὰ γίνεσθαι ἐπιστῆμον, τὸ δὲ φυόμενον
γίνεσθαι. Ταῦτα δὲ διώρισται ταῖς κατηγορίαις· τὰ μὲν
γὰρ τόδε τι σημαίνει, τὰ δὲ τοιόνδε, [v]τὰ δὲ ποσόν· ὅσα οὖν
μὴ οὐσίαν σημαίνει, οὐ λέγεται ἁπλῶς ἀλλὰ τὶ γίνεσθαι.
Οὐ μὴν ἀλλ' ὁμοίως ἐν [w]πᾶσι γένεσις μὲν κατὰ τὰ ἐν τῇ 24
[x]ἑτέρᾳ συστοιχίᾳ λέγεται, οἷον ἐν μὲν οὐσίᾳ ἐὰν πῦρ ἀλλ'

[a] καὶ ante ζῆν om. E. [b] δὴ] δὴ καὶ H. [c] ἄλλως καὶ τὸ H. [d] τὸ post καὶ om. E.L. [e] πνεύματα γὰρ καὶηρ E. [f] τὰ om. F. [g] μεταβάλῃ L. [h] κατ' ἀλήθειαν δὲ F.H.L. [i] τόδε τι μᾶλλον F. [k] τὴν δὲ—τινος margo F. [l] ἢ τῷ μή—δὲ μή om. E. [m] τὴν μὲν—τὴν μὲν margo F. [n] τὴν μὲν om. E.L. [o] λέγεσθαι om. L. [p] οὔσης φθ.—γενέσεως om. L. [q] καὶ] τε καὶ L. [r] εἰς ἄλληλα om. E. [s] τί δή ποτε F. [t] ἀλλά τι γίγνεσθαι margo F. [v] τὰ δὲ π.] τὸ δὲ π. L. [w] ἅπασι F. [x] ἑτέρα τοῦ κρείττονος συστοιχία F.

[y]οὐκ ἐὰν γῆ, ἐν δὲ τῷ ποιῷ ἐὰν [z]ἐπιστῆμον ἀλλ' οὐχ ὅταν [a]ἀνεπιστῆμον. Περὶ μὲν οὖν τοῦ τὰ μὲν ἁπλῶς γίνεσθαι τὰ δὲ [b]μή, καὶ ὅλως [c]ἐν ταῖς οὐσίαις [d]αὐταῖς, εἴρηται, καὶ διότι [e]τοῦδε γένεσιν εἶναι συνεχῶς αἰτία ὡς ὕλη τὸ ὑποκείμενον, ὅτι [f]μεταβλητικὸν εἰς τἀναντία, καὶ ἔστιν ἡ θατέρου γένεσις ἀεὶ ἐπὶ τῶν οὐσιῶν ἄλλου φθορὰ καὶ ἡ [g]ἄλλου φθορὰ ἄλλου
25 γένεσις. [i]Ἀλλὰ μὴν οὐδ' ἀπορῆσαι δεῖ διὰ τί γίνεται [h]ἀεὶ ἀπολλυμένων· ὥσπερ γὰρ καὶ τὸ φθείρεσθαι ἁπλῶς [i]φασίν, ὅταν εἰς ἀναίσθητον ἔλθῃ καὶ τὸ μὴ ὄν, ὁμοίως [k]καὶ γίνεσθαι ἐκ μὴ ὄντος φασίν, ὅταν ἐξ ἀναισθήτου. Εἶτ' οὖν ὄντος τινὸς τοῦ ὑποκειμένου εἴτε μή, γίνεται [l]ἐκ μὴ ὄντος. [m]Ὥστε ὁμοίως καὶ [n]γίνεται ἐκ μὴ ὄντος καὶ φθείρεται εἰς τὸ μὴ ὄν.
26 Εἰκότως οὖν οὐχ ὑπολείπει· ἡ γὰρ γένεσις φθορὰ τοῦ μὴ ὄντος, ἡ δὲ φθορὰ γένεσις τοῦ μὴ ὄντος. [i]Ἀλλὰ τοῦτο τὸ μὴ ὂν ἁπλῶς ἀπορήσειεν [o]ἄν τις πότερον [p]τὸ ἕτερον τῶν ἐναντίων [q]ἐστίν, οἷον γῆ καὶ τὸ βαρὺ μὴ ὄν, πῦρ δὲ καὶ τὸ κοῦφον [r]τὸ ὄν, ἢ οὔ, ἀλλ' ἔστι καὶ γῆ τὸ ὄν, τὸ δὲ μὴ ὂν ὕλη [s]ἡ τῆς γῆς,
27 καὶ πυρὸς ὡσαύτως. Καὶ ἆρά γε ἑτέρα ἑκατέρου ἡ ὕλη, ἢ οὐκ ἂν γίνοιτο ἐξ ἀλλήλων οὐδ' ἐξ ἐναντίων; Τούτοις γὰρ ὑπάρχει τἀναντία, πυρί, γῇ, ὕδατι, ἀέρι. [u]Ἡ ἔστι [t]μὲν [v]ὡς [w]ἡ αὐτή, ἔστι δ' ὡς ἡ ἑτέρα· ὃ μὲν γάρ ποτε ὂν ὑπόκειται τὸ αὐτό, τὸ δ' εἶναι οὐ τὸ αὐτό. Περὶ μὲν [x]οὖν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

4 Περὶ δὲ γενέσεως καὶ ἀλλοιώσεως [y]λέγωμεν τί διαφέρουσιν· φαμὲν γὰρ ἑτέρας εἶναι ταύτας τὰς μεταβολὰς ἀλ-
2 λήλων. [z]Ἐπειδὴ οὖν ἐστί τι τὸ ὑποκείμενον καὶ ἕτερον τὸ πάθος ὃ κατὰ τοῦ ὑποκειμένου [a]λέγεσθαι πέφυκεν, καὶ ἔστι

y οὐχὶ E. z ἐπιστήμων E. a ἀνεπιστήμων E. b μή] πῇ F.H. c ἐν] καὶ ἐν H.L. d αὐταῖς om. E.L. e τοῦδε] τοῦ E. f μεταβλητικόν ἐστιν εἰς E. g ἄλλου post ἡ om. E. h ἀεὶ] ει E, τι ἀεὶ F. i φαμεν E. k καὶ τὸ γίν. F.H. l ἐκ μὴ ὄντος om. F.L, in margine ponit H. m ὥστε—ὄντος om. E. n γίνεται om L. o ἄν codicibus deest. p τὸ ἕτερον om. E. q ἐστίν om. E.L. r τὸ ante ὄν om. F.H. s ἡ om. F. t μὲν om. E. v ὡς om. F. w ἡ om. E.H.L. x οὖν om. E. y λέγομεν E.H. z ἐπεὶ H. a πέφυκε λέγεσθαι F.L.

μεταβολὴ ἑκατέρου τούτων, ἀλλοίωσις [b] μέν ἐστιν, ὅταν ὑπομένοντος τοῦ ὑποκειμένου, αἰσθητοῦ ὄντος, [c] μεταβάλλῃ ἐν τοῖς [d] αὐτοῦ πάθεσιν, [e] ἢ ἐναντίοις [f] οὖσιν ἢ μεταξύ, οἷον τὸ σῶμα ὑγιαίνει καὶ πάλιν κάμνει ὑπομένον [g] γε [h] ταὐτό, καὶ ὁ χαλκὸς στρογγύλος, ὁτὲ δὲ [i] γωνιοειδὴς ὁ αὐτός γε ὤν.
[1] Ὅταν δ' ὅλον [k] μεταβάλλῃ μὴ ὑπομένοντος [l] αἰσθητοῦ τινὸς [3]
[m] ὡς ὑποκειμένου τοῦ αὐτοῦ, ἀλλ' οἷον ἐκ τῆς γονῆς αἷμα πάσης ἢ ἐξ ὕδατος ἀὴρ ἢ ἐξ ἀέρος παντὸς ὕδωρ, γένεσις ἤδη τὸ τοιοῦτον, τοῦ δὲ φθορά, μάλιστα δέ, ἂν [n] ἡ μεταβολὴ [o] γίνηται ἐξ ἀναισθήτου εἰς αἰσθητὸν ἢ ἀφῇ ἢ πάσαις ταῖς αἰσθήσεσιν, οἷον ὅταν ὕδωρ [p] γένηται ἢ φθαρῇ εἰς ἀέρα· ὁ γὰρ ἀὴρ ἐπιεικῶς ἀναίσθητον. [4] Ἐν [q] δὲ τούτοις [r] ἄν τι [4]
[s] ὑπομένῃ πάθος τὸ αὐτὸ ἐναντιώσεως ἐν τῷ γενομένῳ [t] καὶ [v] τῷ φθαρέντι, οἷον ὅταν ἐξ ἀέρος [w] ὕδωρ, εἰ ἄμφω διαφανῆ ἢ ψυχρά, οὐ δεῖ τούτου θάτερον πάθος εἶναι εἰς ὃ μεταβάλλει. Εἰ δὲ μή, ἔσται ἀλλοίωσις, οἷον [x] ὁ μουσικὸς ἄνθρωπος ἐφθάρη, [y] ἄνθρωπος δ' ἄμουσος ἐγένετο, ὁ δ' ἄνθρωπος ὑπομένει τὸ αὐτό. Εἰ μὲν οὖν τούτου μὴ πάθος ἦν καθ' [z] αὐτὸν [5]
ἡ μουσικὴ καὶ ἡ ἀμουσία, τοῦ μὲν γένεσις [a] ἦν ἄν, τοῦ δὲ φθορά· διὸ ἀνθρώπου μὲν ταῦτα πάθη, ἀνθρώπου δὲ μουσικοῦ [b] καὶ ἀνθρώπου ἀμούσου γένεσις καὶ φθορά· νῦν δὲ πάθος τοῦτο τοῦ ὑπομένοντος. Διὸ ἀλλοίωσις τὰ τοιαῦτα.
[6] Ὅταν μὲν οὖν κατὰ [c] τὸ ποσὸν ᾖ ἡ μεταβολὴ τῆς ἐναντιώσεως, [d] αὔξη καὶ φθίσις, ὅταν δὲ κατὰ τόπον, [e] φορά, ὅταν δὲ [f] κατὰ πάθος καὶ τὸ ποιόν, ἀλλοίωσις, ὅταν δὲ μηδὲν ὑπομένῃ οὗ θάτερον πάθος [g] ἢ συμβεβηκὸς ὅλως, γένεσις, τὸ δὲ φθορά.
[7] Ἔστι [h] δὲ ὕλη μάλιστα μὲν [i] καὶ κυρίως τὸ ὑπο-

[b] μὲν οὖν ἐστιν F.L. [c] μεταβάλῃ E. [d] ἑαυτοῦ E. [e] ἢ om. H. [f] οὖσιν om. F.L. [g] γε om. E. [h] αὐτό F. [i] γωνοειδὴς E. [k] μεταβάλῃ E. [l] τινος αἰσθητοῦ F. [m] ὡς] τοῦ E. [n] ἡ om. F. [o] γίνεται F.L. [p] γίνηται F. [q] δὴ L. [r] ἐάν F.H. [s] ὑπομείνῃ E. [t] καὶ] καὶ ἐν F. [v] τῷ om. E.L. [w] ὕδωρ καὶ εἰ E.H. [x] ὁ om. F. [y] ἄνθρ. δ' ἄμ.] ἄμουσος ὁ ἄνθρ. E. [z] αὐτὸ F.H.L. [a] ἂν ἦν F.H.L. [b] καὶ ἀνθρ.] ἢ ἀνθρ. E. [c] τὸ om. E.F. [d] αὔξησις F.H.L. [e] φορά, ὅταν δὲ κατὰ om. E. [f] κατὰ τὸ πάθος F.H. [g] ἢ] καὶ F. [h] δὲ ἡ ὕλη E.F.H. [i] καὶ om. E.F.H.

κείμενον γενέσεως καὶ φθορᾶς δεκτικόν, τρόπον δέ τινα καὶ τὸ ταῖς ἄλλαις μεταβολαῖς, ὅτι πάντα δεκτικὰ τὰ ὑποκείμενα [k] ἐναντιώσεών τινων. Περὶ μὲν [l] οὖν γενέσεως [m] καὶ φθορᾶς, εἴτε ἔστιν εἴτε μή, [n] καὶ πῶς ἔστι, καὶ περὶ ἀλλοιώσεως διωρίσθω τοῦτον τὸν τρόπον.

5 Περὶ δὲ αὐξήσεως λοιπὸν εἰπεῖν, [o] τί τε διαφέρει γενέσεως καὶ ἀλλοιώσεως, καὶ πῶς αὐξάνεται [p] τῶν αὐξανομένων
2 ἕκαστον καὶ φθίνει ὁτιοῦν τῶν φθινόντων. Σκεπτέον δὴ [q] πρῶτον πότερον [r] μόνως [s] ἐν τῷ περὶ ὅ ἐστιν αὐτῶν [t] ἡ πρὸς ἄλληλα διαφορά, οἷον ὅτι ἡ μὲν ἐκ τοῦδε εἰς τόδε μεταβολή, [v] οἷον ἐκ δυνάμει οὐσίας εἰς ἐντελεχείᾳ οὐσίαν, γένεσίς ἐστιν, ἡ δὲ [w] περὶ μέγεθος αὔξησις [x] καὶ φθίσις, ἡ δὲ περὶ πάθος ἀλλοίωσις· [y] ἀμφότερα δὲ [z] ἐκ δυνάμει ὄντων εἰς ἐντελέχειαν μεταβολὴ τῶν εἰρημένων ἐστίν, ἢ καὶ ὁ τρόπος διαφέρει τῆς μεταβολῆς· φαίνεται γὰρ τὸ μὲν ἀλλοιούμενον οὐκ ἐξ ἀνάγκης μεταβάλλον κατὰ τόπον, οὐδὲ τὸ γινόμενον, τὸ δ' αὐξανόμενον καὶ τὸ φθῖνον, ἄλλον δὲ τρόπον τοῦ φε-
3 ρομένου. Τὸ μὲν γὰρ φερόμενον ὅλον [a] ἀλλάττει τόπον, τὸ δ' αὐξανόμενον ὥσπερ τὸ ἐλαυνόμενον· [b] τούτου γὰρ μένοντος τὰ μόρια μεταβάλλει κατὰ τόπον, οὐχ ὥσπερ τὰ τῆς σφαίρας· τὰ μὲν γὰρ ἐν τῷ ἴσῳ τόπῳ μεταβάλλει τοῦ ὅλου μένοντος, τὰ δὲ τοῦ [c] αὐξανομένου ἀεὶ ἐπὶ πλείω τόπον, ἐπ'
4 ἐλάττω δὲ [d] τὰ τοῦ φθίνοντος. [v]Οτι μὲν οὖν ἡ μεταβολὴ διαφέρει οὐ μόνον περὶ ὃ ἀλλὰ καὶ ὡς τοῦ τε γινομένου καὶ
5 ἀλλοιουμένου καὶ αὐξανομένου, δῆλον. Περὶ [e] δὲ ὅ [f] ἐστιν ἡ μεταβολὴ [g] ἡ τῆς αὐξήσεως καὶ ἡ τῆς φθίσεως (περὶ μέγεθος δὲ δοκεῖ εἶναι τὸ αὐξάνεσθαι καὶ φθίνειν), ποτέρως ὑπολη-πτέον, πότερον ἐκ δυνάμει μὲν μεγέθους καὶ σώματος, ἐντελε-

[k] ἐναντ. τινων] τῶν ἐναντ. L. [l] οὖν om. F.L. [m] καὶ φθορᾶς om. F.H.L. [n] καὶ πῶς ἐστὶ καὶ π. ἀλλ. om. F. [o] τίνι L. [p] τῶν om. F. [q] πρῶτον om. L. [r] μόνως om. H. et pr. F. [s] ἐν τῷ om. E. [t] πρὸς ἄλληλα ἡ E. [v] οἷον ἡ ἐκ H. [w] περὶ τὸ μ. E. [x] καὶ φθίσις om. H, in margine ponunt E.F. [y] ἀμφοτέρων F. [z] ἐκ τῶν δ. F.H. [a] ἀλλάττει τὸν τ. F. [b] τούτου μὲν γὰρ pr. F. [c] αὐξομένου H. [d] τὰ om. E.H, in margine ponit F. [e] ὃ δὲ H. [f] ἡ μετ. ἐστιν E. [g] ἡ ante τῆς om. L.

χείᾳ δ' ἀσωμάτου καὶ ἀμεγέθους γίνεσθαι σῶμα καὶ μέγεθος, καὶ τούτου διχῶς ἐνδεχομένου λέγειν, ποτέρως ἡ αὔξησις γίγνεται; Πότερον ἐκ κεχωρισμένης αὐτῆς καθ' αὑτὴν τῆς 6 ὕλης, ἢ ἐνυπαρχούσης ἐν ἄλλῳ σώματι; ἢ ἀδύνατον ἀμφοτέρως; Χωριστὴ [h] μὲν γὰρ οὖσα ἢ οὐδένα καθέξει τόπον, ἢ οἷον στιγμή [i] τις ἢ κενὸν ἔσται [k] ἢ σῶμα οὐκ αἰσθητόν. Τούτων δὲ τὸ μὲν οὐκ ἐνδέχεται, τὸ δὲ [l] ἀναγκαῖον ἔν τινι εἶναι· ἀεὶ γάρ που ἔσται τὸ γιγνόμενον ἐξ αὐτοῦ, ὥστε κἀκεῖνο, ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός. Ἀλλὰ μὴν εἴ γ' ἔν τινι 7 ὑπάρξει, εἰ μὲν κεχωρισμένον οὕτως ὥστε μὴ [m] ἐκείνου [n] καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός τι εἶναι, συμβήσεται πολλὰ καὶ ἀδύνατα. Λέγω δ' οἷον εἰ γίγνεται ἀὴρ ἐξ ὕδατος, οὐ τοῦ ὕδατος ἔσται μεταβάλλοντος, ἀλλὰ διὰ τὸ ὥσπερ ἐν ἀγγείῳ τῷ ὕδατι [o] ἐνεῖναι τὴν ὕλην αὐτοῦ. Ἀπείρους γὰρ οὐδὲν κωλύει ὕλας εἶναι, ὥστε καὶ γίγνεσθαι ἐντελεχείᾳ. Ἔτι δ' 8 [p] οὐδ' οὕτω φαίνεται γιγνόμενος ἀὴρ ἐξ ὕδατος, οἷον ἐξιὼν ὑπομένοντος. Βέλτιον τοίνυν [q] ποιεῖν πᾶσιν ἀχώριστον [r] τὴν ὕλην [s] ὡς οὖσαν τὴν αὐτὴν καὶ μίαν τῷ ἀριθμῷ, τῷ λόγῳ δὲ [t] μὴ μίαν. Ἀλλὰ μὴν οὐδὲ στιγμὰς θετέον οὐδὲ γραμμὰς τὴν τοῦ σώματος ὕλην διὰ τὰς αὐτὰς αἰτίας. Ἐκεῖνο δὲ οὖ 9 ταῦτα ἔσχατα, ἡ ὕλη, [v] ἣν οὐδέποτ' ἄνευ πάθους οἷόν τε εἶναι οὐδ' ἄνευ μορφῆς. Γίγνεται μὲν οὖν [w] ἁπλῶς ἕτερον ἐξ ἑτέρου, ὥσπερ καὶ ἐν [x] ἄλλοις διώρισται, καὶ [y] ὑπό τινος [z] δὲ ἐντελεχείᾳ ὄντος, ἢ [a] ὁμοιοειδοῦς ἢ ὁμογενοῦς, οἷον πῦρ ὑπὸ πυρὸς ἢ ἄνθρωπος ὑπ' ἀνθρώπου, ἢ ὑπ' ἐντελεχείας· σκληρὸν [b] γὰρ οὐχ ὑπὸ σκληροῦ γίνεται. Ἐπεὶ δ' ἐστὶ καὶ οὐσίας 10 ὕλη σωματικῆς, [c] σώματος [d] δ' ἤδη τοιουδί (σῶμα [e] γὰρ κοινὸν οὐδέν), ἡ αὐτὴ καὶ μεγέθους καὶ πάθους [f] ἐστί, τῷ μὲν λόγῳ

[h] μὲν om. E. [i] τις om. E. [k] ἢ σ.] καὶ σ. E.H, ἢ καὶ σ. F. [l] ἀναγκαῖον δηλονότι ἔν F. [m] νου—συμβεβηκός om. E. [n] καθ'] ἢ καθ' L. [o] εἶναι E.L. [p] οὐχ H. et corr. E. [q] πᾶσιν ἀχώριστον ποιεῖν F. [r] τὴν] εἶναι τὴν F.H. [s] ὡς om. L. [t] μὴ] μηδὲ F, om. E. [v] ἣν] ἣν ἣν H. [w] ἁπλῶς ἡ ὁμογενοῦς ἕτερον pr. F. [x] ἄλλοις] οἷς E. [y] ἀπό F.H. [z] δὲ ἀεὶ ἐντ. E. [a] ὁμογενοῦς ἢ ὁμοιοειδοῦς F.H. [b] γὰρ om. E. [c] σώματος—οὐδέν om. L. [d] δ' om. F. [e] κοινὸν γὰρ F. [f] ἐστί om. L.

χωριστή, τόπῳ δ' οὐ χωριστή, εἰ μὴ καὶ [g] τὰ πάθη [h] χωριστά. Φανερὸν [i] δὴ ἐκ τῶν διηπορημένων ὅτι οὐκ ἔστιν ἡ αὔξησις μεταβολὴ ἐκ δυνάμει μεγέθους, ἐντελεχείᾳ δὲ μηδὲν ἔχοντος μέγεθος· χωριστὸν γὰρ ἂν εἴη τὸ [k] κενόν, [l] τοῦτο δ' 11 ὅτι ἀδύνατον, εἴρηται [m] ἐν ἑτέροις πρότερον. [1] Ἔτι δ' ἥ γε τοιαύτη μεταβολὴ οὐκ αὐξήσεως ἴδιος ἀλλὰ [n] γενέσεως· ἡ γὰρ αὔξησίς ἐστι τοῦ [o] ἐνυπάρχοντος μεγέθους ἐπίδοσις, ἡ δὲ φθίσις μείωσις. Διὸ [p] δὴ ἔχειν τι [q] δεῖ μέγεθος τὸ αὐξανόμενον. [2] Ὥστ' οὐκ ἐξ ἀμεγέθους ὕλης δεῖ εἶναι τὴν αὔξησιν εἰς ἐντελέχειαν μεγέθους· γένεσις γὰρ ἂν εἴη [r] σώματος 12 μᾶλλον, οὐκ αὔξησις. Ληπτέον δὴ μᾶλλον οἷον ἀπτομένους τῆς ζητήσεως ἐξ ἀρχῆς, ποίου τινὸς ὄντος τοῦ αὐξάνεσθαι ἢ τοῦ φθίνειν τὰ αἴτια ζητοῦμεν. Φαίνεται [s] δὴ τοῦ αὐξανομένου ὁτιοῦν μέρος ηὐξῆσθαι, ὁμοίως δὲ καὶ ἐν τῷ φθίνειν ἔλαττον γεγονέναι, ἔτι [t] δὲ προσιόντος τινὸς αὐξάνεσθαι καὶ 13 ἀπιόντος φθίνειν. [3] Ἀναγκαῖον [v] δὴ ἢ ἀσωμάτῳ αὐξάνεσθαι ἢ σώματι. Εἰ μὲν οὖν ἀσωμάτῳ, ἔσται χωριστὸν [w] τὸ [x] κενόν· ἀδύνατον δὲ μεγέθους ὕλην εἶναι χωριστήν, ὥσπερ εἴρηται πρότερον· εἰ δὲ σώματι, δύο [y] ἐν τῷ αὐτῷ σώματα τόπῳ ἔσται, τό τε [z] αὐξόμενον καὶ τὸ αὖξον· ἔστι δὲ καὶ τοῦτο 14 ἀδύνατον. [4] Ἀλλὰ μὴν οὐδ' οὕτως ἐνδέχεται λέγειν γίνεσθαι τὴν αὔξησιν [a] καὶ τὴν φθίσιν, ὥσπερ ὅταν ἐξ ὕδατος ἀήρ· τότε γὰρ μεῖζων ὁ ὄγκος γέγονεν· οὐ γὰρ αὔξησις τοῦτο ἀλλὰ γένεσις μὲν τοῦ εἰς ὃ [b] μετέβαλεν ἔσται, φθορὰ δὲ τοῦ ἐναντίου· αὔξησις δὲ οὐδετέρου, ἀλλ' ἢ οὐδενὸς ἢ εἴ τι κοινὸν [c] ἀμφοῖν ὑπάρχει, [d] τῷ γινομένῳ καὶ τῷ φθαρέντι, οἷον εἰ 15 σῶμα. Τὸ δ' ὕδωρ οὐκ ηὔξηται οὐδ' ὁ ἀήρ, ἀλλὰ τὸ μὲν ἀπόλωλε τὸ δὲ γέγονεν· τὸ σῶμα δέ, [e] εἴπερ, ηὔξηται. [4] Ἀλλὰ

[g] τὰ om. E. [h] χωριστά, σώματος δ' ἤδη τοιοῦδε. σῶμα γὰρ κοινὸν οὐδέν. φανερὸν L. [i] δὴ] δ' E.F.H. [k] κοινόν F.H.L. [l] τοῦτο] τοῦ L. [m] ἐν ἑτέροις om. H.L, in margine ponit F. [n] γενέσεως ὅλως ἡ E.H.L. [o] ὑπάρχοντος E. [p] δὴ] δεῖ F. [q] δεῖ om. E.F. [r] μᾶλλον σώματος F. [s] δὴ οὖν τοῦ L. [t] δὲ om. E. [v] δὲ E. [w] τὸ om. E.H. [x] κοινόν rc. F. [y] σώματα ἐν τῷ αὐτῷ L. [z] αὐξανόμενον E.F. [a] καὶ] ἢ E.F.H. [b] μετέβαλλεν E, μεταβάλλει F.H. [c] ἄμφω E.L. [d] τῷ φθ. καὶ τῷ γ. L, τῷ γ. καὶ φθ. F, τῷ φθ. E. [e] περ om. E.

καὶ τοῦτ' ἀδύνατον. Δεῖ γὰρ σώζειν τῷ λόγῳ τὰ ὑπάρχοντα τῷ αὐξανομένῳ [f] καὶ φθίνοντι. Ταῦτα δὲ τρία ἐστίν, 16
ὧν ἓν μέν ἐστι τὸ ὁτιοῦν [g] μέρος μεῖζον [h] γίγνεσθαι τοῦ αὐξανομένου [i] μεγέθους, οἷον [k] εἰ σὰρξ τῆς σαρκός, καὶ προσιόντος τινός, καὶ τρίτον σωζομένου τοῦ αὐξανομένου καὶ ὑπομένοντος· ἐν μὲν γὰρ τῷ γίγνεσθαί τι ἁπλῶς ἢ φθείρεσθαι οὐχ ὑπομένει, ἐν δὲ τῷ ἀλλοιοῦσθαι [l] ἢ [m] αὐξάνεσθαι ἢ φθίνειν ὑπομένει τὸ αὐτὸ [n] τὸ αὐξανόμενον ἢ ἀλλοιούμενον· ἀλλ' ἔνθα μὲν τὸ πάθος ἔνθα δὲ τὸ μέγεθος τὸ αὐτὸ οὐ μένει. Εἰ 17
δὴ ἔσται ἡ εἰρημένη αὔξησις, ἐνδέχοιτ' ἂν μηδενός γε προσιόντος μηδὲ ὑπομένοντος αὐξάνεσθαι καὶ μηδενὸς ἀπιόντος φθίνειν καὶ μὴ ὑπομένειν τὸ αὐξανόμενον. [q] Ἀλλὰ δεῖ τοῦτο σώζειν· ὑπόκειται γὰρ ἡ αὔξησις τοιοῦτον. [r] Ἀπορήσειε δ' ἄν τις καὶ τί ἐστι τὸ αὐξανόμενον, πότερον ᾧ προστίθεταί τι, οἷον εἰ τὴν κνήμην αὐξάνει, αὕτη μείζων, [o] ᾧ δὲ αὐξάνει, ἡ τροφή, [p] οὔ. Διὰ τί δὴ [q] οὖν ἄμφω ηὔξηται; Μεῖζον γὰρ 18
[r] καὶ [s] ὃ καὶ ᾧ, ὥσπερ ὅταν μίξῃς οἶνον ὕδατι· ὁμοίως γὰρ πλεῖον ἑκάτερον. [t] Ἢ ὅτι τοῦ μὲν μένει ἡ οὐσία, τοῦ δ' οὔ, οἷον τῆς τροφῆς, ἐπεὶ καὶ ἐνταῦθα τὸ ἐπικρατοῦν λέγεται ἐν τῇ μίξει, οἷον ὅτι οἶνος· ποιεῖ γὰρ τὸ τοῦ οἴνου ἔργον ἀλλ' οὐ τὸ τοῦ ὕδατος τὸ σύνολον μῖγμα. [t] Ὁμοίως δὲ καὶ ἐπ' 19
ἀλλοιώσεως, εἰ μένει σὰρξ οὖσα καὶ τὸ τί ἐστι, πάθος δέ τι ὑπάρχει τῶν καθ' αὑτό, ὃ πρότερον οὐχ ὑπῆρχεν, ἠλλοίωται [t] τοῦτο· [v] ᾧ δ' ἠλλοίωται, ὁτὲ μὲν οὐδὲν πέπονθεν, [w] ὁτὲ δὲ κἀκεῖνο. [t] Ἀλλὰ τὸ ἀλλοιοῦν καὶ ἡ ἀρχὴ τῆς κινήσεως ἐν τῷ αὐξανομένῳ καὶ τῷ ἀλλοιουμένῳ· ἐν τούτοις γὰρ τὸ κινοῦν, ἐπεὶ καὶ τὸ εἰσελθὸν γένοιτ' ἄν ποτε μεῖζον, καὶ τὸ ἀπολαῦσαν αὐτοῦ σῶμα, οἷον [x] εἰ εἰσελθὸν γένοιτο πνεῦμα. [t] Αλλ' 20
ἔφθαρταί [y] γε τοῦτο παθόν, καὶ τὸ κινοῦν οὐκ ἐν τούτῳ.

[f] καὶ] καὶ τι (supra posito ω) E. [g] μεῖζον μέρος E. [h] γίγν.] εἶναι E.F.H. [i] μεγέθους om. E. [k] εἰ] ἡ L. [l] ἢ] καὶ E. [m] αὔξεσθαι F. [n] τὸ ante αὐξ. om. L. [o] ᾧ] ὃ F. [p] οὗ om. H.L. et corr. E. [q] οὖν om. E. [r] καὶ om. E.F. [s] ὃ om. E. [t] τοῦτο] τότε H, om. E. [v] ᾧ δ' ἠλλοίωται om. E. [w] ὁτὲ δὲ] οὐδ' ὁτὲ F. [x] εἰ om. E.F. [y] γε] τε E.

[z] Ἐπεὶ δὲ διηπόρηται περὶ αὐτῶν ἱκανῶς, δεῖ καὶ τῆς ἀπο-
ρίας πειρᾶσθαι λύσιν εὑρεῖν, σώζοντας τὸ ὑπομένοντός τε
τοῦ αὐξανομένου καὶ προσιόντος τινὸς [a] αὐξάνεσθαι, ἀπιόντος
δὲ φθίνειν, ἔτι δὲ τὸ ὁτιοῦν σημεῖον αἰσθητὸν ἢ μεῖζον ἢ
ἔλαττον γεγονέναι, καὶ μήτε κενὸν εἶναι [b] τὸ σῶμα μήτε δύο
21 ἐν τῷ αὐτῷ τόπῳ μεγέθη [c] μήτε ἀσωμάτῳ αὐξάνεσθαι. Λη-
πτέον [d] δὲ [e] τὸ αἴτιον διορισαμένοις πρῶτον [f] ἓν μὲν ὅτι τὰ
[g] ἀνομοιομερῆ αὐξάνεται τῷ τὰ ὁμοιομερῆ αὐξάνεσθαι (σύγ-
κειται γὰρ ἐκ τούτων ἕκαστον), ἔπειθ' ὅτι σὰρξ καὶ ὀστοῦν
[h] καὶ ἕκαστον τῶν τοιούτων μορίων ἐστὶ [i] διττόν, ὥσπερ καὶ
τῶν ἄλλων τῶν ἐν ὕλῃ εἶδος ἐχόντων· καὶ γὰρ ἡ ὕλη λέγεται
22 καὶ τὸ εἶδος σὰρξ [k] ἢ ὀστοῦν. Τὸ οὖν ὁτιοῦν μέρος αὐξά-
νεσθαι καὶ προσιόντος τινὸς κατὰ μὲν τὸ εἶδός ἐστιν ἐνδεχό-
μενον, κατὰ δὲ τὴν ὕλην οὐκ ἔστιν. Δεῖ γὰρ νοῆσαι ὥσπερ
εἴ τις μετροίη τῷ αὐτῷ μέτρῳ ὕδωρ· ἀεὶ γὰρ ἄλλο καὶ ἄλλο
τὸ γινόμενον. Οὕτω [l] δ' αὐξάνεται ἡ ὕλη τῆς σαρκός, καὶ
[m] οὐχ ὁτῳοῦν παντὶ προσγίνεται, ἀλλὰ τὸ μὲν ὑπεκρεῖ τὸ
δὲ προσέρχεται· τοῦ δὲ σχήματος καὶ τοῦ εἴδους ὁτῳοῦν
23 [n] μορίῳ. Ἐπὶ δὲ [o] τῶν ἀνομοιομερῶν τοῦτο μᾶλλον δῆλον,
οἷον χειρός, ὅτι ἀνάλογον ηὔξηται· ἡ γὰρ ὕλη ἑτέρα οὖσα
δήλη μᾶλλον τοῦ εἴδους ἐνταῦθα ἢ ἐπὶ σαρκὸς καὶ τῶν ὁμοιο-
μερῶν· διὸ καὶ τεθνεῶτος μᾶλλον [p] ἂν δόξειεν εἶναι ἔτι σὰρξ
καὶ ὀστοῦν ἢ χεὶρ καὶ βραχίων. [q] Ὥστε ἔστι μὲν ὡς ὁτιοῦν
τῆς σαρκὸς ηὔξηται, ἔστι δ' ὡς οὔ. Κατὰ [q] μὲν γὰρ τὸ
24 εἶδος ὁτῳοῦν προσελήλυθεν, κατὰ δὲ τὴν ὕλην οὔ. Μεῖζον
μέντοι [r] τὸ ὅλον γέγονε προσελθόντος μέν τινος, ὃ καλεῖται
τροφὴ καὶ [s] ἐναντίον, μεταβάλλοντος δὲ εἰς τὸ αὐτὸ εἶδος,
οἷον εἰ ξηρῷ [t] προσίοι ὑγρόν, προσελθὸν δὲ [v] μεταβάλοι καὶ
γένοιτο ξηρόν· ἔστι μὲν γὰρ ὡς τὸ ὅμοιον ὁμοίῳ [w] αὐξάνε-

[z] ἐπειδὴ F.L. [a] αὔξεσθαι F.L. [b] τὸ om. L. [c] μηδὲ E. [d] δὴ F. [e] τὸ αἴτιον om. H. [f] ἓν μὲν om. L. [g] ὁμοιομερῆ E. [h] καὶ τούτων ἕκαστον τῶν μ. L. [i] διττῶν E. [k] ἢ] καὶ E.H. [l] δ'] δὴ F, καὶ L. [m] οὐχὶ F. [n] μόριον E. [o] τῶν ἀνοιομερῶν δὲ E. [p] ἂν om. F. [q] μὲν] μέντοι F. [r] γέγονε τὸ ὅλον E.L. [s] ἐναντίου E. [t] προσίῃ L, προστεθῇ E. [v] μεταβάλλοι F.H. [w] αὔξεται F.

ται, ἔστι δ' ὡς ἀνομοίῳ. [x] Ἀπορήσειε δ' ἄν τις ποῖόν τι δεῖ εἶναι [y] τὸ ᾧ αὐξάνεται. Φανερὸν δὴ ὅτι δυνάμει ἐκεῖνο, οἷον εἰ σάρξ, δυνάμει σάρκα. [1] Ἐντελεχείᾳ ἄρα ἄλλο· φθαρὲν δὴ τοῦτο σὰρξ γέγονεν. Οὐκοῦν [z] οὐκ αὐτὸ [a] καθ' αὑτό· 25
γένεσις γὰρ [b] ἂν ἦν, οὐκ αὔξησις· ἀλλὰ τὸ αὐξανόμενον τούτῳ. Τί οὖν παθὸν ὑπὸ τούτου ηὐξήθη; [2] Ἡ μιχθέν, [c] ὥσπερ οἴνῳ [d] εἴ τις [e] ἐπιχέοι ὕδωρ, ὁ δὲ [f] δύναιτο οἶνον ποιεῖν τὸ μιχθέν; [g] Καὶ ὥσπερ τὸ πῦρ ἁψάμενον τοῦ καυστοῦ, οὕτως ἐν τῷ αὐξανομένῳ καὶ ὄντι ἐντελεχείᾳ σαρκὶ τὸ ἐνὸν αὐξητικὸν προσελθόντος δυνάμει σαρκὸς ἐποίησεν ἐντελεχείᾳ [h] σάρκα. Οὐκοῦν ἅμα ὄντος· εἰ γὰρ χωρίς, γένεσις. [i] Ἔστι 26
μὲν γὰρ οὕτω πῦρ ποιῆσαι ἐπὶ τὸ ὑπάρχον ἐπιθέντα ξύλα. [3] Ἀλλ' οὕτω μὲν αὔξησις, ὅταν δὲ αὐτὰ τὰ ξύλα ἀφθῇ, γένεσις. Ποσὸν δὲ τὸ μὲν καθόλου οὐ γίνεται, ὥσπερ οὐδὲ ζῷον ὃ μήτ' ἄνθρωπος [k] μήτε τῶν καθ' ἕκαστα· ἀλλ' ὡς ἐνταῦθα τὸ καθόλου, κἀκεῖ τὸ ποσόν. Σὰρξ [l] δὲ ἢ ὀστοῦν ἢ χεὶρ καὶ τούτων τὰ ὁμοιομερῆ. Προσελθόντος [m] μὲν δή τινος ποσοῦ, ἀλλ' οὐ σαρκὸς ποσῆς. [4] Ἡι μὲν οὖν δυνάμει 27
τὸ [n] συναμφότερον, οἷον ποσὴ σάρξ, ταύτῃ μὲν αὔξει· καὶ γὰρ ποσὴν [o] δεῖ [p] γενέσθαι καὶ σάρκα· ᾗ δὲ μόνον σάρξ, τρέφει· ταύτῃ [q] γὰρ διαφέρει τροφὴ καὶ αὔξησις τῷ λόγῳ. Διὸ τρέφεται μὲν ἕως ἂν σώζηται καὶ [r] φθίνῃ, [s] αὐξάνεται δὲ οὐκ ἀεί. Καὶ ἡ τροφὴ τῇ αὐξήσει τὸ αὐτὸ [t] μέν, τὸ [v] δ' εἶναι ἄλλο· ᾗ μὲν γάρ ἐστι τὸ προσιὸν δυνάμει ποσὴ σάρξ, ταύτῃ μὲν αὐξητικὸν σαρκός, ᾗ δὲ μόνον δυνάμει σάρξ, τροφή. Τοῦτο δὲ τὸ εἶδος ἄνευ ὕλης, οἷον ἄϋλος δύναμίς τις ἐν ὕλῃ 28
ἐστίν. [5] Ἐὰν [w] δέ τις [x] προσίῃ ὕλη, οὖσα δυνάμει ἄϋλος, ἔχουσα καὶ τὸ ποσὸν δυνάμει, οὗτοι ἔσονται μείζους ἄϋλοι.

[x] ἀπορήσαι E. [y] τὸ om. E. [z] οὐκ] οὐ τοῦτ' E.F.H. [a] καθ' αὑτὸ om. E. [b] ἂν om. F. [c] ὥσπερ ἂν οἴνῳ H, ὥσπερ ὑγρῷ E. [d] εἰ om. E. εἴ τις ante οἴνῳ ponit L. [e] ἐπιχέαι H. [f] δύνατο E, δύναται F. [g] καὶ om. E.F.L. [h] σάρκα om. E. [i] ἔστι μὲν—ἀφθῇ, γένεσις om. L. [k] μήτε τι τῶν H. [l] δὲ ἢ] δὲ γοῦν rc. L. [m] μὲν δή om. L. [n] ἀμφότερον E. [o] δεῖ] ἀεὶ E. [p] γίνεσθαι E.H.L. [q] γὰρ] καὶ γὰρ F, καὶ γὰρ ταύτῃ E. [r] φθίνει F, φθῖνον L. [s] αὔξεται F.H. [t] μέν, τὸ] μέν, τῷ F. [v] δ' om. E. [w] δή E. [x] προσίοι F.

[1]Ἐὰν δὲ μηκέτι ποιεῖν [y]δύνηται, ἀλλ' οἷον [z]ὕδωρ οἴνῳ ἀεὶ πλεῖον μιγνύμενον τέλος ὑδαρῆ ποιεῖ καὶ ὕδωρ, τότε φθίσιν [a]ποιεῖται τοῦ ποσοῦ, τὸ δ' εἶδος μένει.

6 [b][1]Ἐπεὶ δὲ πρῶτον δεῖ περὶ τῆς ὕλης καὶ τῶν καλουμένων στοιχείων εἰπεῖν, εἴτ' ἔστιν εἴτε μή, καὶ πότερον ἀΐδιον ἕκαστον ἢ [c]γίγνεταί [d]πως, καὶ εἰ γίνεται, πότερον ἐξ ἀλλήλων [e]γίνεται πάντα τὸν αὐτὸν τρόπον ἤ τι [f]πρῶτον ἓν αὐτῶν ἐστίν, ἀνάγκη [g]δὴ [h]πρότερον εἰπεῖν περὶ ὧν ἀδιορίστως λέ-
2 γεται νῦν. Πάντες γὰρ οἵ [i]τε τὰ στοιχεῖα γεννῶντες καὶ οἱ τὰ ἐκ τῶν στοιχείων διακρίσει χρῶνται καὶ συγκρίσει καὶ τῷ ποιεῖν [k]καὶ πάσχειν. [1]Ἔστι δ' ἡ σύγκρισις μίξις· πῶς δὲ μίγνυσθαι λέγομεν, οὐ διώρισται σαφῶς. [1]Ἀλλὰ μὴν οὐδ' ἀλλοιοῦσθαι δυνατόν, [l]οὐδὲ διακρίνεσθαι καὶ συγκρίνεσθαι, μηδενὸς ποιοῦντος μηδὲ πάσχοντος· καὶ γὰρ οἱ πλείω τὰ στοιχεῖα ποιοῦντες γεννῶσι [m]τῷ ποιεῖν [n]καὶ πάσχειν
3 [o]ὑπ' ἀλλήλων. [p]Καίτοι ἐξ ἑνὸς ἀνάγκη λέγειν τὴν ποίησιν, καὶ τοῦτ' ὀρθῶς λέγει Διογένης, ὅτι εἰ μὴ [q]ἐξ ἑνὸς ἦν ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ [r]τὸ πάσχειν ὑπ' ἀλλήλων, οἷον τὸ θερμὸν ψύχεσθαι καὶ [s]τοῦτο θερμαίνεσθαι πάλιν· οὐ γὰρ ἡ θερμότης μεταβάλλει καὶ ἡ ψυχρότης εἰς ἄλληλα, ἀλλὰ δῆλον ὅτι τὸ ὑποκείμενον. [1]Ὥστε ἐν οἷς τὸ ποιεῖν [t]ἐστὶ καὶ [v]τὸ πάσχειν, ἀνάγκη τούτων μίαν εἶναι τὴν ὑπο-
4 κειμένην φύσιν. Τὸ μὲν οὖν πάντ' [w]εἶναι τοιαῦτα φάσκειν οὐκ ἀληθές, ἀλλ' ἐν ὅσοις τὸ ὑπ' ἀλλήλων ἐστίν. [1]Ἀλλὰ μὴν εἰ περὶ τοῦ ποιεῖν καὶ πάσχειν καὶ περὶ μίξεως θεωρητέον, ἀνάγκη καὶ περὶ ἁφῆς· οὔτε γὰρ ποιεῖν ταῦτα καὶ πάσχειν δύναται κυρίως ἃ μὴ οἷόν τε [x]ἅψασθαι ἀλλήλων, οὔτε μὴ [y]ἁψάμενά πως ἐνδέχεται μιχθῆναι πρῶτον. [1]Ὥστε

[y] δύναται E.F. [z] οἴνῳ ὕδωρ E.L. [a] ποιήσει H, om. E. [b] ἐπειδὴ F. [c] γίγνονται E. [d] πως καὶ εἰ γίνεται om. pr. E. [e] γίγνονται E. [f] πρότερον F.H. [g] δὴ om. E. [h] πρῶτον L. [i] τε om. L. [k] καὶ τῷ πάσχειν F.H. [l] οὐδὲ γὰρ διακρίνεσθαι H. [m] τὸ E. [n] καὶ τῷ πάσχειν H. [o] ὑπ' ἀλλήλων om. E. [p] καίτοι] καὶ τοῖς E.F.H.L. [q] ἦν ἐξ ἑνὸς F.H. [r] τὸ ante πάσχειν om. L. [s] τοῦτο] τὸ ὕδωρ E. [t] ἐστὶ om. F.H. [v] τὸ om. E. [w] εἶναι om. L, post τοιαῦτα ponunt F.H. [x] ἀλλήλων ἅψασθαι F. [y] ἁψάμενα ἀλλήλων πως E.

[z] περὶ τριῶν τούτων διοριστέον, τί ἁφὴ καὶ τί μίξις καὶ τί ποίησις. [1]Ἀρχὴν δὲ λάβωμεν τήνδε. [1]Ἀνάγκη γὰρ [a] τῶν 5
ὄντων [b] ὅσοις ἐστὶ μίξις, εἶναι ταῦτ' ἀλλήλων ἁπτικά· κἂν
εἴ τι [c] ποιεῖ, τὸ δὲ [d] πάσχει κυρίως, καὶ τούτοις ὡσαύτως.
Διὸ πρῶτον λεκτέον περὶ ἁφῆς. Σχεδὸν μὲν οὖν, ὥσπερ
καὶ τῶν ἄλλων ὀνομάτων ἕκαστον λέγεται πολλαχῶς, καὶ τὰ
μὲν ὁμωνύμως τὰ δὲ θάτερα ἀπὸ [e] τῶν ἑτέρων καὶ τῶν προ-
τέρων, οὕτως ἔχει καὶ περὶ ἁφῆς. [v]Ὅμως δὲ τὸ κυρίως λεγό- 6
μενον ὑπάρχει τοῖς ἔχουσι θέσιν. Θέσις δ' οἵσπερ καὶ τόπος·
καὶ γὰρ τοῖς μαθηματικοῖς ὁμοίως ἀποδοτέον ἁφὴν καὶ τό-
πον, εἴτ' [f] ἐστὶ κεχωρισμένον ἕκαστον αὐτῶν εἴτ' [g] ἄλλον
τρόπον. Εἰ οὖν ἐστίν, ὥσπερ διωρίσθη πρότερον, τὸ ἅπτε-
σθαι τὸ τὰ ἔσχατα ἔχειν ἅμα, ταῦτα ἂν [h] ἅπτοιτο ἀλλήλων
ὅσα διωρισμένα μεγέθη καὶ θέσιν ἔχοντα ἅμα ἔχει τὰ ἔσχα-
τα. [1]Ἐπεὶ δὲ θέσις μὲν ὅσοις καὶ τόπος ὑπάρχει, τόπου δὲ 7
διαφορὰ [i] πρώτη τὸ ἄνω [k] καὶ κάτω καὶ τὰ τοιαῦτα τῶν ἀν-
τικειμένων, ἅπαντα [l] τὰ ἀλλήλων ἁπτόμενα βάρος ἂν [m] ἔχοι
ἢ κουφότητα, ἢ ἄμφω ἢ θάτερον. Τὰ δὲ τοιαῦτα παθητικὰ
καὶ ποιητικά· ὥστε φανερὸν ὅτι ταῦτα ἅπτεσθαι πέφυκεν
ἀλλήλων, ὧν διῃρημένων μεγεθῶν ἅμα τὰ ἔσχατά ἐστιν,
ὄντων [n] κινητικῶν καὶ κινητῶν ὑπ' ἀλλήλων. [1]Ἐπεὶ δὲ τὸ 8
κινοῦν οὐχ ὁμοίως κινεῖ τὸ κινούμενον, ἀλλὰ τὸ μὲν ἀνάγκη
κινούμενον καὶ αὐτὸ κινεῖν, τὸ δ' ἀκίνητον ὄν, δῆλον ὅτι καὶ
ἐπὶ τοῦ ποιοῦντος ἐροῦμεν ὡσαύτως· καὶ γὰρ τὸ κινοῦν [o] ποι-
εῖν τί φασι καὶ τὸ ποιοῦν [p] κινεῖν. Οὐ μὴν ἀλλὰ διαφέρει
[q] γε καὶ δεῖ διορίζειν· οὐ γὰρ οἷόν τε [r] πᾶν τὸ κινοῦν ποιεῖν,
εἴπερ τὸ ποιοῦν ἀντιθήσομεν τῷ πάσχοντι. Τοῦτο δ' οἷς ἡ 9
κίνησις πάθος. Πάθος δὲ καθ' ὅσον ἀλλοιοῦται μόνον, οἷον
τὸ [s] λευκὸν καὶ τὸ θερμόν· ἀλλὰ τὸ [t] κινεῖν ἐπὶ [v] πλέον τοῦ

[z] περὶ τῶν τοιούτων διοριστέον H. [a] τῶν ὄντων post μίξις E. [b] ὅ-
σοις] οἷς E.H. [c] ποιῇ F.H.L. [d] πάσχῃ H. [e] τῶν om. F.
[f] ἔσται L. [g] τρόπον ἄλλον E. [h] ἅπτοιντο F. [i] πρώτη post κάτω F.
[k] καὶ τὸ κάτω F.H. [l] τὰ om. E. [m] ἔχῃ F. [n] κινητῶν καὶ κινητικῶν
F.H.L. [o] κινεῖν L. [p] ποιεῖν L. [q] ει γε καὶ corr. E. loco plurium
capace. [r] τὸ κινοῦν πᾶν F.H. [s] θερμὸν καὶ τὸ λευκόν F. [t] κινοῦν E.
[v] πλεῖον H.

ποιεῖν ἐστίν. Ἐκεῖνο δ' οὖν φανερόν, ὅτι ἔστι μὲν ὡς τὰ [w]κινοῦντα τῶν κινητῶν ἅπτοιτ' ἄν, ἔστι δ' ὡς οὔ. Ἀλλ' ὁ διορισμὸς τοῦ ἅπτεσθαι καθόλου μὲν ὁ τῶν θέσιν ἐχόντων καὶ τοῦ μὲν κινητικοῦ τοῦ δὲ κινητοῦ, πρὸς ἄλληλα δὲ [x]κινητικοῦ καὶ κινητοῦ, ἐν οἷς ὑπάρχει τὸ ποιεῖν καὶ [y]τὸ πάσχειν.
10 Ἔστι μὲν οὖν ὡς ἐπὶ τὸ πολὺ τὸ ἁπτόμενον ἁπτομένου ἁπτόμενον· καὶ γὰρ κινεῖ κινούμενα πάντα σχεδὸν τὰ ἐμποδών, ὅσοις ἀνάγκη καὶ φαίνεται τὸ ἁπτόμενον ἅπτεσθαι ἁπτομένου· [z]ἔστι δ' ὡς ἐνίοτέ φαμεν τὸ κινοῦν ἅπτεσθαι [a]μόνου τοῦ κινουμένου, τὸ δ' ἁπτόμενον μὴ ἅπτεσθαι ἁπτομένου· ἀλλὰ διὰ τὸ κινεῖν κινούμενα τὰ [b]ὁμογενῆ, ἀνάγκη
11 [c]δοκεῖ εἶναι ἁπτομένου ἅπτεσθαι. Ὥστε εἴ τι κινεῖ ἀκίνητον ὄν, [d]ἐκεῖνο μὲν [e]ἂν ἅπτοιτο τοῦ κινητοῦ, [f]ἐκείνου δὲ οὐδέν· φαμὲν γὰρ ἐνίοτε τὸν λυποῦντα ἅπτεσθαι ἡμῶν, ἀλλ' οὐκ αὐτοὶ ἐκείνου. Περὶ μὲν οὖν ἁφῆς τῆς ἐν τοῖς φυσικοῖς διωρίσθω τοῦτον τὸν τρόπον.

7 Περὶ δὲ τοῦ ποιεῖν καὶ πάσχειν λεκτέον ἐφεξῆς. Παρειλήφαμεν δὲ παρὰ τῶν [g]πρότερον [h]ὑπεναντίους ἀλλήλοις λόγους. Οἱ μὲν γὰρ πλεῖστοι τοῦτό γε ὁμονοητικῶς λέγουσιν, ὡς τὸ μὲν ὅμοιον ὑπὸ τοῦ ὁμοίου πᾶν ἀπαθές ἐστι διὰ τὸ μηδὲν μᾶλλον ποιητικὸν ἢ παθητικὸν εἶναι θάτερον θατέρου (πάντα γὰρ ὁμοίως [i]ὑπάρχειν ταὐτὰ τοῖς ὁμοίοις), τὰ δ' ἀνόμοια καὶ [k]τὰ διάφορα ποιεῖν καὶ πάσχειν [l]εἰς ἄλ-
2 ληλα [m]πέφυκεν. Καὶ γὰρ ὅταν τὸ ἔλαττον πῦρ ὑπὸ τοῦ πλείονος φθείρηται, διὰ τὴν ἐναντίωσιν [n]τοῦτό φασι πάσχειν· ἐναντίον γὰρ [o]εἶναι τὸ πολὺ τῷ ὀλίγῳ. Δημόκριτος δὲ παρὰ τοὺς ἄλλους ἰδίως ἔλεξε μόνος· φησὶ γὰρ [p]τὸ αὐτὸ [q]καὶ ὅμοιον εἶναι τό τε ποιοῦν καὶ τὸ πάσχον· οὐ γὰρ [r]ἐγχωρεῖν τὰ ἕτερα καὶ διαφέροντα πάσχειν ὑπ' ἀλλήλων,

[w] κινητικὰ H, ἀκίνητα F, incerto E. [x] κινητοῦ καὶ κινητικοῦ E. [y] τὸ post καὶ om. E.L. [z] ἔστι—ἅπτεσθαι ἁπτομένου om. F. [a] μόνον E.L. [b] ὁμοιογενῆ E.H. [c] δοκεῖν E.F.H.L. [d] κεῖνο E. [e] ἂν om. H. [f] κείνου E. [g] προτέρων F.H. [h] ὑπεναντίοις L. [i] ὑπάρχει F.H. [k] τὰ om. F. [l] εἰς om. E.H. [m] πεφυκέναι E.H. [n] πάσχειν τοῦτό φασιν E. [o] τὸ πολὺ εἶναι L. [p] ταυτὸ L. [q] καὶ om. E. [r] ἐγχωρεῖ E.

ἀλλὰ κἂν ἕτερα ὄντα ποιῇ [s]τι [t]εἰς ἄλληλα, οὐχ ἧ ἕτερα ἀλλ' ἧ ταὐτόν τι ὑπάρχει, ταύτῃ τοῦτο συμβαίνειν [v]αὐτοῖς. Τὰ μὲν οὖν λεγόμενα [w]ταῦτ' ἐστίν, ἐοίκασι δὲ οἱ τοῦτον τὸν 3
τρόπον λέγοντες ὑπεναντία φαίνεσθαι λέγειν. Αἴτιον δὲ τῆς ἐναντιολογίας ὅτι δέον ὅλον τι θεωρῆσαι μέρος τι τυγχάνουσι λέγοντες [x]ἑκάτεροι· τό τε γὰρ ὅμοιον [y]καὶ τὸ πάντῃ πάντως ἀδιάφορον εὔλογον μὴ πάσχειν ὑπὸ τοῦ ὁμοίου μηθέν· τί [z]γὰρ μᾶλλον [a]θάτερον ἔσται ποιητικὸν ἢ θάτερον; εἴτε ὑπὸ τοῦ ὁμοίου [b]τι πάσχειν δυνατόν, καὶ αὐτὸ ὑφ' [c]αὑτοῦ. Καίτοι [d]τούτων [e]οὕτως ἐχόντων οὐδὲν ἂν εἴη οὔτε 4
ἄφθαρτον οὔτε ἀκίνητον, εἴπερ τὸ ὅμοιον ἧ ὅμοιον ποιητικόν. Αὐτὸ γὰρ [f]αὐτὸ κινήσει πᾶν, τό τε παντελῶς ἕτερον καὶ τὸ [g]μηθαμῇ ταὐτὸν ὡσαύτως. Οὐδὲν γὰρ ἂν 5
πάθοι λευκότης ὑπὸ γραμμῆς ἢ γραμμὴ ὑπὸ λευκότητος, πλὴν εἰ [h]μή που κατὰ συμβεβηκός, οἷον εἰ συμβέβηκε λευκὴν ἢ [i]μέλαιναν εἶναι τὴν γραμμήν· οὐκ ἐξίστησι γὰρ [k]ἄλληλα τῆς φύσεως ὅσα μήτ' ἐναντία μήτ' ἐξ ἐναντίων ἐστίν. [l]Ἀλλ' 6
[l]ἐπεὶ οὐ τὸ τυχὸν [m]πέφυκε πάσχειν καὶ ποιεῖν, ἀλλ' ὅσα [n]ἢ ἐναντία [o]ἐστὶν ἢ ἐναντίωσιν ἔχει, ἀνάγκη [p]καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον τῷ γένει μὲν ὅμοιον εἶναι καὶ ταὐτό, τῷ δ' εἴδει ἀνόμοιον καὶ ἐναντίον· [q]πέφυκε γὰρ σῶμα μὲν ὑπὸ σώματος, χυμὸς δ' ὑπὸ χυμοῦ, χρῶμα δ' ὑπὸ χρώματος πάσχειν, ὅλως δὲ τὸ [r]ὁμογενὲς ὑπὸ τοῦ [s]ὁμογενοῦς. Τούτου δ' αἴτιον ὅτι τἀναντία ἐν [t]ταὐτῷ γένει πάντα. Ποιεῖ δὲ καὶ 7
πάσχει τἀναντία ὑπ' ἀλλήλων. [v]Ὥστ' ἀνάγκη πῶς μὲν εἶναι ταὐτὰ τό τε ποιοῦν καὶ τὸ πάσχον, πῶς δ' ἕτερα καὶ ἀνόμοια ἀλλήλοις. [1]Ἐπεὶ δὲ [v]καὶ τὸ πάσχον καὶ τὸ ποιοῦν τῷ

[s] τι om. L. [t] εἰς om. E.H. [v] αὐτοῖς] ἀλλήλοις H. [w] τοιαῦτα L. [x] ἀμφότεροι F. [y] καὶ τὸ] τὸ καὶ τὸ E. ante duas deletas. [z] γὰρ om. E. [a] ἔσται θάτερον E.L. [b] πάσχειν τι F.H. [c] ἑαυτοῦ F. [d] τούτων] τῶν E. [e] οὕτως ἐχόντων] ὄντων οὕτως F.H, οὕτως E. [f] ἑαυτὸ F.H. [g] μηδαμῶς F. [h] μή που om. E. [i] μέλανα F. [k] ἄλληλα] ἑαυτὰ F.H. [l] ἐπειδὴ F. [m] πέφυκε] γρ. ἔοικεν E. [n] ἢ ἐναντία ἐστιν post ἔχει E. [o] ἐστὶν om. L. [p] καὶ post ἀνάγκη om. E.L. [q] πέφυκε μὲν γὰρ E. [r] ὁμοιογενὲς H. [s] ὁμοιογενοῦς E.H. [t] τῷ αὐτῷ F.H.L. [v] καὶ post δὲ om. E.L.

μὲν γένει ταὐτὰ [w] καὶ ὅμοια τῷ δ' εἴδει ἀνόμοια, τοιαῦτα
δὲ τἀναντία, φανερὸν [x] ὅτι παθητικὰ καὶ ποιητικὰ ἀλλήλων
ἐστὶ τά τ' ἐναντία καὶ τὰ μεταξύ· καὶ γὰρ ὅλως φθορὰ
8 καὶ γένεσις ἐν τούτοις. Διὸ καὶ εὔλογον ἤδη τό τε πῦρ θερ-
μαίνειν καὶ τὸ ψυχρὸν ψύχειν, καὶ ὅλως [y] τὸ ποιητικὸν ὁμοι-
οῦν [z] ἑαυτῷ τὸ πάσχον· τό τε γὰρ ποιοῦν καὶ τὸ πάσχον
ἐναντία ἐστί, καὶ [a] ἡ γένεσις εἰς τοὐναντίον. [v]Ωστ' ἀνάγκη
τὸ πάσχον εἰς τὸ ποιοῦν μεταβάλλειν· οὕτω γὰρ [b] ἔσται εἰς
τοὐναντίον ἡ γένεσις. Καὶ κατὰ λόγον [c] δὴ τὸ μὴ ταὐτὰ λέ-
9 γοντας ἀμφοτέρους [d] ὅμως ἅπτεσθαι τῆς φύσεως. Λέγομεν
γὰρ πάσχειν [e] ὁτὲ μὲν τὸ ὑποκείμενον, [f] οἷον ὑγιάζεσθαι τὸν
ἄνθρωπον καὶ θερμαίνεσθαι [g] καὶ ψύχεσθαι καὶ τἆλλα τὸν
αὐτὸν τρόπον, ὁτὲ δὲ θερμαίνεσθαι μὲν τὸ ψυχρόν, ὑγιά-
ζεσθαι δὲ τὸ κάμνον· ἀμφότερα δ' ἐστὶν ἀληθῆ. Τὸν αὐτὸν
δὲ τρόπον καὶ ἐπὶ τοῦ ποιοῦντος· ὁτὲ μὲν γὰρ [h] τὸν ἄνθρω-
πόν φαμεν θερμαίνειν, ὁτὲ δὲ τὸ θερμόν· ἔστι μὲν γὰρ ὡς
10 [i] ἡ ὕλη πάσχει, ἔστι δ' ὡς [k] τοὐναντίον. Οἱ μὲν οὖν εἰς
ἐκεῖνο βλέψαντες ταὐτόν [l] τι δεῖν ᾠήθησαν τὸ ποιοῦν ἔχειν
καὶ τὸ πάσχον, οἱ δ' εἰς [m] θάτερα τοὐναντίον. Τὸν [n] αὐτὸν
δὲ λόγον ὑπολεπτέον εἶναι περὶ τοῦ ποιεῖν καὶ πάσχειν
ὅνπερ καὶ περὶ τοῦ [o] κινεῖν καὶ κινεῖσθαι. Διχῶς γὰρ λέ-
γεται καὶ τὸ κινοῦν· ἐν ᾧ τε γὰρ [p] ἡ ἀρχὴ τῆς κινήσεως,
δοκεῖ τοῦτο κινεῖν ([q] ἡ γὰρ ἀρχὴ πρώτη τῶν αἰτίων), καὶ
πάλιν τὸ ἔσχατον πρὸς τὸ κινούμενον καὶ τὴν γένεσιν.
11 [r]Ομοίως δὲ [r] καὶ περὶ τοῦ ποιοῦντος· καὶ γὰρ τὸν ἰατρόν
φαμεν ὑγιάζειν καὶ τὸν οἶνον. Τὸ μὲν οὖν πρῶτον [s] κινοῦν
οὐδὲν κωλύει ἐν [t] μὲν κινήσει ἀκίνητον εἶναι· ἐπ' ἐνίων δὲ καὶ
12 ἀναγκαῖον· τὸ δ' ἔσχατον ἀεὶ κινεῖν κινούμενον. [1]Ἐπὶ δὲ

[w] καὶ τὰ ὅμοια L. [x] ὅτι τὰ π. E. [y] τὸ π.] τι π. E. [z] αὑτῷ E. [a] ἡ om. E. [b] ἔσται post γένεσις F. [c] δὲ E. [d] ὁμοίως E.H.L. [e] τοτὲ E. [f] οἷον τὸ ὑγ. L. [g] καὶ ψύχεσθαι] τὸν λίθον H. [h] τὸν om. F. [i] ἡ om. E. [k] τὸ ἐναντίον F.H.L. [l] τι om. F.H. [m] θάτερον F. [n] αὐτὸν τρόπον ὑπ. F. [o] κινεῖσθαι καὶ κινεῖν F.H. [p] ἡ om. E. [q] ἡ γὰρ om. E. [r] καὶ ante περὶ om. F. [s] κινοῦν om. E. [t] μὲν τῇ κ. F.

ποιήσεως τὸ μὲν πρῶτον ἀπαθές, τὸ δ' ἔσχατον καὶ αὐτὸ πάσχον· ὅσα γὰρ μὴ [v] ἔχει τὴν αὐτὴν ὕλην, ποιεῖ ἀπαθῆ ὄντα, οἷον ἡ ἰατρική· [w] αὐτὴ γὰρ ποιοῦσα ὑγίειαν οὐδὲν πάσχει ὑπὸ τοῦ ὑγιαζομένου. Τὸ δὲ [x] σιτίον ποιοῦν καὶ αὐτὸ πάσχει [y] τι· ἢ γὰρ θερμαίνεται [z] ἢ ψύχεται ἢ ἄλλο τι πάσχει ἅμα ποιοῦν. [α] Ἔστι δὲ ἡ μὲν ἰατρικὴ ὡς ἀρχή, τὸ δὲ [a] σιτίον τὸ ἔσχατον καὶ ἀπτόμενον. [β] Ὅσα μὲν οὖν μὴ ἐν 13
ὕλῃ ἔχει τὴν μορφήν, ταῦτα [b] μὲν ἀπαθῆ τῶν ποιητικῶν, ὅσα δ' ἐν ὕλῃ, παθητικά. Τὴν μὲν γὰρ ὕλην λέγομεν ὁμοίως [c] ὡς εἰπεῖν τὴν αὐτὴν εἶναι τῶν ἀντικειμένων [d] ὁποτερουοῦν, ὥσπερ γένος ὄν, τὸ δὲ δυνάμενον θερμὸν εἶναι παρόντος τοῦ [e] θερμαντικοῦ καὶ πλησιάζοντος ἀνάγκη θερμαίνεσθαι· διὸ καθάπερ εἴρηται, τὰ μὲν τῶν ποιητικῶν ἀπαθῆ τὰ δὲ παθητικά. Καὶ ὥσπερ ἐπὶ κινήσεως, τὸν αὐτὸν [f] ἔχει τρόπον καὶ 14
ἐπὶ τῶν ποιητικῶν· ἐκεῖ τε γὰρ τὸ [g] πρώτως κινοῦν ἀκίνητον, καὶ ἐπὶ τῶν ποιητικῶν τὸ [h] πρῶτον ποιοῦν ἀπαθές. [γ] Ἔστι δὲ [i] τὸ ποιητικὸν αἴτιον ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. Τὸ δ' οὗ ἕνεκα, οὐ ποιητικόν. Διὸ [k] ἡ ὑγίεια οὐ ποιητικόν, εἰ 15
μὴ κατὰ μεταφοράν· καὶ γὰρ τοῦ μὲν ποιοῦντος [l] ὅταν ὑπάρχῃ, γίγνεταί τι τὸ πάσχον, τῶν δ' ἕξεων παρουσῶν οὐκέτι γίνεται, ἀλλ' ἔστιν [m] ἤδη· τὰ δ' εἴδη καὶ [n] τὰ τέλη ἕξεις τινές, ἡ δ' ὕλη ᾗ [o] ὕλη παθητικόν. Τὸ μὲν οὖν πῦρ ἔχει 16
ἐν ὕλῃ τὸ θερμόν· εἰ δέ τι [p] εἴη θερμὸν χωριστόν, τοῦτο οὐθὲν [q] ἂν πάσχοι. Τοῦτο μὲν οὖν ἴσως ἀδύνατον εἶναι χωριστόν· εἰ δ' [r] ἐστὶν ἕνια τοιαῦτα, ἐπ' ἐκείνων ἂν εἴη τὸ λεγόμενον ἀληθές. Τί μὲν οὖν τὸ ποιεῖν [s] καὶ πάσχειν ἐστὶ καὶ τίσιν ὑπάρχει καὶ διὰ τί καὶ πῶς, διωρίσθω τοῦτον τὸν τρόπον.

[v] ἔχει] πάσχει E. [w] αὕτη H.L. [x] σιτίον τὸ π. F.H. [y] τι om. F. [z] ἢ ψύχεται om. E. [a] σιτίον ὡς ἔσχ. L, σιτίον τὸ ὡς ἔσχ. H, ἔσχ. τὸ σιτίον F. [b] μὲν οὖν ἀπαθῆ E. [c] τὴν αὐτὴν ὡς εἰπεῖν F. [d] ὁποτερονοῦν E, ὁποτερωνοῦν H. [e] θερμαντικοῦ] θερμοῦ H. [f] τρόπον ἔχει F. [g] πρῶτον H. [h] πρώτως F.L. [i] τὸ μὲν π. L. [k] ἡ om. F. [l] ὅταν γὰρ ὑπάρχῃ E. [m] ἤδη] εἴδη E. [n] τὰ om. F. [o] ὕλη τὸ παθ. L. [p] χωριστὸν θερμὸν εἴη F, εἴη χ. θερμὸν H. [q] ἂν om. F. [r] ἐστὶν om. H. [s] καὶ τὸ π. H.

8 Πῶς δὲ ἐνδέχεται τοῦτο συμβαίνειν, πάλιν [t]λέγωμεν. Τοῖς μὲν οὖν δοκεῖ πάσχειν [v]ἕκαστον διά τινων πόρων εἰσιόντος τοῦ ποιοῦντος ἐσχάτου καὶ κυριωτάτου, καὶ τοῦτον τὸν τρόπον [w]καὶ ὁρᾶν καὶ ἀκούειν ἡμᾶς φασὶ καὶ τὰς ἄλλας αἰσθήσεις αἰσθάνεσθαι πάσας, ἔτι [x]δὲ ὁρᾶσθαι διά τε ἀέρος καὶ [y]ὕδατος καὶ τῶν διαφανῶν, διὰ τὸ πόρους ἔχειν ἀοράτους [z]μὲν διὰ [a]μικρότητα, πυκνοὺς δὲ καὶ κατὰ [b]στοῖχον, καὶ 2 μᾶλλον ἔχειν τὰ διαφανῆ μᾶλλον. Οἱ μὲν οὖν ἐπί [c]τινων οὕτω διώρισαν, ὥσπερ καὶ [d]Ἐμπεδοκλῆς, οὐ μόνον ἐπὶ τῶν ποιούντων καὶ πασχόντων, ἀλλὰ καὶ μίγνυσθαί [d]φασιν [e]ὅσων οἱ πόροι [f]σύμμετροι πρὸς ἀλλήλους [g]εἰσίν· ὁδῷ δὲ μάλιστα καὶ περὶ πάντων [h]ἑνὶ λόγῳ διωρίκασι Λεύκιππος καὶ Δημόκριτος, ἀρχὴν ποιησάμενοι κατὰ φύσιν ἥπερ ἐστίν. 3 [d]Ἐνίοις γὰρ τῶν ἀρχαίων ἔδοξε τὸ ὂν ἐξ ἀνάγκης ἓν εἶναι καὶ ἀκίνητον· τὸ μὲν γὰρ κενὸν οὐκ ὄν, κινηθῆναι δ' οὐκ ἂν δύνασθαι μὴ ὄντος κενοῦ κεχωρισμένου. Οὐδ' αὖ πολλὰ εἶναι μὴ ὄντος τοῦ διείργοντος. Τοῦτο [i]δ' οὐδὲν διαφέρειν, [k]εἴ τις οἴεται μὴ συνεχὲς εἶναι τὸ πᾶν ἀλλ' ἅπτεσθαι διῃρημένον, 4 τοῦ φάναι πολλὰ καὶ μὴ [l]ἓν εἶναι καὶ κενόν. Εἰ μὲν γὰρ πάντῃ διαιρετόν, οὐθὲν εἶναι ἕν, ὥστε οὐδὲ πολλά, ἀλλὰ κενὸν τὸ ὅλον· εἰ δὲ τῇ μὲν τῇ δὲ μή, πεπλασμένῳ τινὶ [m]τοῦτ' ἐοικέναι· μέχρι πόσου γὰρ καὶ διὰ τί τὸ μὲν οὕτως ἔχει τοῦ ὅλου καὶ πλῆρές ἐστι, τὸ δὲ διῃρημένον; [n]Ἔτι 5 ὁμοίως [o]φάναι ἀναγκαῖον μὴ εἶναι κίνησιν. [d]Ἐκ μὲν οὖν τούτων τῶν λόγων, [p]ὑπερβάντες τὴν αἴσθησιν καὶ [q]παριδόντες αὐτὴν ὡς τῷ λόγῳ δέον ἀκολουθεῖν, ἓν καὶ ἀκίνητον τὸ πᾶν εἶναί φασι καὶ ἄπειρον ἔνιοι· τὸ γὰρ πέρας περαίνειν 6 [r]ἂν πρὸς τὸ κενόν. Οἱ μὲν [s]οὖν οὕτως καὶ διὰ ταύτας τὰς

[t] λέγομεν H. [v] ἕκαστον post πόρων L. [w] καὶ ante ὁρᾶν om. E.F.L. [x] δὲ om. F. [y] ὕδατός τε καὶ διὰ τῶν F. [z] μὲν om. E. [a] σμικρότητα F.H.L. [b] στοιχεῖον pr. F. [c] τινος F. [d] φησιν L. [e] ὧν L, om. E. [f] σύμμετροι post εἰσίν F. [g] εἰσίν om. L. [h] ἑνὶ λόγῳ om. E. [i] δὲ μηδὲν E.L. [k] εἴ] ἢ εἴ L. [l] ἓν om. E. [m] τοῦτ' ἂν ἐοικέναι F, τοῦτο ἂν ἔοικε L. [n] ἔτι δ' ὁμοίως F.H.L. [o] φάναι om. E. [p] ὑπερβαίνοντες E.L. [q] ὑπεριδόντες F. [r] ἂν om. L. [s] οὖν om. E.

αἰτίας ἀπεφήναντο περὶ τῆς ἀληθείας· [t]ἐπεὶ δὲ ἐπὶ [v]μὲν τῶν λόγων δοκεῖ ταῦτα συμβαίνειν, ἐπὶ δὲ τῶν πραγμάτων μανίᾳ παραπλήσιον [w]εἶναι τὸ δοξάζειν οὕτως· οὐδένα γὰρ τῶν μαινομένων ἐξεστάναι τοσοῦτον ὥστε τὸ πῦρ [x]ἓν εἶναι δοκεῖν καὶ τὸν κρύσταλλον, ἀλλὰ μόνον τὰ καλὰ καὶ τὰ φαινόμενα [y]διὰ συνήθειαν, ταῦτ' ἐνίοις διὰ [z]τὴν μανίαν οὐθὲν δοκεῖ διαφέρειν. Λεύκιππος δ' [a]ἔχειν ᾠήθη λόγους οἵ τινες 7
πρὸς τὴν αἴσθησιν ὁμολογούμενα λέγοντες οὐκ ἀναιρήσουσιν οὔτε γένεσιν οὔτε φθορὰν οὔτε κίνησιν καὶ τὸ πλῆθος τῶν ὄντων. [f]Ὁμολογήσας δὲ ταῦτα μὲν τοῖς φαινομένοις, τοῖς δὲ τὸ ἓν κατασκευάζουσιν ὡς [b]οὔτε ἂν κίνησιν οὖσαν ἄνευ κενοῦ [c]τό τε κενὸν μὴ ὄν, καὶ τοῦ ὄντος οὐθὲν μὴ ὄν φησιν εἶναι. Τὸ [d]γὰρ κυρίως [e]ὂν [f]παμπληθὲς ὄν· ἀλλ' εἶναι [g]τὸ 8
τοιοῦτον οὐχ ἕν, ἀλλ' ἄπειρα τὸ πλῆθος [h]καὶ ἀόρατα διὰ σμικρότητα τῶν ὄγκων. Ταῦτα δ' ἐν τῷ κενῷ φέρεσθαι (κενὸν γὰρ εἶναι), καὶ συνιστάμενα μὲν γένεσιν ποιεῖν, διαλυόμενα δὲ φθοράν. Ποιεῖν δὲ καὶ πάσχειν ᾗ [i]τυγχάνουσιν ἁπτόμενα· ταύτῃ γὰρ οὐχ ἓν εἶναι. [k]Καὶ συντιθέμενα δὲ 9
καὶ περιπλεκόμενα γεννᾶν· ἐκ δὲ τοῦ κατ' ἀλήθειαν ἑνὸς οὐκ ἂν γενέσθαι πλῆθος, οὐδ' ἐκ τῶν ἀληθῶς πολλῶν ἕν, ἀλλ' εἶναι τοῦτ' ἀδύνατον, ἀλλ' ὥσπερ [j]Ἐμπεδοκλῆς καὶ τῶν ἄλλων τινές φασι πάσχειν [l]διὰ πόρων, οὕτω πᾶσαν ἀλλοίωσιν καὶ πᾶν τὸ πάσχειν τοῦτον γίνεσθαι τὸν τρόπον, διὰ τοῦ κενοῦ γινομένης τῆς διαλύσεως καὶ τῆς φθορᾶς, ὁμοίως δὲ καὶ τῆς αὐξήσεως, [m]ὑπεισδυομένων [n]στερεῶν. Σχεδὸν δὲ καὶ 10
[j]Ἐμπεδοκλεῖ ἀναγκαῖον λέγειν, ὥσπερ καὶ Λεύκιππός [o]φησιν· εἶναι γὰρ ἄττα [p]στερεά, ἀδιαίρετα δέ, εἰ μὴ πάντῃ [q]πόροι συνεχεῖς εἰσίν. Τοῦτο δ' ἀδύνατον· οὐθὲν γὰρ

[t] ἐπεὶ] ἔτι E.F.H.L. [v] τῶν λόγων μὲν E. [w] εἶναι] ἐστι F.H. [x] ἓν om. E. [y] διὰ τὴν σ. F. [z] τὴν om. F. [a] ᾠήθη ἔχειν F. [b] οὐκ E. [c] τό τε] ποιεῖν E. [d] γὰρ om. E. [e] ὂν] ἓν E. [f] παμπλῆρες E.F, πᾶν πλῆρες H. [g] τὸ om. H. [h] καὶ ἀόρατα—ὄγκων rc. in litura E. καὶ ἀόρατα post ὄγκων L. [i] τυγχάνει F. [k] καὶ ante συντ. om. L. [l] διὰ τῶν π. F.H. [m] εἰσδυομένων E, ὑποδυομένων F. [n] ἑτέρων E.H.L. [o] φασιν F. [p] στερεὰ καὶ ἀδ. E. [q] πόροις L.

[r] ἔσται [s] ἕτερον στερεὸν παρὰ τοὺς πόρους, ἀλλὰ πᾶν κενόν. [t] Ἀνάγκη ἄρα τὰ μὲν ἁπτόμενα εἶναι ἀδιαίρετα, τὰ δὲ μεταξὺ αὐτῶν κενά, οὓς ἐκεῖνος λέγει πόρους. Οὕτως δὲ καὶ Λεύ-
11 κιππος λέγει περὶ τοῦ ποιεῖν καὶ πάσχειν. Οἱ μὲν οὖν τρόποι καθ' οὓς τὰ μὲν ποιεῖ τὰ δὲ πάσχει, σχεδὸν οὗτοι λέγονται· καὶ περὶ μὲν τούτων, καὶ πῶς λέγουσι, δῆλον, καὶ πρὸς τὰς αὐτῶν θέσεις αἷς χρῶνται σχεδὸν ὁμολογουμένως φαίνεται συμβαῖνον. Τοῖς δ' ἄλλοις ἧττον, [t] οἷον [v] Ἐμπεδοκλεῖ τίνα τρόπον ἔσται [w] γένεσις καὶ φθορὰ καὶ ἀλλοίω-
12 σις, οὐ δῆλον. Τοῖς μὲν γάρ ἐστιν ἀδιαίρετα [x] τὰ πρῶτα τῶν σωμάτων, σχήματι διαφέροντα μόνον, ἐξ ὧν πρώτων σύγκειται καὶ εἰς ἃ ἔσχατα [y] διαλύεται· Ἐμπεδοκλεῖ δὲ τὰ μὲν ἄλλα φανερὸν ὅτι μέχρι τῶν στοιχείων ἔχει τὴν γένεσιν καὶ τὴν φθοράν, αὐτῶν δὲ τούτων πῶς γίνεται καὶ φθείρεται τὸ σωρευόμενον μέγεθος, οὔτε δῆλον [z] οὔτε ἐνδέχεται λέγειν αὐτῷ μὴ λέγοντι καὶ τοῦ πυρὸς εἶναι στοιχεῖον, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἁπάντων, ὥσπερ ἐν τῷ Τιμαίῳ γέγραφε Πλάτων· τοσοῦτον γὰρ διαφέρει τοῦ μὴ τὸν αὐτὸν τρόπον Λευκίππῳ λέγειν, ὅτι ὁ μὲν στερεὰ ὁ δ' ἐπίπεδα λέγει τὰ ἀδιαίρετα, καὶ ὁ μὲν ἀπείροις ὡρίσθαι σχήμασι τῶν ἀδιαιρέτων στερεῶν ἕκαστον, ὁ δὲ ὡρισμένοις, ἐπεὶ ἀδιαίρετά γε ἀμ-
13 φότεροι λέγουσι καὶ ὡρισμένα σχήμασιν. [t] Ἐκ δὴ τούτων αἱ γενέσεις καὶ [a] αἱ διακρίσεις Λευκίππῳ μὲν δύο τρόποι [b] ἂν εἶεν, διά τε τοῦ κενοῦ καὶ διὰ τῆς ἁφῆς (ταύτῃ γὰρ [c] διαιρετὸν ἕκαστον), [d] Πλάτωνι δὲ κατὰ τὴν ἁφὴν μόνον· κενὸν γὰρ
14 οὐκ εἶναί φησιν. Καὶ περὶ μὲν τῶν ἀδιαιρέτων ἐπιπέδων εἰρήκαμεν ἐν τοῖς πρότερον λόγοις· περὶ δὲ τῶν ἀδιαιρέτων στερεῶν τὸ μὲν ἐπὶ [e] πλέον [f] θεωρῆσαι τὸ συμβαῖνον ἀφείσθω [g] τὸ ἰδεῖν, ὡς δὲ μικρὸν παρεκβᾶσιν [h] εἰπεῖν, ἀναγκαῖον ἀπαθές τε ἕκαστον λέγειν τῶν ἀδιαιρέτων (οὐ γὰρ οἷόν τε πάσχειν

[r] ἔσται om. F. [s] ἕτερον om. E.L. [t] οἷον—μὲν γάρ margo F. [v] ἐμπεδοκλεῖ ἢ εἰ τίνα H. [w] γένεσις καὶ om. E.L. [x] τὰ om. E. [y] διαλύονται E. [z] οὔτε ἐνδ.] οὐκ ἐνδ. L. [a] αἱ ante διακρ. om. F. [b] εἶεν ἂν F. [c] ἀδιαίρετον H. [d] πλάτων H. [e] πλεῖον H. [f] θεωρεῖσθαι F. [g] τὰ H. [h] εἰπεῖν] ἐπεὶ E.

ἀλλ' ἢ διὰ τοῦ [κενοῦ) καὶ μηθενὸς ποιητικὸν πάθους· οὔτε γὰρ [i] ψυχρὸν οὔτε σκληρὸν [k] οἷόν τ' εἶναι. Καίτοι [l] τοῦτό 15
γε ἄτοπον, τὸ μόνον ἀποδοῦναι τῷ περιφερεῖ σχήματι τὸ θερμόν· ἀνάγκη γὰρ καὶ τοὐναντίον τὸ ψυχρὸν ἄλλῳ τινὶ προσήκειν τῶν σχημάτων. [j]Ατοπον δὲ κἂν εἰ ταῦτα μὲν [m] ὑπάρχει, λέγω δὲ θερμότης καὶ ψυχρότης, βαρύτης δὲ καὶ [n] κουφότης καὶ σκληρότης καὶ μαλακότης μὴ [o] ὑπάρξει· καίτοι βαρύτερόν γε κατὰ τὴν ὑπεροχὴν φησιν εἶναι Δημόκριτος ἕκαστον τῶν ἀδιαιρέτων, ὥστε δῆλον ὅτι καὶ θερμότερον. Τοιαῦτα δ' ὄντα μὴ πάσχειν ὑπ' ἀλλήλων ἀδύνατον, οἷον 16
ὑπὸ τοῦ πολὺ ὑπερβάλλοντος θερμοῦ τὸ ἠρέμα [p] θερμόν. [i]Αλλὰ μὴν εἰ σκληρόν, καὶ μαλακόν. Τὸ δὲ μαλακὸν [q] ἤδη τῷ πάσχειν τι λέγεται· τὸ [r] γὰρ ὑπεικτικὸν μαλακόν. [i]Αλλὰ μὴν ἄτοπον καὶ εἰ μηθὲν ὑπάρχει ἀλλ' [s] ἢ μόνον σχῆμα· καὶ εἰ ὑπάρχει, ἓν δὲ μόνον, οἷον τὸ μὲν [t] ψυχρὸν τὸ δὲ θερμόν· οὐδὲ γὰρ ἂν μία τις εἴη [v] ἡ φύσις αὐτῶν. [r]Ομοίως δὲ ἀδύνα- 17
τον καὶ [w] εἰ πλείω τῷ ἑνί· ἀδιαίρετον γὰρ ὂν ἐν τῷ αὐτῷ ἕξει τὰ πάθη, ὥστε καὶ ἐὰν πάσχῃ [x] εἴπερ ψύχεται, ταὐτῷ [y] τοι καὶ ἄλλο [z] τι ποιήσει ἢ πείσεται. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων παθημάτων· τοῦτο γὰρ καὶ τοῖς [a] στερεὰ καὶ τοῖς ἐπίπεδα λέγουσιν ἀδιαίρετα συμβαίνει τὸν αὐτὸν τρόπον· οὔτε γὰρ μανότερα οὔτε πυκνότερα οἷόν τε [b] γίνεσθαι κενοῦ μὴ ὄντος ἐν τοῖς ἀδιαιρέτοις. [j]Ετι δ' ἄτοπον καὶ 18
τὸ μικρὰ μὲν ἀδιαίρετα εἶναι, μεγάλα δὲ μή· νῦν μὲν γὰρ εὐλόγως τὰ [c] μείζω θραύεται [d] μᾶλλον τῶν μικρῶν· τὰ μὲν γὰρ διαλύεται [e] ῥᾳδίως, οἷον τὰ μεγάλα· [f] προσκόπτει γὰρ πολλοῖς· [g] τὸ δὲ ἀδιαίρετον ὅλως διὰ τί μᾶλλον ὑπάρχει τῶν μεγάλων τοῖς μικροῖς; [j]Ετι δὲ πότερον μία πάντων [h] ἡ 19

[i] σκληρὸν οὔτε ψυχρὸν F.H. [k] οἷόν τ'] δεῖ F. [l] γε τοῦτο F. [m] ὑπάρχη F.H.L. [n] σκληρότης καὶ κουφότης F. [o] ὑπάρξῃ L. [p] θερμόν] ψυχρόν E.H.L. [q] ἤδη om. E.L. [r] γὰρ] δ' F. [s] ἢ om. E. [t] ψυχρὸν] σκληρὸν E.H.L. [v] ἡ om. E.L. [w] εἰ om. F. [x] ἤπερ ψύχεται H, ἡ περιψύχεται F. [y] τοι] τι E.H.L. [z] τι om. E.H. [a] στ.] ἑτέρα E. [b] γενέσθαι F. [c] μεγάλα E. [d] μᾶλλον om. F. [e] ῥαδίως τῶν μικρῶν οἷον F. [f] προκόπτει F. [g] τὰ δὲ ἀδιαίρετα L. [h] ἡ om. E.

φύσις [i] ἐκείνων τῶν στερεῶν, ἢ διαφέρει θάτερα τῶν ἑτέρων, ὥσπερ ἂν εἰ τὰ μὲν εἴη πύρινα, τὰ δὲ γήϊνα τὸν ὄγκον; Εἰ μὲν γὰρ μία φύσις [k] ἐστὶν ἁπάντων, τί τὸ χωρίσαν; ἢ διὰ τί οὐ γίγνεται ἀψάμενα ἕν, ὥσπερ ὕδωρ ὕδατος ὅταν θίγῃ; Οὐδὲν γὰρ διαφέρει τὸ ὕστερον τοῦ [l] προτέρου. Εἰ δ' ἕτερα,
20 ποῖα [m] ταῦτα; Καὶ δῆλον ὡς [n] ταῦτα θετέον ἀρχὰς καὶ αἰτίας τῶν συμβαινόντων μᾶλλον ἢ τὰ σχήματα. [o] Ἔτι δὲ διαφέροντα τὴν φύσιν, κἂν [o] ποιῇ κἂν πάσχῃ θιγγάνοντα ἀλλήλων. [p] Ἔτι δὲ τί τὸ κινοῦν; Εἰ μὲν γὰρ ἕτερον, [q] παθητικόν· εἰ δ' αὐτὸ αὑτὸ ἕκαστον, ἢ διαιρετὸν ἔσται, [r] κατ' ἄλλο μὲν κινοῦν κατ' ἄλλο δὲ κινούμενον, ἢ κατὰ ταὐτὸ τἀναντία ὑπάρξει, καὶ ἡ ὕλη οὐ μόνον ἀριθμῷ ἔσται μία ἀλλὰ καὶ δυ-
21 νάμει. [v] Ὅσοι μὲν οὖν διὰ τῆς τῶν πόρων κινήσεώς φασι τὰ πάθη συμβαίνειν, εἰ μὲν [s] καὶ πεπληρωμένων τῶν πόρων, περίεργον οἱ πόροι· εἰ γὰρ ταύτῃ [t] τι πάσχει [v] τὸ πᾶν, κἂν μὴ πόρους ἔχον ἀλλ' αὐτὸ συνεχὲς ὂν πάσχοι τὸν αὐτὸν τρόπον.
22 [u] Ἔτι δὲ πῶς ἐνδέχεται [w] περὶ τοῦ διορᾶν συμβαίνειν ὡς λέγουσιν; Οὔτε γὰρ κατὰ τὰς ἁφὰς ἐνδέχεται [x] διιέναι διὰ τῶν διαφανῶν, οὔτε διὰ τῶν πόρων, εἰ πλήρης ἕκαστος· τί γὰρ διοίσει τοῦ μὴ [y] ἔχειν πόρους; Πᾶν γὰρ ὁμοίως [z] ἔσται πλῆρες. [a] Ἀλλὰ μὴν εἰ [a] καὶ κενὰ μὲν ταῦτα, ἀνάγκη δὲ σώματα
23 ἐν αὐτοῖς ἔχειν, ταὐτὸ συμβήσεται πάλιν. Εἰ δὲ τηλικαῦτα τὸ μέγεθος ὥστε μὴ δέχεσθαι σῶμα μηδέν, γελοῖον τὸ μικρὸν μὲν οἴεσθαι κενὸν εἶναι, [b] μέγα δὲ μὴ μηδ' ὁπηλικονοῦν, ἢ τὸ κενὸν ἄλλο τι οἴεσθαι λέγειν πλὴν χώραν σώματος, ὥστε
24 δῆλον ὅτι παντὶ σώματι τὸν ὄγκον [c] ἴσον ἔσται κενόν. [v] Ὅλως δὲ τὸ πόρους ποιεῖν περίεργον· εἰ μὲν γὰρ μηδὲν [d] ποιεῖ κατὰ τὴν ἁφήν, οὐδὲ διὰ τῶν πόρων ποιήσει διιόν· εἰ [e] δὲ τῷ ἅπτεσθαι, καὶ μὴ πόρων ὄντων τὰ μὲν πείσεται τὰ δὲ ποιήσει

[i] τῶν στερεῶν ἐκείνων L. [k] ἐστὶν om. E L. [l] πρότερον E.L. [m] ταύτας E. [n] τοιαῦτα F. [o] ποιοῖ κἂν πάσχοι E.H. [p] δὲ τί om. pr. E. [q] παθητικά E.H.L. [r] κατ' αὐτὸ E. [s] καὶ om. L. [t] τι post πάσχει F.H, om. L. [v] τὸ om. L. [w] περὶ—ἐνδέχεται margo F. [x] διεῖναι E. [y] πόρους ἔχειν F.H. [z] ἐστιν E. [a] καὶ om. E. [b] μέγα ante κενὸν F. [c] ἔσται κενὸν ἴσον H. [d] ποιεῖ—πόρων om. pr. E. [e] δὲ καὶ τῷ E.

τῶν πρὸς ἄλληλα τοῦτον τὸν τρόπον πεφυκότων. [v]Οτι μὲν οὖν οὕτως λέγειν τοὺς πόρους ὥς τινες ὑπολαμβάνουσιν, ἢ ψεῦδος ἢ μάταιον, φανερὸν ἐκ τούτων [f]ἐστίν· διαιρετῶν δ' [g]ὄντων πάντῃ τῶν σωμάτων πόρους ποιεῖν γελοῖον· ᾗ γὰρ διαιρετά, δύναται χωρίζεσθαι.

Τίνα δὲ τρόπον ὑπάρχει [h]τοῖς οὖσι γεννᾶν καὶ ποιεῖν καὶ 9
πάσχειν, λέγωμεν λαβόντες ἀρχὴν τὴν [i]πολλάκις εἰρημένην. Εἰ γάρ ἐστι τὸ μὲν δυνάμει τὸ δ' ἐντελεχείᾳ τοιοῦτον, [k]πέφυκεν οὐ τῇ μὲν τῇ δ' οὗ πάσχειν, ἀλλὰ πάντῃ καθ' ὅσον ἐστὶ τοιοῦτον, ἧττον δὲ καὶ μᾶλλον ᾗ τοιοῦτον μᾶλλόν ἐστι καὶ ἧττον· καὶ ταύτῃ πόρους ἄν τις [l]λέγοι [m]μᾶλλον, καθάπερ ἐν τοῖς μεταλλευομένοις διατείνουσι τοῦ παθητικοῦ φλέβες συνεχεῖς. Συμφυὲς μὲν οὖν ἕκαστον καὶ ἓν ὃν ἀπαθές. 2
[r]Ὁμοίως δὲ καὶ μὴ θιγγάνοντα μήτε αὐτῶν μήτ' ἄλλων, ἃ ποιεῖν πέφυκε καὶ πάσχειν. Λέγω δ' οἷον οὐ μόνον ἁπτόμενον [n]θερμαίνει τὸ πῦρ, ἀλλὰ κἂν [o]ἄποθεν ᾖ· τὸν μὲν γὰρ ἀέρα τὸ πῦρ, ὁ δ' [p]ἀὴρ τὸ σῶμα θερμαίνει, [q]πεφυκὼς ποιεῖν καὶ πάσχειν. Τὸ δὲ τῇ μὲν οἴεσθαι πάσχειν τῇ δὲ μή, διορίσαντας ἐν ἀρχῇ τοῦτο λεκτέον. Εἰ μὲν γὰρ μὴ [r]πάντῃ διαι- 3
ρετὸν τὸ μέγεθος, ἀλλ' ἔστι [s]σῶμα ἀδιαίρετον ἢ πλάτος, οὐκ ἂν εἴη πάντῃ παθητικόν, ἀλλ' [t]οὐδὲ συνεχὲς οὐδέν· εἰ δὲ τοῦτο ψεῦδος καὶ πᾶν σῶμα διαιρετόν, οὐδὲν διαφέρει διῃρῆσθαι μὲν ἅπτεσθαι δέ, ἢ διαιρετόν εἶναι· εἰ γὰρ διακρίνεσθαι δύναται κατὰ τὰς ἁφάς, ὥσπερ φασί τινες, κἂν μήπω ᾖ διῃρημένον, [v]ἔσται διῃρημένον· δυνατὸν [w]γὰρ διαιρεθῆναι· γίνεται γὰρ οὐθὲν ἀδύνατον. [v]Ολως δὲ [x]τὸ τοῦτον γίνεσθαι 4
τὸν [y]τρόπον σχιζομένων τῶν σωμάτων ἄτοπον· ἀναιρεῖ γὰρ οὗτος ὁ [z]λόγος ἀλλοίοσιν, ὁρῶμεν δὲ τὸ αὐτὸ σῶμα συνεχὲς ὂν ὁτὲ μὲν ὑγρὸν ὁτὲ δὲ πεπηγός, οὐ διαιρέσει καὶ συνθέσει

[f] ἐστι ante φανερὸν F. [g] ὄντων post σωμάτων F. [h] γεννᾶν τοῖς οὖσι F. [i] εἰρημένην πολλάκις F. [k] πέφυκεν om. F. [l] λέγῃ L, om. E. [m] μᾶλλον ᾗ καθάπερ E.F. [n] θερμαίνειν E. [o] ἄπωθεν E. [p] ἀὴρ καὶ τὸ E. [q] πεφ. καὶ π. F.H. [r] παντὶ E. [s] σῶμα μὲν ἀδ. H. [t] οὐδὲν οὐδὲ συνεχὲς F. [v] ἔσται διῃρημένον om. F. et corr. H. [w] γὰρ om. F. [x] τὸ om. E. [y] τρόπον μόνον σχιζ. E.H. [z] λόγος] τρόπος F.

τοῦτο παθόν, οὐδὲ τροπῇ [a]καὶ διαθιγῇ, καθάπερ [b]λέγει Δημόκριτος· οὔτε [c]γὰρ μετατεθὲν [d]οὔτε μεταβαλὸν τὴν φύσιν πεπηγὸς ἐξ ὑγροῦ γέγονεν· οὐδὲ νῦν [e]ὑπάρχει [f]τὰ σκληρὰ καὶ πεπηγότα ἀδιαίρετα τοὺς ὄγκους· ἀλλ' ὁμοίως ἅπαν ὑγρόν, ὁτὲ δὲ σκληρὸν καὶ πεπηγός ἐστιν. [g]Ἔτι δ' οὐδ' αὔξησιν οἷόν τ' εἶναι καὶ φθίσιν· οὐ γὰρ ὁτιοῦν ἔσται γεγονὸς μεῖζον, εἴπερ [g]ἔσται πρόσθεσις, καὶ μὴ πᾶν μεταβεβληκός, ἢ μιχθέντος τινὸς ἢ καθ' αὑτὸ [h]μεταβαλόντος. [i]Ὅτι μὲν οὖν ἔστι τὸ γεννᾶν καὶ τὸ ποιεῖν καὶ τὸ γίγνεσθαί τε καὶ πάσχειν ὑπ' ἀλλήλων, [i]καὶ τίνα τρόπον ἐνδέχεται, καὶ τίνα φασὶ μέν τινες οὐκ ἐνδέχεται δέ, διωρίσθω τοῦτον τὸν τρόπον.

Λοιπὸν δὲ [k]θεωρῆσαι περὶ μίξεως κατὰ τὸν αὐτὸν τρόπον τῆς μεθόδου· τοῦτο γὰρ ἦν τρίτον τῶν προτεθέντων ἐξ ἀρχῆς. Σκεπτέον δὲ τί τ' ἐστὶν ἡ μίξις καὶ τί τὸ μικτόν, καὶ τίσιν ὑπάρχει τῶν ὄντων καὶ πῶς, ἔτι δὲ πότερον ἔστι μίξις ἢ τοῦτο ψεῦδος· ἀδύνατον γάρ ἐστι [l]μιχθῆναί τι ἕτερον ἑτέρῳ, καθάπερ λέγουσί τινες· ὄντων μὲν γὰρ ἔτι τῶν μιχθέντων [m]καὶ μὴ ἠλλοιωμένων οὐδὲν μᾶλλον [n]νῦν μεμῖχθαί φασιν ἢ πρότερον, ἀλλ' ὁμοίως ἔχειν, θατέρου δὲ φθαρέντος οὐ μεμῖχθαι, ἀλλὰ τὸ μὲν εἶναι τὸ δ' οὐκ εἶναι, τὴν δὲ μίξιν ὁμοίως ἐχόντων εἶναι· τὸν αὐτὸν δὲ τρόπον [o]κἂν εἰ ἀμφοτέρων συνελθόντων ἔφθαρται τῶν μιγνυμένων ἑκάτερον· οὐ [p]γὰρ εἶναι μεμιγμένα τά γε ὅλως οὐκ ὄντα. Οὗτος μὲν οὖν ὁ λόγος ἔοικε ζητεῖν [q]διορίσαι [r]τί διαφέρει μίξις γενέσεως καὶ φθορᾶς, καὶ τί τὸ μικτὸν τοῦ γεννητοῦ καὶ φθαρτοῦ· δῆλον γὰρ ὡς δεῖ διαφέρειν, εἴπερ ἔστιν. [v]Ὥστε τούτων ὄντων φανερῶν τὰ διαπορηθέντα λύοιντ' ἄν. [t]Ἀλλὰ μὴν [s]οὐδὲ [t]τὴν ὕλην τῷ πυρὶ μεμῖχθαί φαμεν οὐδὲ μίγνυσθαι

[a] καὶ διαθηγῇ L, om. E. [b] φησὶ F. [c] γὰρ μεταταχθὲν οὔτε μετατεθὲν τῇ φύσει πεπηγὸς H. [d] οὔτε μεταβαλὸν om. E, post τὴν φύσιν ponit F. [e] οὔτ' ἐνυπάρχει F, οὐδ' ἐνυπάρχει H. [f] τὰ om. E.L. [g] ἐστι E.L. [h] μεταβάλλοντος F.H. [i] καὶ τίνα τρ. ἐνδ. om. pr. E. [k] θεωρητέον F.H.L. [l] ἕτερον ἑτέρῳ μιχθῆναί τι F. [m] καὶ τῶν μὴ H. [n] μεμ. φασὶ νῦν F.H.L. [o] κἂν] καὶ F.H. [p] γὰρ om. L. [q] διορίσαι om. F.L. [r] τίνι L. [s] οὔτε E. [t] τῷ πυρὶ τὴν ὕλην L.

καιομένην, οὔτ' αὐτὴν [v]αὐτῆς τοῖς μορίοις οὔτε τῷ πυρί, ἀλλὰ τὸ μὲν πῦρ γίνεσθαι, τὴν δὲ φθείρεσθαι. Τὸν αὐτὸν δὲ τρό- 4
πον [w]οὔτε τῷ σώματι τὴν τροφὴν [x]οὔτε τὸ σχῆμα [y]τῷ κηρῷ μιγνύμενον σχηματίζειν τὸν ὄγκον· οὐδὲ τὸ σῶμα καὶ τὸ λευκὸν οὐδ' ὅλως τὰ πάθη καὶ τὰς ἕξεις οἷόν τε [z]μίγνυσθαι τοῖς πράγμασιν· σωζόμενα γὰρ ὁρᾶται. [1]Ἀλλὰ μὴν οὐδὲ τὸ 5
λευκόν γε καὶ τὴν ἐπιστήμην ἐνδέχεται μιχθῆναι, οὐδ' ἄλλο τῶν μὴ χωριστῶν οὐδέν. [1]Ἀλλὰ τοῦτο λέγουσιν οὐ καλῶς οἱ πάντα ποτὲ ὁμοῦ [a]καὶ φάσκοντες εἶναι καὶ μεμῖχθαι· οὐ γὰρ [b]ἅπαν [c]ἅπαντι μικτόν, ἀλλ' ὑπάρχειν [d]δεῖ χωριστὸν ἑκάτερον τῶν μιχθέντων· τῶν δὲ παθῶν οὐθὲν χωριστόν. [1]Ἐπεὶ δ' ἐστὶ τὰ μὲν δυνάμει τὰ δ' ἐνεργείᾳ τῶν ὄντων, ἐνδέ- 6
χεται τὰ μιχθέντα εἶναί πως καὶ μὴ εἶναι, ἐνεργείᾳ [e]μὲν [f]ἑτέρου ὄντος τοῦ γεγονότος ἐξ αὐτῶν, δυνάμει δ' [g]ἔτι ἑκατέρου ἅπερ ἦσαν [h]πρὶν μιχθῆναι, καὶ οὐκ ἀπολωλότα· τοῦτο γὰρ ὁ λόγος διηπόρει πρότερον· φαίνεται δὲ τὰ μιγνύμενα [i]πρότερόν τε ἐκ κεχωρισμένων συνιόντα καὶ δυνάμενα χω-
ρίζεσθαι πάλιν. Οὔτε διαμένουσιν οὖν ἐνεργείᾳ ὥσπερ τὸ 7
σῶμα καὶ τὸ λευκόν, οὔτε [k]φθείρονται, οὔτε [l]θάτερον οὔτ' ἄμφω· σώζεται γὰρ ἡ δύναμις αὐτῶν. Διὸ ταῦτα μὲν ἀφείσθω· τὸ [m]δὲ συνεχὲς τούτοις ἀπόρημα διαιρετέον, πό-
τερον ἡ μίξις πρὸς τὴν αἴσθησιν [n]τί ἐστιν. [1]Ὅταν γὰρ 8
οὕτως εἰς μικρὰ διαιρεθῇ τὰ μιγνύμενα, καὶ τεθῇ παρ' ἄλληλα τοῦτον τὸν τρόπον ὥστε μὴ δῆλον ἕκαστον εἶναι τῇ αἰσθήσει, τότε μέμικται ἢ οὔ, ἀλλ' ἔστιν [o]ὥστε ὁτιοῦν παρ' ὁτιοῦν εἶναι μόριον τῶν μιχθέντων; Λέγεται μὲν οὖν ἐκείνως, οἷον κριθὰς μεμῖχθαι πυροῖς, [p]ὅταν ἠτισοῦν παρ' [q]ὁντινοῦν τεθῇ. Εἰ δ' ἐστὶ πᾶν σῶμα διαιρετόν, εἴπερ [r]καὶ ἔστι σῶμα σώματι 9

[v] αὐτοῖς F. [w] οὐδὲ E.L [x] οὐδὲ E.F.H.L. [y] τῷ] τὸ F. [z] μεμίχθαι F.H. [a] καὶ ante φάσκ. om. F.H. [b] ἅπαν om. E. [c] ἅπαντι om. F. [d] δεῖ τι χ. F. [e] μὲν] μὲν μὴ εἶναι H. [f] ὄντος ἑτέρου F. [g] ἔτι εἶναι ἑκάτερον H. [h] πρὶν μιχθῆναι margo F. [i] πρότερόν τε margo F. [k] φθείρεται E.L. [l] θάτερον] ἑκάτερον E, καθ' ἑκάτερον H.L. [m] συνεχὲς δὲ τούτου E. [n] τί om. F.H. [o] ὥστε] ὅτε H. [p] ὅτε H. [q] ὁντιναοῦν F.H, ἡντιναοῦν L. [r] καὶ om. E.F.L.

μικτὸν ὁμοιομερές, ὁτιοῦν ἂν δέοι μέρος [s]γίνεσθαι παρ' ὁτιοῦν.
[t]Ἐπεὶ δ' οὐκ ἔστιν εἰς [t]τἀλάχιστα διαιρεθῆναι, οὔτε σύνθεσις
ταὐτὸ καὶ μίξις ἀλλ' ἕτερον, δῆλον ὡς οὔτε κατὰ μικρὰ σωζό-
μενα δεῖ τὰ μιγνύμενα φάναι μεμῖχθαι· σύνθεσις γὰρ ἔσται
καὶ [v]οὐ κρᾶσις οὐδὲ μίξις, οὐδ' ἕξει τὸν αὐτὸν λόγον τῷ ὅλῳ
10 τὸ μόριον. Φαμὲν [w]δ', εἴπερ [x]δεῖ μεμῖχθαί [y]τι, τὸ μιχθὲν
ὁμοιομερὲς εἶναι, καὶ ὥσπερ τοῦ ὕδατος τὸ μέρος ὕδωρ, οὕτω
καὶ τοῦ κραθέντος. [z]Ἂν δ' ᾖ κατὰ μικρὰ σύνθεσις [z]ἡ μίξις,
[a]οὐθὲν συμβήσεται τούτων, ἀλλὰ μόνον μεμιγμένα πρὸς τὴν
αἴσθησιν· καὶ τὸ αὐτὸ τῷ μὲν μεμιγμένον, ἐὰν μὴ [b]βλέπῃ
ὀξύ, τῷ [c]Λυγκεῖ δ' οὐθὲν μεμιγμένον, οὔτε τῇ διαιρέσει,
[d]οὔτε ὁτιοῦν παρ' ὁτιοῦν μέρος· ἀδύνατον γὰρ οὕτω διαιρε-
11 θῆναι. [e]Ἡ οὖν οὐκ [e]ἔστι μίξις, ἢ λεκτέον τοῦτο πῶς ἐνδέχε-
ται [f]γίγνεσθαι πάλιν. [g]Ἔστι δή, ὡς [g]ἔφαμεν, τῶν ὄντων τὰ
μὲν ποιητικά, τὰ δ' ὑπὸ τούτων παθητικά. Τὰ μὲν οὖν ἀντι-
στρέφει, ὅσων ἡ αὐτὴ ὕλη ἐστί, καὶ ποιητικὰ ἀλλήλων καὶ
παθητικὰ ὑπ' ἀλλήλων· τὰ δὲ ποιεῖ ἀπαθῆ ὄντα, ὅσων μὴ ἡ
αὐτὴ ὕλη. Τούτων μὲν [h]οὖν οὐκ ἔστι μίξις· διὸ οὐδ' ἡ ἰατρικὴ
12 ποιεῖ ὑγίειαν οὐδ' ἡ ὑγίεια [i]μιγνυμένη τοῖς σώμασιν. Τῶν δὲ
ποιητικῶν καὶ παθητικῶν [k]ὅσα εὐδιαίρετα, πολλὰ μὲν ὀλίγοις
καὶ μεγάλα μικροῖς συντιθέμενα οὐ ποιεῖ μίξιν, ἀλλ' αὔξησιν
τοῦ κρατοῦντος· μεταβάλλει γὰρ θάτερον εἰς τὸ κρατοῦν,
[l]οἷον σταλαγμὸς οἴνου μυρίοις [m]χοεῦσιν ὕδατος οὐ μίγνυται·
λύεται γὰρ τὸ εἶδος καὶ [n]μεταβάλλει εἰς [o]τὸ πᾶν ὕδωρ.
13 [p]Ὅταν δὲ ταῖς δυνάμεσιν ἰσάζῃ πως, τότε μεταβάλλει μὲν
ἑκάτερον εἰς τὸ κρατοῦν ἐκ τῆς αὐτοῦ φύσεως, οὐ γίνεται δὲ
θάτερον, ἀλλὰ μεταξὺ [p]καὶ κοινόν. Φανερὸν οὖν ὅτι [q]ταὐτ'
ἐστὶ μικτὰ ὅσα ἐναντίωσιν ἔχει [r]τῶν ποιούντων· ταῦτα γὰρ

[s] γενέσθαι F. [t] τὰ ἐλάχιστα E.F.H. [v] οὐδὲ κρ. H. [w] δ'] δὲ δεῖν F.H. [x] δεῖ μεμῖχθαι] μέμικται F.H. μεμῖχθαι E. [y] τι om. E.H. [z] ἡ] ᾗ F. [a] οὐδὲν ἂν συμβήσεται H. [b] βλέπῃ τι ὀξὺ E.F.L. [c] λυγγεῖ H, γλυκεῖ E. [d] οὔτε] ὥσθ' vel ὥστε E.F.H.L. [e] ἔσται F. [f] πάλιν γίγνεσθαι F. [g] φαμεν E. [h] οὖν om. E. [i] μιγνύμενα L. [k] ὅσα ἐστὶν εὐδ. F. [l] οἷον] διὸ F.H. [m] χοεῦσιν E. [n] μεταβάλλεται E.L. [o] πᾶν τὸ H. [p] καὶ om. F. [q] ἐστὶ ταῦτα F.H. [r] τῶν om. F.

[s]δὴ [t]ὑπ' ἀλλήλων ἐστὶ παθητικά. Καὶ μικρὰ δὲ μικροῖς παρατιθέμενα μίγνυται μᾶλλον· ῥᾷον γὰρ καὶ θᾶττον ἄλληλα [v]μεθίστησιν. Τὸ δὲ πολὺ καὶ ὑπὸ πολλοῦ χρονίως τοῦτο δρᾷ. Διὸ τὰ εὐόριστα τῶν διαιρετῶν καὶ παθητικῶν μικτά 14
(διαιρεῖται γὰρ εἰς μικρὰ [w]ταῦτα ῥᾳδίως· τοῦτο γὰρ ἦν τὸ [x]εὐορίστῳ εἶναι), οἷον τὰ ὑγρὰ μικτὰ μάλιστα τῶν σωμάτων· εὐόριστον γὰρ μάλιστα τὸ ὑγρὸν τῶν διαιρετῶν, ἐὰν μὴ γλίσχρον [y]ᾖ· ταῦτα γὰρ δὴ πλείω καὶ μείζω [z]μόνον [a]ποιεῖ τὸν ὄγκον. [v]Οταν δ' [b]ᾖ θάτερον μόνον παθητικὸν [c]ἢ σφόδρα, τὸ 15
δὲ [d]πάμπαν ἠρέμα, [e]ἢ οὐθὲν πλεῖον τὸ μιχθὲν [f]ἐξ ἀμφοῖν ἢ μικρόν, ὅπερ συμβαίνει [g]περὶ τὸν καττίτερον καὶ τὸν χαλκόν. [u]Ενια γὰρ ψελλίζεται πρὸς ἄλληλα τῶν ὄντων καὶ ἐπαμφοτερίζει· φαίνεται γάρ πως καὶ μικτὰ ἠρέμα, καὶ ὡς θάτερον μὲν δεκτικὸν θάτερον δ' εἶδος. [h v]Οπερ ἐπὶ τούτων συμβαίνει· 16
ὁ γὰρ καττίτερος ὡς πάθος τι [i]ὢν [k]ἄνευ ὕλης τοῦ χαλκοῦ σχεδὸν ἀφανίζεται, [l]καὶ μιχθεὶς [m]ἅπεισι χρωματίσας μόνον. ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐφ' ἑτέρων. Φανερὸν τοίνυν ἐκ 17
τῶν εἰρημένων καὶ ὅτι ἔστι μίξις καὶ τί ἐστι καὶ διὰ τί, καὶ ποῖα μικτὰ τῶν ὄντων, ἐπείπερ ἐστὶν ἕνια τοιαῦτα [n]οἷα παθητικά τε ὑπ' ἀλλήλων καὶ εὐόριστα καὶ εὐδιαίρετα· ταῦτα γὰρ οὔτ' ἐφθάρθαι ἀνάγκη μεμιγμένα οὔτ' ἔτι ταὐτὰ ἁπλῶς εἶναι, οὔτε σύνθεσιν εἶναι τὴν μίξιν αὐτῶν, οὔτε πρὸς τὴν αἴσθησιν· ἀλλ' ἔστι μικτὸν μὲν [o]ὃ ἂν εὐόριστον ὂν παθητικὸν ᾖ καὶ ποιητικὸν καὶ τοιούτῳ μικτόν (πρὸς ὁμώνυμον γὰρ τὸ μικτόν), ἡ δὲ μίξις τῶν μικτῶν ἀλλοιωθέντων [p]ἕνωσις.

B.

Περὶ μὲν οὖν μίξεως καὶ ἁφῆς [q]καὶ τοῦ ποιεῖν καὶ πά-

[s] δὴ om. F.H. et corr. H. [t] ἐστὶν ὑπ' ἀλλήλων F.H. [v] μεθιστᾶσι E.L. [w] ταῦτα om. E.L. [x] εὐορίστως E. [y] ᾖ καὶ ταῦτα margo F. [z] μόνον om. H, post ποιεῖ ponit F. [a] τὸν ὄγκον ποιεῖ F. [b] ᾖ om. F. [c] ἢ] ᾖ F. [d] πάμπαν ἢ ἠρέμα E.H.L. [e] ἢ om. E. [f] ἐξ] εἶναι E. [g] παρὰ H. [h] ὅπερ καὶ ἐπὶ F.H. [i] ὢν] ὂν E. [k] ἄνευ τῆς ὕλης H. [l] καὶ om. E. [m] ἅπεισι ἅπας E.L. [n] οἷα τὰ π. H. [o] ὃ ἂν] ὅταν L, ὅταν μὲν E. [p] ἕνωσις. περὶ μὲν οὖν μίξεως καὶ ἁφῆς καὶ περὶ τοῦ ποιεῖν καὶ πάσχειν εἴρηται H. [q] καὶ περὶ τοῦ F.

σχειν εἴρηται πῶς ὑπάρχει τοῖς μεταβάλλουσι κατὰ φύσιν, ἔτι δὲ περὶ γενέσεως καὶ φθορᾶς [r] τῆς ἁπλῆς, τίνος καὶ πῶς ἐστὶ καὶ διὰ τίν' αἰτίαν. [t]Ομοίως δὲ καὶ περὶ ἀλλοιώσεως εἴρηται, τί τὸ ἀλλοιοῦσθαι καὶ τίν' ἔχει διαφορὰν [s] αὐτῶν. Λοιπὸν δὲ θεωρῆσαι περὶ τὰ καλούμενα στοιχεῖα τῶν σωμά-
2 των. Γένεσις μὲν γὰρ καὶ φθορὰ πάσαις ταῖς φύσει συνεστώσαις οὐσίαις οὐκ ἄνευ τῶν αἰσθητῶν σωμάτων· τούτων δὲ τὴν ὑποκειμένην ὕλην οἱ μέν φασιν εἶναι μίαν, οἷον ἀέρα [t] τιθέντες ἢ πῦρ ἤ [v] τι μεταξὺ τούτων, σῶμά τε ὂν καὶ χωριστόν, οἱ δὲ πλείω τὸν ἀριθμὸν ἑνός, οἱ μὲν πῦρ καὶ γῆν, οἱ δὲ ταῦτά τε καὶ ἀέρα τρίτον, οἱ δὲ καὶ ὕδωρ τούτων τέταρτον, ὥσπερ [t]Εμπεδοκλῆς· ἐξ ὧν συγκρινομένων [w] καὶ διακρινομέ-
3 νων [x] ἢ ἀλλοιουμένων συμβαίνειν τὴν γένεσιν καὶ τὴν φθορὰν τοῖς πράγμασιν. [u]Οτι μὲν οὖν τὰ πρῶτα ἀρχὰς καὶ στοιχεῖα καλῶς ἔχει λέγειν, ἔστω συνομολογούμενον, ἐξ ὧν [y] μεταβαλλόντων ἢ κατὰ σύγκρισιν [z] καὶ διάκρισιν ἢ κατ' [a] ἄλλην
4 μεταβολὴν συμβαίνει γένεσιν εἶναι καὶ φθοράν. [t]Αλλ' οἱ μὲν ποιοῦντες μίαν ὕλην παρὰ τὰ εἰρημένα, ταύτην δὲ σωματικὴν [b] καὶ χωριστὴν, ἁμαρτάνουσιν· ἀδύνατον γὰρ ἄνευ ἐναντιώσεως εἶναι τὸ σῶμα τοῦτο [c] αἰσθητὸν [d] ὄν· ἢ γὰρ κοῦφον ἢ βαρὺ ἢ ψυχρὸν ἢ θερμὸν ἀνάγκη εἶναι τὸ ἄπειρον [e] τοῦτο,
5 ὃ λέγουσί τινες εἶναι τὴν ἀρχήν. [t]Ως δ' ἐν τῷ Τιμαίῳ γέγραπται, οὐδένα ἔχει διορισμόν· οὐ γὰρ εἴρηκε σαφῶς τὸ πανδεχές, εἰ χωρίζεται τῶν στοιχείων. Οὐδὲ χρῆται [f] οὐδέν, φήσας εἶναι ὑποκείμενόν [g] τι τοῖς καλουμένοις στοιχείοις
6 πρότερον, οἷον χρυσὸν τοῖς ἔργοις τοῖς χρυσοῖς. Καίτοι [h] καὶ τοῦτο οὐ καλῶς λέγεται τοῦτον τὸν τρόπον λεγόμενον, [i] ἀλλ' ὧν μὲν ἀλλοίωσις, ἔστιν οὕτως, ὧν δὲ γένεσις καὶ φθορά, ἀδύνατον [k] ἐκεῖνο [l] προσαγορεύεσθαι ἐξ οὗ γέγονεν. Καί-

[r] τῆς τινὸς καὶ ἁπλῶς ἐστὶ F, τῆς ἁπλῆς καὶ τίνος ἐστὶ H.L. [s] αὐτῶν om. F. [t] τιθέντες om. L. [v] τι τῶν μεταξὺ H. [w] καὶ] ἢ H. [x] ἢ] καὶ corr. E. [y] μεταβαλόντων L. [z] καὶ] ἢ E. [a] ἄλλην τινὰ μ. F. [b] καὶ om. F. [c] αἰσθητῆς H. [d] ὄν om. E.H. [e] τοῦτό θ' ὃ L. [f] οὐδέν] οὐδενὶ E.F.H. [g] τι om. F. [h] καὶ om. H.L. [i] ἀλλ' ὧν] ἀλλήλων pr. E. [k] ἐκεῖνα L, κεῖνο E. [l] προσεκεῖνο (vel α) ἀγορεύεσθαι E.

τοι γέ φησι μακρῷ ἀληθέστατον εἶναι χρυσὸν λέγειν ἕκαστον εἶναι. [1] Ἀλλὰ τῶν στοιχείων ὄντων στερεῶν μέχρι 7
ἐπιπέδων ποιεῖται τὴν ἀνάλυσιν· ἀδύνατον δὲ τὴν τιθήνην καὶ τὴν ὕλην τὴν πρώτην τὰ ἐπίπεδα εἶναι. [t] Ἡμεῖς δὲ φαμὲν [m] μὲν [n] εἶναί τινα ὕλην τῶν σωμάτων τῶν αἰσθητῶν, ἀλλὰ ταύτην οὐ χωριστὴν ἀλλ' ἀεὶ μετ' ἐναντιώσεως, ἐξ ἧς γίνεται τὰ καλούμενα στοιχεῖα. Διώρισται δὲ περὶ αὐτῶν ἐν ἑτέροις ἀκριβέστερον. Οὐ μὴν ἀλλ' [o] ἐπειδὴ καὶ τὸν τρόπον τοῦτόν 8
ἐστιν ἐκ τῆς ὕλης τὰ σώματα τὰ πρῶτα, διοριστέον καὶ περὶ τούτων, ἀρχὴν μὲν [p] καὶ πρώτην [q] οἰομένοις εἶναι τὴν ὕλην τὴν ἀχώριστον μέν, ὑποκειμένην δὲ τοῖς ἐναντίοις· οὔτε γὰρ [r] τὸ θερμὸν ὕλη τῷ ψυχρῷ [s] οὔτε τοῦτο τῷ θερμῷ, ἀλλὰ τὸ ὑποκείμενον ἀμφοῖν. [v] Ὥστε πρῶτον μὲν τὸ δυνάμει σῶμα 9
αἰσθητὸν ἀρχή, δεύτερον δ' αἱ ἐναντιώσεις, λέγω δ' οἷον θερμότης [t] καὶ ψυχρότης, τρίτον [v] δ' ἤδη πῦρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα· ταῦτα μὲν γὰρ μεταβάλλει εἰς ἄλληλα, καὶ οὐχ ὡς [1] Ἐμπεδοκλῆς καὶ ἕτεροι λέγουσιν ([w] οὐδὲ γὰρ ἂν ἦν ἀλλοίωσις), αἱ δ' ἐναντιώσεις οὐ μεταβάλλουσιν. [1] Ἀλλ' οὐδὲν 10
ἧττον [x] καὶ ὡς σώματος ποίας καὶ πόσας λεκτέον ἀρχάς· οἱ μὲν γὰρ ἄλλοι ὑποθέμενοι χρῶνται, καὶ [y] οὐδὲν λέγουσι διὰ [z] τί αὗται ἢ τοσαῦται.

[1] Ἐπεὶ οὖν ζητοῦμεν αἰσθητοῦ σώματος ἀρχάς, τοῦτο δ' 2
ἐστὶν ἁπτοῦ, ἁπτὸν δ' οὗ [a] ἡ αἴσθησις ἁφή, φανερὸν ὅτι οὐ πᾶσαι αἱ ἐναντιώσεις σώματος εἴδη καὶ ἀρχὰς ποιοῦσιν, ἀλλὰ [b] μόνον αἱ κατὰ τὴν ἁφήν· κατ' ἐναντίωσίν τε γὰρ διαφέρουσι, καὶ [c] κατὰ ἁπτὴν ἐναντίωσιν. Διὸ οὔτε λευκότης καὶ 2
μελανία οὔτε γλυκύτης καὶ πικρότης, ὁμοίως δ' οὐδὲ τῶν ἄλλων [d] τῶν αἰσθητῶν ἐναντιώσεων οὐδὲν ποιεῖ στοιχεῖον. Καίτοι [e] πρότερον ὄψις ἁφῆς, ὥστε καὶ τὸ ὑποκείμενον πρότερον. [1] Ἀλλ' οὐκ ἔστι σώματος ἁπτοῦ πάθος ἧ ἁπτόν, ἀλλὰ καθ'

[m] μὲν om. F.H.L. [n] εἶναι om. H. [o] ἐπεὶ E. [p] καὶ πρῶτον H. [q] οἰομένος E. [r] τὸ om. H. [s] οὐδὲ E, οὔτε δὲ H. [t] καὶ om. E. [v] δὲ ὡς ἤδη H. [w] οὐ E, ἀεὶ F. [x] καὶ ὡς incerta E. [y] οὐδὲ F. [z] τί] τί ἢ L. [a] ἡ om. F. [b] μόναι H. [c] κατὰ τὴν ἁπτὴν F. [d] τῶν ante αἰσθ. om. F.H. [e] προτέρα L.

ἕτερον, καὶ εἰ ἔτυχε τῇ φύσει πρότερον. Αὐτῶν [f] δὲ [g] πρῶτον [h] τῶν ἁπτῶν διαιρετέον [i] ποῖαι πρῶται διαφοραὶ καὶ
3 ἐναντιώσεις. [k] Εἰσὶ δ' ἐναντιώσεις κατὰ τὴν ἁφὴν αἵδε, θερμὸν ψυχρόν, [l] ξηρὸν ὑγρόν, βαρὺ κοῦφον, σκληρὸν μαλακόν, γλίσχρον κραῦρον, τραχὺ λεῖον, παχὺ λεπτόν. Τούτων δὲ βαρὺ μὲν καὶ κοῦφον οὐ ποιητικὰ οὐδὲ παθητικά· οὐ γὰρ τῷ ποιεῖν τι [m] ἕτερον [n] ἢ πάσχειν ὑφ' ἑτέρου [o] λέγονται. Δεῖ δὲ ποιητικὰ [p] εἶναι ἀλλήλων καὶ παθητικὰ τὰ στοιχεῖα· [q] μί-
4 γνυται γὰρ καὶ μεταβάλλει εἰς ἄλληλα. Θερμὸν δὲ καὶ ψυχρὸν καὶ [r] ὑγρὸν καὶ ξηρὸν τὰ μὲν [s] τῷ ποιητικὰ εἶναι τὰ δὲ τῷ παθητικὰ λέγεται· θερμὸν γάρ ἐστι τὸ συγκρῖνον τὰ ὁμογενῆ (τὸ γὰρ διακρίνειν, ὅπερ φασὶ ποιεῖν τὸ πῦρ, συγκρίνειν ἐστὶ τὰ ὁμόφυλα· συμβαίνει γὰρ ἐξαιρεῖν τὰ ἀλλότρια), ψυχρὸν δὲ τὸ συνάγον [t] καὶ συγκρῖνον ὁμοίως τά τε συγγενῆ καὶ τὰ μὴ ὁμόφυλα, ὑγρὸν δὲ τὸ ἀόριστον οἰκείῳ ὅρῳ εὐόριστον [v] ὄν, ξηρὸν δὲ τὸ [w] εὐόριστον μὲν οἰκείῳ ὅρῳ,
5 δυσόριστον δέ. Τὸ δὲ λεπτὸν καὶ [x] παχὺ καὶ γλίσχρον καὶ κραῦρον [y] καὶ σκληρὸν καὶ μαλακὸν καὶ [z] αἱ ἄλλαι διαφοραὶ ἐκ τούτων· ἐπεὶ γὰρ τὸ ἀναπληστικόν ἐστι τοῦ ὑγροῦ διὰ τὸ μὴ ὡρίσθαι μὲν εὐόριστον δ' εἶναι καὶ ἀκολουθεῖν τῷ ἁπτομένῳ, τὸ δὲ λεπτὸν ἀναπληστικόν ([a] λεπτομερὲς γάρ, καὶ τὸ μικρομερὲς ἀναπληστικόν· ὅλον γὰρ ὅλου ἅπτεται· τὸ δὲ λεπτὸν μάλιστα τοιοῦτον), φανερὸν ὅτι τὸ μὲν λεπτὸν
6 [b] ἔσται τοῦ ὑγροῦ, [c] τὸ δὲ παχὺ τοῦ ξηροῦ. Πάλιν δὲ τὸ μὲν γλίσχρον τοῦ ὑγροῦ (τὸ γὰρ γλίσχρον ὑγρὸν πεπονθός τί ἐστιν, οἷον τὸ ἔλαιον), τὸ δὲ κραῦρον τοῦ ξηροῦ· κραῦρον γὰρ τὸ τελέως ξηρόν, ὥστε καὶ πεπηγέναι δι' ἔλλειψιν ὑγρό-

[f] δὴ E.H. [g] πρῶτον om. H. [h] τῶν om. E. [i] ποῖαι δὲ πρῶται H. [k] εἰσὶ δ' ἐναντιώσεις margo F. [l] ὑγρὸν ξηρὸν F. [m] ἕτερον] πρότερον E. [n] ἢ] οὐδὲ τῷ F. [o] λέγεται F.L. [p] ἀλλήλων καὶ παθητικὰ εἶναι F, καὶ παθητικὰ εἶναι ἀλλήλων E.H. [q] μίγνυται γὰρ] γίγνεται γὰρ καὶ μίγνυται F.H. [r] ξηρὸν καὶ ὑγρὸν F.H. [s] τῷ post μὲν om. E. [t] ὁμοίως καὶ συγκρῖνον L. [v] ὂν] δὲ ἀλλοτρίως H. [w] ἀόριστον E. [x] παχύτερον E. [y] καὶ τὸ σκληρὸν L. [z] ἄλλαι αἱ E. [a] μικρομερὲς L. [b] ἐστι L. [c] τὸ δὲ—ὑγροῦ om. pr. F.

τητος. Ἔτι τὸ μὲν μαλακὸν [d]τοῦ [e]ὑγροῦ (μαλακὸν γὰρ τὸ 7
ὑπεῖκον εἰς ἑαυτὸ καὶ [f]μὴ μεθιστάμενον, ὅπερ ποιεῖ τὸ ὑγρόν·
[g]διὸ καὶ [h]οὐκ ἔστι τὸ ὑγρὸν μαλακόν, ἀλλὰ τὸ μαλακὸν τοῦ
ὑγροῦ), τὸ δὲ σκληρὸν τοῦ ξηροῦ· [i]σκληρὸν γάρ ἐστι τὸ
πεπηγός, τὸ δὲ πεπηγὸς ξηρόν. Λέγεται δὲ ξηρὸν καὶ 8
ὑγρὸν πλεοναχῶς· ἀντίκειται γὰρ τῷ ξηρῷ καὶ τὸ ὑγρὸν καὶ
τὸ διερόν, καὶ πάλιν τῷ ὑγρῷ καὶ τὸ ξηρὸν καὶ τὸ πεπηγός·
ἅπαντα [k]δὲ ταῦτ' ἐστὶ τοῦ ξηροῦ καὶ τοῦ ὑγροῦ τῶν πρώτων
λεχθέντων. [l]Ἐπεὶ γὰρ ἀντίκειται τῷ διερῷ τὸ ξηρόν, καὶ 9
διερὸν μέν ἐστι τὸ ἔχον ἀλλοτρίαν ὑγρότητα ἐπιπολῆς, βε-
βρεγμένον δὲ τὸ εἰς βάθος, ξηρὸν δὲ τὸ ἐστερημένον ταύτης,
φανερὸν ὅτι τὸ μὲν διερὸν ἔσται τοῦ ὑγροῦ, τὸ δ' ἀντικείμε-
νον ξηρὸν τοῦ [l]πρώτου ξηροῦ. Πάλιν [m]δὲ τὸ ὑγρὸν καὶ τὸ 10
πεπηγὸς ὡσαύτως· ὑγρὸν μὲν [n]γάρ ἐστι τὸ [o]ἔχον οἰκείαν
[p]ὑγρότητα, [q]βεβρεγμένον δὲ τὸ ἔχον ἀλλοτρίαν ὑγρότητα
ἐν τῷ βάθει, πεπηγὸς δὲ τὸ ἐστερημένον ταύτης. [v]Ὥστε καὶ
τούτων [r]ἔσται τὸ μὲν ξηροῦ τὸ δὲ ὑγροῦ. Δῆλον τοίνυν ὅτι 11
πᾶσαι αἱ ἄλλαι διαφοραὶ ἀνάγονται εἰς τὰς πρώτας τέτταρας. Αὗται δὲ οὐκέτι εἰς ἐλάττους· οὔτε γὰρ τὸ θερμὸν ὅπερ [s]ὑγρὸν ἢ ὅπερ ξηρόν, οὔτε τὸ ὑγρὸν ὅπερ θερμὸν ἢ ὅπερ ψυχρόν, οὔτε τὸ ψυχρὸν καὶ τὸ ξηρὸν [t]οὔθ' ὑπ' ἄλλη' οὔθ' ὑπὸ τὸ θερμὸν καὶ [v]τὸ ὑγρόν εἰσιν· ὥστ' ἀνάγκη [w]τέτταρας εἶναι ταύτας.

[l]Ἐπεὶ [x]δὲ [y]τέτταρα [z]τὰ στοιχεῖα, τῶν δὲ τεττάρων ἓξ 3
αἱ συζεύξεις, τὰ δ' ἐναντία οὐ πέφυκε συνδυάζεσθαι (θερμὸν γὰρ καὶ ψυχρὸν εἶναι τὸ αὐτὸ καὶ πάλιν [a]ξηρὸν καὶ ὑγρὸν ἀδύνατον), φανερὸν ὅτι [b]τέτταρες ἔσονται αἱ τῶν στοιχείων

[d] τοῦ ὑγροῦ μαλακὸν om. E. [e] ὑγροῦ, τὸ δὲ σκληρὸν τοῦ ξηροῦ. μαλακὸν F. [f] μὴ om. E. [g] διὸ καὶ οὐκ ἔστι τὸ ὑγρὸν om. E. [h] οὐκ ἔστι] οὐκέτι L. [i] σκληρὸν γάρ] ξηρὸν γάρ E. [k] δὴ E.F. [l] πρώτως E. [m] δὴ F. [n] γάρ om. F. [o] ἔχον τὴν οἰκείαν F. [p] ὑγρότητα] ὑγρότητα ἐν τῷ βάθει E. [q] βεβρ.—ὑγρ. om. H.L. [r] ἐστι E. [s] ὑγρὸν—ξ.] ψυχρὸν (supra posito ξηρὸν) ἢ ὅπερ ὑγρὸν F. [t] οὐδ'—οὐδ' E. [v] τὸ ante ὑγρόν om. F. [w] τέτταρας εἶναι τ.] τέσσαρας αὐτὰς εἶναι H. [x] δὴ F.H.L. [y] τέσσαρα H. [z] τὰ om. L. [a] ὑγρὸν καὶ ξηρὸν F.H. [b] τέσσαρες F.H.

συζεύξεις, θερμοῦ καὶ [c] ξηροῦ, καὶ [d] θερμοῦ καὶ ὑγροῦ, καὶ
2 πάλιν ψυχροῦ καὶ [e] ὑγροῦ, [f] καὶ ψυχροῦ καὶ [g] ξηροῦ. Καὶ
[h] ἠκολούθηκε κατὰ λόγον τοῖς ἁπλοῖς φαινομένοις σώμασι,
πυρὶ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ· τὸ μὲν γὰρ πῦρ θερμὸν καὶ
ξηρόν, ὁ δ' ἀὴρ [i] θερμὸν καὶ ὑγρόν (οἷον ἀτμὶς γὰρ ὁ ἀήρ),
τὸ δ' ὕδωρ ψυχρὸν [k] καὶ ὑγρόν, ἡ δὲ γῆ ψυχρὸν καὶ ξηρόν,
ὥστ' εὐλόγως [l] διανέμεσθαι τὰς διαφορὰς τοῖς πρώτοις σώ-
3 μασι, καὶ τὸ πλῆθος αὐτῶν εἶναι κατὰ λόγον. [v] Ἅπαντες
[m] γὰρ οἱ τὰ ἁπλᾶ σώματα στοιχεῖα ποιοῦντες οἱ μὲν ἕν, οἱ
δὲ δύο, οἱ δὲ τρία, οἱ δὲ [n] τέτταρα ποιοῦσιν. [v] Ὅσοι μὲν οὖν
ἓν [o] μόνον λέγουσιν, εἶτα πυκνώσει καὶ μανώσει τἆλλα γεν-
νῶσι, τούτοις συμβαίνει δύο ποιεῖν τὰς ἀρχάς, τό τε μανὸν
καὶ τὸ πυκνὸν ἢ [p] τὸ θερμὸν καὶ [p] τὸ ψυχρόν· ταῦτα γὰρ [q] τὰ
4 δημιουργοῦντα, τὸ δ' ἓν ὑπόκειται καθάπερ ὕλη. Οἱ δ' εὐθὺς
δύο ποιοῦντες, ὥσπερ Παρμενίδης πῦρ καὶ γῆν, τὰ μεταξὺ
μίγματα ποιοῦσι τούτων, οἷον ἀέρα καὶ ὕδωρ. [t] Ὡσαύτως δὲ
καὶ οἱ [r] τρία λέγοντες, καθάπερ Πλάτων ἐν ταῖς διαιρέσεσιν·
τὸ γὰρ μέσον μῖγμα ποιεῖ. Καὶ σχεδὸν ταὐτὰ λέγουσιν οἵ
τε δύο καὶ [s] οἱ τρία ποιοῦντες· πλὴν οἱ μὲν τέμνουσιν εἰς δύο
5 τὸ μέσον, οἱ δ' ἓν μόνον ποιοῦσιν. [u] Ἔνιοι [t] δ' εὐθὺς [v] τέτταρα
λέγουσιν, οἷον [x] Ἐμπεδοκλῆς. Συνάγει δὲ καὶ οὗτος εἰς τὰ
δύο· τῷ γὰρ πυρὶ [w] τἆλλα πάντα ἀντιτίθησιν. [x] Οὐκ ἔστι
δὲ τὸ πῦρ καὶ [y] ὁ ἀὴρ καὶ ἕκαστον τῶν εἰρημένων ἁπλοῦν,
ἀλλὰ [z] μικτόν. Τὰ δ' ἁπλᾶ τοιαῦτα μέν [a] ἐστιν, οὐ μέντοι
[b] ταὐτὰ, οἷον [c] εἴ τι τῷ πυρὶ ὅμοιον, πυροειδές, [d] οὐ πῦρ, καὶ
6 τὸ τῷ ἀέρι ἀεροειδές· ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων. Τὸ δὲ
πῦρ ἐστὶν ὑπερβολὴ θερμότητος, ὥσπερ καὶ κρύσταλλος ψυ-

[c] ξηροῦ—ὑγροῦ margo F. [d] ὑγροῦ καὶ θερμοῦ H. [e] ὑγροῦ] ξη-
ροῦ H.L. [f] καὶ ψυχροῦ margo F. [g] ξηροῦ] ὑγροῦ H.L. [h] ἠκο-
λούθησε H.L. [i] θερμὸς καὶ ὑγρὸς H.L. [k] καὶ ὑγρὸν ἡ δὲ γῆ ψυχρὸν
om. E. [l] νέμεσθαι E, διαφέρεσθαι pr. F. [m] γὰρ] δ' L. [n] τέσσαρα H.
[o] λέγουσι μόνον F. [p] τὸ post ἢ et ante ψ. om. F. [q] τὰ om. E.
[r] τρεῖς L. [s] οἱ post καὶ om. E.F. [t] δὲ καὶ εὐθὺς F.H.L. [v] τέσσαρα F.
[w] πάντα τἆλλα H.L. [x] οὐκέτι δὲ F. [y] ὁ om. E. [z] μικτά E.
[a] εἰσιν L. [b] τοιαῦτα E. [c] εἴ τι] τὸ F.H.L. [d] οὐ—ἀεροειδές
margo F.

χρότητος· ἡ γὰρ πῆξις καὶ ἡ ζέσις ὑπερβολαί τινές εἰσιν, ἡ μὲν ψυχρότητος, ἡ δὲ θερμότητος. Εἰ οὖν ὁ κρύσταλλός ἐστι πῆξις [e]ὑγροῦ ψυχροῦ, καὶ τὸ πῦρ ἔσται ζέσις [f]ξηροῦ θερμοῦ. Διὸ καὶ οὐδὲν οὔτ' [g]ἐκ κρυστάλλου γίγνεται οὔτ' [g]ἐκ πυρός. [1]Ὄντων δὲ [h]τεττάρων τῶν ἁπλῶν σωμάτων, 7 [i]ἑκάτερον τοῖν [k]δυοῖν ἑκατέρου τῶν [l]τόπων ἐστίν· πῦρ μὲν γὰρ καὶ ἀὴρ τοῦ πρὸς τὸν ὅρον φερομένου, γῆ δὲ καὶ ὕδωρ τοῦ πρὸς τὸ μέσον. Καὶ ἄκρα μὲν καὶ [m]εἰλικρινέστατα πῦρ καὶ γῆ, μέσα δὲ καὶ μεμιγμένα μᾶλλον ὕδωρ καὶ ἀήρ. Καὶ 8 [n]ἑκάτερα ἑκατέροις ἐναντία· πυρὶ μὲν γὰρ ἐναντίον ὕδωρ, ἀέρι δὲ γῆ· ταῦτα γὰρ ἐκ τῶν ἐναντίων παθημάτων συνέστηκεν. Οὐ μὴν ἀλλ' ἁπλῶς [o]γε [p]τέτταρα ὄντα ἑνὸς ἕκαστόν ἐστι, γῆ [q]μὲν ξηροῦ μᾶλλον [r]ἢ ψυχροῦ, ὕδωρ δὲ ψυχροῦ μᾶλλον [s]ἢ ὑγροῦ, ἀὴρ δ' ὑγροῦ μᾶλλον ἢ θερμοῦ, πῦρ δὲ θερμοῦ μᾶλλον ἢ ξηροῦ.

[1]Ἐπεὶ δὲ διώρισται πρότερον ὅτι τοῖς ἁπλοῖς σώμασιν ἐξ 4 ἀλλήλων ἡ γένεσις, ἅμα δὲ καὶ κατὰ τὴν αἴσθησιν φαίνεται γινόμενα (οὐ γὰρ ἂν ἦν ἀλλοίωσις· κατὰ γὰρ τὰ τῶν ἁπτῶν πάθη [t]ἡ ἀλλοίωσίς ἐστιν), λεκτέον τίς ὁ τρόπος τῆς εἰς ἄλληλα μεταβολῆς, καὶ πότερον ἅπαν ἐξ ἅπαντος γίγνεσθαι δυνατὸν ἢ τὰ μὲν δυνατὸν τὰ δ' ἀδύνατον. [v]Ὅτι μὲν οὖν 2 ἅπαντα πέφυκεν εἰς ἄλληλα μεταβάλλειν, φανερόν· [v]ἡ γὰρ γένεσις εἰς ἐναντία καὶ ἐξ ἐναντίων, τὰ δὲ στοιχεῖα πάντα ἔχει ἐναντίωσιν πρὸς ἄλληλα διὰ τὸ τὰς διαφορὰς ἐναντίας εἶναι· τοῖς μὲν γὰρ [w]ἀμφότεραι ἐναντίαι, οἷον πυρὶ καὶ ὕδατι (τὸ μὲν γὰρ [x]ξηρὸν καὶ θερμόν, τὸ δ' ὑγρὸν καὶ ψυχρόν), τοῖς δ' [y]ἡ ἑτέρα μόνον, οἷον ἀέρι καὶ ὕδατι (τὸ μὲν γὰρ ὑγρὸν καὶ θερμόν, τὸ δὲ [z]ὑγρὸν καὶ ψυχρόν). [v]Ὥστε 3 καθόλου μὲν φανερὸν ὅτι πᾶν ἐκ παντὸς γίνεσθαι πέφυκεν,

[e] ὑγροῦ καὶ ψυχροῦ F.H.L. [f] θερμοῦ καὶ ξηροῦ F.H.L. [g] ἐκ utramque om. E. [h] τεσσάρων H. [i] ἑκάτερα E. [k] δυεῖν L. [l] τόπων] πρώτων E. [m] εἰλικρινῆ F. [n] ἑκάτερα δὲ ἑκ. F.H. [o] γε om. F. [p] τέσσαρα F.H. [q] μὲν γὰρ ξ. F.H. [r] ψυχροῦ corr. E. [s] ἢ ante ὑγροῦ om. E. [t] ἡ om E.F. [v] ἡ μὲν γὰρ F.H. [w] ἀμφοτέροις L. [x] θερμὸν καὶ ξηρὸν E.L. [y] ἡ] ἢ F. [z] ψυχρὸν καὶ ὑγρόν H.

ἤδη δὲ καθ' ἕκαστον οὐ χαλεπὸν ἰδεῖν πῶς· ἅπαντα μὲν [a]γὰρ ἐξ ἁπάντων ἔσται, διοίσει δὲ τῷ θᾶττον καὶ βραδύτερον καὶ
4 τῷ ῥᾷον καὶ χαλεπώτερον. Ὅσα μὲν γὰρ ἔχει [b]σύμβολα πρὸς ἄλληλα, ταχεῖα τούτων ἡ μετάβασις, ὅσα δὲ μὴ ἔχει, βραδεῖα, διὰ τὸ ῥᾷον εἶναι τὸ ἓν [c]ἢ τὰ πολλὰ μεταβάλλειν, οἷον ἐκ πυρὸς μὲν ἔσται ἀὴρ [d]θατέρου μεταβάλλοντος (τὸ μὲν γὰρ ἦν θερμὸν καὶ ξηρόν, τὸ δὲ θερμὸν καὶ ὑγρόν, ὥστε ἂν κρατηθῇ τὸ ξηρὸν ὑπὸ τοῦ ὑγροῦ, ἀὴρ ἔσται), πάλιν [e]δὲ ἐξ ἀέρος [f]ὕδωρ, ἐὰν κρατηθῇ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ (τὸ μὲν γὰρ ἦν [g]θερμὸν καὶ ὑγρόν, τὸ δὲ ψυχρὸν καὶ ὑγρόν,
5 ὥστε μεταβάλλοντος τοῦ θερμοῦ ὕδωρ ἔσται). Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐξ ὕδατος γῆ καὶ ἐκ γῆς πῦρ· ἔχει γὰρ ἄμφω πρὸς ἄμφω σύμβολα· τὸ μὲν [h]γὰρ ὕδωρ ὑγρὸν καὶ ψυχρόν, ἡ δὲ γῆ ψυχρὸν καὶ ξηρόν, ὥστε κρατηθέντος τοῦ ὑγροῦ γῆ
6 ἔσται. Καὶ πάλιν ἐπεὶ τὸ μὲν πῦρ ξηρὸν καὶ θερμόν, ἡ δὲ γῆ ψυχρὸν καὶ ξηρόν, [i]ἐὰν φθαρῇ τὸ ψυχρόν, πῦρ ἔσται ἐκ γῆς. Ὥστε φανερὸν ὅτι κύκλῳ [k]τε [l]ἔσται ἡ γένεσις τοῖς ἁπλοῖς σώμασι, καὶ ῥᾷστος οὗτος ὁ τρόπος τῆς μεταβολῆς
7 διὰ τὸ [m]σύμβολα ἐνυπάρχειν τοῖς ἐφεξῆς. Ἐκ πυρὸς δὲ ὕδωρ καὶ ἐξ ἀέρος γῆν καὶ πάλιν ἐξ ὕδατος καὶ γῆς ἀέρα καὶ πῦρ ἐνδέχεται μὲν γίνεσθαι, χαλεπώτερον δὲ διὰ τὸ πλειόνων εἶναι τὴν μεταβολήν· ἀνάγκη γάρ, εἰ ἔσται ἐξ ὕδατος πῦρ, φθαρῆναι καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρόν, καὶ πάλιν εἰ ἐκ
8 γῆς ἀήρ, φθαρῆναι καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρόν. Ὡσαύτως δὲ καὶ εἰ ἐκ [n]πυρὸς καὶ ἀέρος ὕδωρ καὶ γῆ, [o]ἀνάγκη [p]ἀμφότερα μεταβάλλειν. Αὕτη μὲν οὖν χρονιωτέρα ἡ γένεσις· [q]ἐὰν δ' ἑκατέρου [r]φθαρῇ θάτερον, ῥᾷων μέν, οὐκ εἰς ἄλληλα δὲ [s]ἡ μετάβασις, ἀλλ' ἐκ πυρὸς μὲν καὶ ὕδατος ἔσται γῆ
9 καὶ ἀήρ, ἐξ ἀέρος δὲ καὶ γῆς πῦρ καὶ ὕδωρ. Ὅταν μὲν γὰρ

[a] γὰρ om. F. [b] σύμβολον F. [c] ἢ om. F.H.L. [d] θατέρου] θάττον L. [e] δὲ om. E.L. [f] ὕδωρ ἔσται ἐὰν F. [g] ὑγρὸν καὶ θερμὸν H. [h] γὰρ om. F. [i] ἂν F.H. [k] τε om. L. [l] ἔσται om. E. [m] σύμβολον F. [n] γῆς καὶ ὕδατος πῦρ καὶ ἀήρ H. [o] ἀναγκαῖον H, om. E. [p] ἀμφότερα] τὰ ἀμφότερα E, γὰρ ἀμφότερα F. [q] ἂν F. [r] θάτερον φθαρῇ F.H.L. [s] ἡ τούτων μετάβασις H.

τοῦ ὕδατος φθαρῇ τὸ ψυχρὸν τοῦ δὲ πυρὸς τὸ ξηρόν, ἀὴρ ἔσται (λείπεται γὰρ τοῦ μὲν τὸ θερμὸν τοῦ δὲ τὸ ὑγρόν), ὅταν δὲ τοῦ μὲν πυρὸς τὸ θερμὸν τοῦ δ' ὕδατος τὸ ὑγρόν, [t]γῆ διὰ τὸ λείπεσθαι τοῦ μὲν τὸ [v]ξηρὸν τοῦ δὲ τὸ ψυχρόν. [1]Ωσαύτως δὲ καὶ ἐξ ἀέρος καὶ γῆς πῦρ καὶ ὕδωρ· ὅταν μὲν γὰρ τοῦ ἀέρος φθαρῇ τὸ θερμὸν τῆς δὲ γῆς τὸ ξηρόν, ὕδωρ ἔσται (λείπεται γὰρ τοῦ μὲν τὸ [w]ὑγρὸν τῆς δὲ τὸ ψυχρόν), [x]ὅταν δὲ τοῦ μὲν ἀέρος τὸ ὑγρὸν τῆς δὲ γῆς τὸ ψυχρόν, πῦρ διὰ τὸ [y]λείπεσθαι τοῦ μὲν τὸ θερμὸν [z]τῆς δὲ τὸ ξηρόν, ἅπερ ἦν πυρός. [1]Ομολογουμένη δὲ καὶ τῇ αἰσθήσει ἡ τοῦ πυρὸς γένεσις· μάλιστα μὲν γὰρ [a]πῦρ ἡ φλόξ, αὕτη δ' ἐστὶ καπνὸς καιόμενος, ὁ δὲ καπνὸς ἐξ ἀέρος καὶ γῆς. [1]Εν δὲ τοῖς ἐφεξῆς οὐκ ἐνδέχεται φθαρέντος ἐν ἑκατέρῳ θατέρου τῶν στοιχείων γενέσθαι μετάβασιν εἰς [b]οὐδὲν τῶν σωμάτων διὰ τὸ λείπεσθαι ἐν ἀμφοῖν ἢ ταὐτὰ ἢ τἀναντία. [1]Εξ [c]οὐδετέρων δὲ ἐγχωρεῖ γίγνεσθαι σῶμα, οἷον εἰ [d]τοῦ μὲν πυρὸς φθαρείη τὸ ξηρόν, τοῦ δ' ἀέρος τὸ ὑγρόν· λείπεται γὰρ ἐν ἀμφοῖν τὸ θερμόν· ἐὰν δ' ἐξ ἑκατέρου τὸ θερμόν, λείπεται τἀναντία, ξηρὸν καὶ ὑγρόν. [1]Ομοίως δὲ καὶ ἐν τοῖς ἄλλοις· ἐν ἅπασι γὰρ τοῖς [e]ἐφεξῆς ἐνυπάρχει τὸ μὲν [f]ταὐτὸ τὸ δ' ἐναντίον. [1]Ωσθ' ἅμα δῆλον ὅτι τὰ μὲν ἐξ ἑνὸς εἰς ἓν μεταβαίνοντα ἑνὸς φθαρέντος γίνεται, τὰ δ' ἐκ [g]δυοῖν εἰς ἓν πλειόνων. [1]Οτι μὲν οὖν ἅπαντα ἐκ παντὸς γίγνεται, καὶ τίνα τρόπον εἰς ἄλλλα μετάβασις γίγνεται, εἴρηται.

Οὐ μὴν ἀλλ' ἔτι καὶ ὧδε [h]θεωρήσωμεν περὶ αὐτῶν. Εἰ γάρ ἐστι τῶν φυσικῶν σωμάτων ὕλη, ὥσπερ [i]καὶ δοκεῖ ἐνίοις, ὕδωρ καὶ ἀὴρ καὶ τὰ τοιαῦτα, ἀνάγκη ἤτοι ἓν [k]ἢ δύο εἶναι ταῦτα [l]ἢ πλείω. [1]Εν μὲν δὴ πάντα οὐχ οἷόν τε, οἷον ἀέρα [m]πάντα ἢ ὕδωρ ἢ πῦρ ἢ γῆν, [n]εἴπερ ἡ μεταβολὴ εἰς τἀναν-

[t] γῆ om. E. [v] ψυχρὸν τοῦ δὲ τὸ ξηρόν L. [w] ψυχρὸν τοῦ δὲ τὸ ὑγρόν E. [x] ὅταν δὲ om. E. [y] ὑπολείπεσθαι H. [z] τῆς] τοῦ E H. [a] ἡ φλὸξ πῦρ H. [b] οὐδὲν] ἓν F. [c] οὐδετέρου F. [d] μὲν τοῦ E.F.H. [e] ἑξῆς F.H. [f] ταὐτὸν F.L. [g] δυεῖν L. [h] θεωρήσομεν E. [i] καὶ om. F. [k] εἶναι ἢ δύο F. [l] πλείω ἢ E. [m] πάντα margo F. [n] εἴπερ om. E.

τία. Εἰ γὰρ εἴη ἀήρ, εἰ μὲν ὑπομένει, ἀλλοίωσις ἔσται ἀλλ' οὐ γένεσις. Ἅμα δ' οὐδ' οὕτω δοκεῖ, ὥστε ὕδωρ εἶναι ἅμα καὶ ἀέρα ἢ ἄλλ' ὁτιοῦν. Ἔσται δή τις ἐναντίωσις καὶ διαφορὰ ἧς ἔξει τι θάτερον μόριον τὸ πῦρ, οἷον θερμότητα. Ἀλλὰ μὴν οὐκ ἔσται τό γε πῦρ ἀὴρ θερμός· ἀλλοίωσίς τε γὰρ τὸ τοιοῦτον, καὶ οὐ φαίνεται. Ἅμα δὲ πάλιν εἰ ἔσται ἐκ πυρὸς ἀήρ, τοῦ θερμοῦ εἰς τοὐναντίον μεταβάλλοντος ἔσται. Ὑπάρξει ἄρα τῷ ἀέρι τοῦτο, καὶ ἔσται ὁ ἀὴρ ψυχρόν τι. Ὥστε ἀδύνατον τὸ πῦρ ἀέρα θερμὸν εἶναι· ἅμα γὰρ τὸ αὐτὸ θερμὸν καὶ ψυχρὸν ἔσται. Ἄλλο τι ἄρ' ἀμφότερα τὸ αὐτὸ ἔσται, καὶ ἄλλη τις ὕλη κοινή. Ὁ δ' αὐτὸς λόγος περὶ ἁπάντων, ὅτι οὐκ ἔστιν ἓν τούτων ἐξ οὗ τὰ πάντα. Οὐ μὴν οὐδ' ἄλλο τί γε παρὰ ταῦτα, οἷον μέσον τι ἀέρος καὶ ὕδατος ἢ ἀέρος καὶ πυρός, ἀέρος μὲν παχύτερον καὶ πυρός, τῶν δὲ λεπτότερον· ἔσται γὰρ ἀὴρ καὶ πῦρ ἐκεῖνο μετ' ἐναντιότητος· ἀλλὰ στέρησις τὸ ἕτερον τῶν ἐναντίων· ὥστ' οὐκ ἐνδέχεται μονοῦσθαι ἐκεῖνο οὐδέποτε, ὥσπερ φασί τινες τὸ ἄπειρον καὶ τὸ περιέχον. Ὁμοίως ἄρα ὁτιοῦν τούτων ἢ οὐδέν. Εἰ οὖν μηδὲν αἰσθητόν γε πρότερον τούτων, ταῦτα ἂν εἴη πάντα. Ἀνάγκη τοίνυν ἢ ἀεὶ μένοντα καὶ ἀμετάβλητα εἰς ἄλληλα, ἢ μεταβάλλοντα, καὶ ἢ ἅπαντα, ἢ τὰ μὲν τὰ δ' οὔ, ὥσπερ ἐν τῷ Τιμαίῳ Πλάτων ἔγραψεν. Ὅτι μὲν τοίνυν μεταβάλλειν ἀνάγκη εἰς ἄλληλα, δέδεικται πρότερον· ὅτι δ' οὐχ ὁμοίως ταχέως ἄλλο ἐξ ἄλλου, εἴρηται πρότερον ὅτι τὰ μὲν ἔχοντα σύμβολον θᾶττον γίνεται ἐξ ἀλλήλων, τὰ δ' οὐκ ἔχοντα βραδύτερον. Εἰ μὲν τοίνυν ἡ ἐναντιότης μία ἐστὶ καθ' ἣν μεταβάλλουσιν, ἀνάγκη δύο εἶναι· ἡ γὰρ ὕλη τὸ μέσον ἀναί-

οὐ] ἦν E. ἀὴρ E.F.L. γε ante τὸ L, om. E. δὲ καὶ π. H. ἐκ τοῦ π. F.H. τοῦτο ante ἄρα F, post ἄρα H. θερμὸν ἀέρα E.L. ἄρα παρ' ἀμφ. H.L. et pr. F. ὅτι om. E. τί om. E. γε om. L. καὶ] ἢ E.F.H. δὲ ἄλλων λ. pr. H. ἀὴρ γὰρ E. ἐκεῖνο ante ἀὴρ F. ἐκεῖνο μονοῦσθαι F. ἢ om. E.L. οὐδὲν ἀρχή. εἰ F, οὐδὲν μᾶλλον ἀὴρ ἢ πῦρ. εἰ L. ἢ om. E. πάντα F.H. ἐν] καὶ ἐν H. ἀναγκαῖον εἰς ἄλληλα H, εἰς ἄλληλα ἀνάγκη F. ὅτι] καὶ ὅτι E. ἀναγκαῖον H.

σθητος οὖσα καὶ ἀχώριστος. [1]Ἐπεὶ δὲ πλείω ὁρᾶται ὄντα, 7
δύο ἂν εἶεν αἱ ἐλάχισται. Δύο δ' [o]ὄντων οὐχ οἷόν τε [p]τρία
εἶναι, ἀλλὰ τέσσαρα, ὥσπερ [q]φαίνεται· τοσαῦται γὰρ αἱ
συζυγίαι· ἓξ γὰρ οὐσῶν τὰς δύο ἀδύνατον γενέσθαι διὰ τὸ
ἐναντίας εἶναι ἀλλήλαις. Περὶ μὲν οὖν τούτων εἴρηται πρό-
τερον· ὅτι δ' ἐπειδὴ μεταβάλλουσιν εἰς [r]ἄλληλα, ἀδύνατον
ἀρχήν τινα εἶναι αὐτῶν ἢ ἐπὶ [s]τῷ ἄκρῳ ἢ μέσῳ, ἐκ τῶνδε
δῆλον. [1]Ἐπὶ μὲν οὖν τοῖς ἄκροις οὐκ ἔσται, ὅτι πῦρ ἔσται 8
ἢ γῆ πάντα· καὶ ὁ αὐτὸς λόγος [t]τῷ φάναι ἐκ πυρὸς [v]ἢ γῆς
εἶναι πάντα· ὅτι δ' οὐδὲ μέσον, [w]ὥσπερ δοκεῖ τισὶν ἀὴρ μὲν
καὶ εἰς πῦρ μεταβάλλειν καὶ εἰς ὕδωρ, ὕδωρ δὲ καὶ εἰς ἀέρα
καὶ εἰς γῆν· τὰ δ' ἔσχατα οὐκέτι εἰς ἄλληλα· δεῖ μὲν [x]γὰρ
στῆναι καὶ [y]μὴ εἰς ἄπειρον τοῦτο ἰέναι ἐπ' εὐθείας ἐφ' ἑκά-
τερα· ἄπειροι γὰρ [z]αἱ ἐναντιότητες ἐπὶ τοῦ ἑνὸς ἔσονται.
Γῆ ἐφ' ᾧ Γ, ὕδωρ ἐφ' [a]ᾧ Υ, ἀὴρ ἐφ' ᾧ Α, πῦρ ἐφ' ᾧ Π. 9
[b]Εἰ δὴ τὸ Α μεταβάλλει εἰς [c]τὸ Π καὶ Υ, ἐναντιότης ἔσται
τῶν Α Π. [1]Ἔστω ταῦτα λευκότης καὶ μελανία. Πάλιν [d]εἰ
εἰς τὸ Υ τὸ Α, ἔσται ἄλλη· οὐ γὰρ ταὐτὸ τὸ Υ καὶ Π.
[1]Ἔστω [e]δὲ ξηρότης καὶ ὑγρότης, τὸ μὲν Ξ ξηρότης, τὸ δὲ Υ
ὑγρότης. Οὐκοῦν εἰ μὲν μένει τὸ λευκόν, ὑπάρξει τὸ ὕδωρ 10
ὑγρὸν καὶ λευκόν, εἰ δὲ μή, μέλαν ἔσται τὸ ὕδωρ· εἰς τἀναντία
γὰρ ἡ μεταβολή. [1]Ἀνάγκη [f]ἄρα ἢ λευκὸν ἢ μέλαν εἶναι τὸ
ὕδωρ. [1]Ἔστω [g]δὴ [h]τὸ πρῶτον. [r]Ὁμοίως τοίνυν καὶ τῷ Π
τὸ Ξ ὑπάρξει ἡ ξηρότης. [1]Ἔσται ἄρα καὶ τῷ Π τῷ πυρὶ 11
μεταβολὴ εἰς τὸ ὕδωρ· ἐναντία γὰρ ὑπάρχει· τὸ [i]μὲν γὰρ
πῦρ [k]τὸ πρῶτον μέλαν ἦν, ἔπειτα [l]δὲ ξηρόν, τὸ δ' ὕδωρ
ὑγρόν, ἔπειτα δὲ λευκόν. Φανερὸν [m]δὴ ὅτι πᾶσιν ἐξ ἀλλή-
λων ἔσται ἡ μεταβολή, καὶ ἐπί γε τούτων, ὅτι καὶ [n]ἐν τῷ

[o] οὐσῶν H. [p] τρεῖς F. [q] φαίνονται L. [r] ἄλλα E. [s] τὸ ἄκρον ἢ μέσον F. [t] τῷ] τὸ F.H. [v] εἶναι ἢ γῆς F, ἢ ἐκ γῆς εἶναι H. [w] ὥσπερ] οἷον H. [x] γὰρ om. F. [y] μὴ] οὐκ H. [z] αἱ om. E.L. [a] ᾧ Υ] οὗ υ H. [b] εἰ] ἐπεὶ L. [c] τὸ om. E. [d] εἰ] ἐπεὶ F.H. [e] δὴ F. [f] ἄρα μέλαν ἢ λευκὸν E.L. [g] δὲ L. [h] τὸ λευκὸν πρῶτον F. unam inter τὸ et πρῶτον litteram habere videtur E. [i] μὲν om. E.F.L. [k] τὸ μὲν πρῶτον H. [l] δὲ om. L. [m] δὴ] δὲ L. [n] ἐν om. E.L.

Γ τῇ γῇ ὑπάρξει τὰ λοιπά, καὶ δύο σύμβολα τὸ μέλαν καὶ
12 τὸ ὑγρόν· ταῦτα γὰρ οὐ συνδεδύασταί πως. [v]Οτι δ' εἰς
[o]ἄπειρον οὐχ οἷόν τ' ἰέναι, ὅπερ μελλήσαντες δείξειν ἐπὶ
[p]τοῦτο ἔμπροσθεν ἤλθομεν, δῆλον ἐκ τῶνδε. Εἰ γὰρ πάλιν
τὸ πῦρ, ἐφ' ᾧ Π, εἰς ἄλλο [q]μεταβαλεῖ καὶ μὴ ἀνακάμψει,
οἷον εἰς τὸ Ψ, ἐναντιότης [r]τις τῷ πυρὶ καὶ τῷ Ψ [s]ἄλλη
ὑπάρξει τῶν εἰρημένων· οὐδενὶ γὰρ τὸ αὐτὸ ὑπόκειται τῶν
13 ΓΥΑΠ τὸ Ψ. [t]Ἔστω [t]δὴ τῷ μὲν Π τὸ Κ, τῷ δὲ Ψ τὸ
Φ. Τὸ [v]δὴ Κ πᾶσιν ὑπάρξει τοῖς ΓΥΑΠ· μεταβάλλουσι
[w]γὰρ εἰς ἄλληλα. [x]Ἀλλὰ [x]γὰρ τοῦτο μὲν ἔστω [y]μήπω
δεδειγμένον· ἀλλ' ἐκεῖνο δῆλον, ὅτι εἰ πάλιν τὸ Ψ εἰς ἄλλο,
[z]ἄλλη ἐναντιότης [a]καὶ τῷ Ψ ὑπάρξει καὶ τῷ πυρὶ τῷ Π.
[b]Ὁμοίως δ' ἀεὶ μετὰ τοῦ προστιθεμένου ἐναντιότης τις ὑπάρ-
ξει τοῖς ἔμπροσθεν, ὥστ' εἰ ἄπειρα, καὶ ἐναντιότητες ἄπειροι
14 τῷ ἑνὶ ὑπάρξουσιν. Εἰ δὲ τοῦτο, οὐκ ἔσται οὔτε [b]ὁρίσα-
σθαι οὐδὲν οὔτε γενέσθαι· δεήσει γάρ, εἰ [c]ἄλλο ἔσται ἐξ
ἄλλου, τοσαύτας [d]διεξελθεῖν ἐναντιότητας, καὶ ἔτι πλείους,
ὥστ' εἰς ἕνια μὲν οὐδέποτ' ἔσται μεταβολή, οἷον εἰ ἄπειρα
τὰ μεταξύ· ἀνάγκη δ', εἴπερ ἄπειρα τὰ στοιχεῖα. [d]Ἔτι δ'
15 [e]οὐδ' ἐξ ἀέρος εἰς πῦρ, εἰ ἄπειροι [f]αἱ ἐναντιότητες. Γίνεται
δὲ καὶ πάντα ἕν· ἀνάγκη γὰρ [g]πάσας ὑπάρχειν τοῖς μὲν
κάτω τοῦ Π τὰς τῶν ἄνωθεν, τούτοις δὲ τὰς τῶν κάτωθεν,
ὥστε πάντα [h]ἓν ἔσται.

6 Θαυμάσειε δ' ἄν τις τῶν λεγόντων πλείω ἑνὸς τὰ στοι-
χεῖα τῶν σωμάτων ὥστε μὴ μεταβάλλειν εἰς ἄλληλα, καθά-
περ [d]Ἐμπεδοκλῆς [i]φησί, πῶς [k]ἐνδέχεται λέγειν αὐτοῖς εἶναι
συμβλητὰ τὰ στοιχεῖα. Καίτοι λέγει οὕτω· ταῦτα γὰρ
2 ἴσά [l]τε [m]πάντα. Εἰ μὲν οὖν κατὰ [n]τὸ ποσόν, ἀνάγκη

[o] ἄπειρα F. [p] τοῦτο] τοῦ L. [q] μεταβάλλει E.F.L. [r] τις om. F. [s] ἄλλη om. E. [t] δή] δὲ F.L. [v] δὴ om. L. [w] γὰρ incertum E. [x] γὰρ om. H. [y] μηδέπω F.H. [z] ἄλλη ἔσται ἐναντιότης F. [a] καὶ ante τῷ Ψ om. E. [b] ὡρίσθαι F. [c] ἔσται ἄλλο F.H.L. [d] διελθεῖν F. [e] οὐδ' om. E. [f] αἱ om. L. [g] ἁπάσας F, om. H. [h] ἓν om. L. [i] φησι] λέγει E.L. [k] ἐνδέχεται] ἔσται F. [l] τε om. H.L. [m] πάντα εἶναι. εἰ E. [n] τὸ om. E.

ταὐτό τι εἶναι ὑπάρχον ἅπασι τοῖς συμβλητοῖς ᾧ μετροῦνται, οἷον εἰ ἐξ ὕδατος κοτύλης [o]εἶεν ἀέρος δέκα· [p]τὸ αὐτό τι ἦν ἄρα ἄμφω, [q]εἰ μετρεῖται τῷ αὐτῷ. Εἰ δὲ μὴ οὕτω κατὰ 3
[r]τὸ [s]ποσὸν [t]συμβλητὰ [v]ὡς ποσὸν ἐκ ποσοῦ, ἀλλ' ὅσον [w]δύναται, οἷον εἰ κοτύλη ὕδατος ἴσον δύναται ψύχειν καὶ δέκα ἀέρος, [x]καὶ οὕτως κατὰ τὸ ποσὸν οὐχ ᾗ ποσὸν συμβλητά, ἀλλ' ᾗ [y]δύνανταί τι. Εἴη δ' ἂν καὶ μὴ τῷ τοῦ ποσοῦ μέτρῳ συμβάλλεσθαι [z]τὰς δυνάμεις, ἀλλὰ κατ' ἀναλογίαν, οἷον ὡς τόδε [a]λευκὸν τόδε θερμόν. Τὸ δ' ὡς τόδε σημαίνει 4
[b]ἐν μὲν ποιῷ τὸ ὅμοιον, ἐν [c]δὲ ποσῷ τὸ ἴσον. [d]Ἄτοπον δὴ φαίνεται, εἰ τὰ σώματα ἀμετάβλητα ὄντα μὴ ἀναλογίᾳ συμβλητά ἐστιν, ἀλλὰ μέτρῳ τῶν δυνάμεων καὶ [d]τῷ εἶναι ἴσον θερμὸν ἢ [e]ὅμοιον πυρὸς τοσονδὶ καὶ ἀέρος πολλαπλάσιον· τὸ γὰρ αὐτὸ πλεῖον τῷ ὁμογενὲς εἶναι τοιοῦτον ἕξει τὸν λόγον. [f]Ἀλλὰ μὴν οὐδ' αὔξησις ἂν εἴη κατ' [f]Ἐμπεδοκλέα, 5
ἀλλ' [g]ἢ κατὰ πρόσθεσιν· πυρὶ γὰρ αὔξει τὸ πῦρ·

Αὔξει δὲ χθὼν μὲν σφέτερον [g]γένος, αἰθέρα δ' αἰθήρ.

Ταῦτα δὲ προστίθεται· δοκεῖ δ' οὐχ οὕτως αὔξεσθαι τὰ [h]αὐξανόμενα. Πολὺ δὲ χαλεπώτερον ἀποδοῦναι περὶ γενέσεως τῆς κατὰ φύσιν. Τὰ γὰρ γινόμενα φύσει πάντα γί- 6
γνεται ἢ ἀεὶ [i]ὡδὶ ἢ ὡς ἐπὶ τὸ πολύ, [k]τὰ δὲ παρὰ [l]τὸ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπὸ ταὐτομάτου καὶ [m]ἀπὸ τύχης. Τί οὖν τὸ αἴτιον τοῦ ἐξ ἀνθρώπου ἄνθρωπον ἢ ἀεὶ [n]ἢ ὡς ἐπὶ τὸ πολύ, καὶ ἐκ τοῦ πυροῦ πυρὸν ἀλλὰ μὴ ἐλαίαν; [n]Ἢ καὶ ἐὰν ὡδὶ συντεθῇ ὀστοῦν; [o]Οὐ γὰρ ὅπως ἔτυχε συνελθόντων οὐδὲν γίγνεται, καθάπ[p]ερ ἐκεῖνός φησιν, ἀλλὰ λόγῳ τινί. Τί [q]οὖν [r]τούτων αἴτιον; Οὐ γὰρ δὴ πῦρ γε ἢ γῆ. [t]Ἀλλὰ 7

[o] εἶεν κοτύλαι ἀέρος F. [p] τὸ] τοῦτο E. [q] εἰ] γρ. ᾗ margo H. [r] τὸ om. E.F. [s] προσὸν pr. E. [t] ἐμβλητὰ L. [v] ὡς om. E. [w] δύνανται E. [x] καὶ om. E.L. [y] δύναται E.F.H. [z] τὰς] καὶ τὰς F. [a] θερμὸν τόδε λευκόν F.H. [b] ἐν μὲν ποιῷ ante σημαίνει L, om. E. [c] δὲ τῷ ποσῷ H.L. [d] τῷ] τὸ L. [e] ὁμοίως E. [f] ἢ ἡ κατὰ L. [g] γένος] δέμας H. [h] αὐξόμενα H. [i] ὡδὶ om E.F.L. [k] τὰ—πολὺ margo F. [l] τὸ alterum ante ὡς E. [m] ἀπὸ om. F. [n] ἢ ante ὡς om. L. [o] οὐ γὰρ] ἀλλ' οὐχ F.H. [p] περ om. E. [q] οὖν] οὖν τὸ L. [r] τούτου E.

μὴν οὐδ' ἡ φιλία καὶ τὸ νεῖκος· συγκρίσεως [s] γὰρ μόνον, τὸ δὲ διακρίσεως αἴτιον. Τοῦτο δ' ἐστὶν ἡ οὐσία ἡ ἑκάστου, ἀλλ' οὐ μόνον

Μίξις τε διάλλαξίς τε μιγέντων,

8 ὥσπερ ἐκεῖνός φησιν. [t] Τύχη δ' ἐπὶ [v] τούτων ὀνομάζεται, ἀλλ' οὐ λόγος· ἔστι γὰρ μιχθῆναι ὡς [w] ἔτυχεν. Τῶν δὴ φύσει ὄντων αἴτιον τὸ οὕτως ἔχειν, καὶ ἡ ἑκάστου φύσις αὕτη, περὶ ἧς οὐδὲν λέγει. Οὐδὲν ἄρα περὶ φύσεως λέγει. [x] Ἀλλὰ μὴν καὶ τὸ εὖ τοῦτο καὶ ἀγαθόν· ὁ δὲ τὴν μίξιν
9 [y] μόνον ἐπαινεῖ. Καίτοι τά [z] γε στοιχεῖα διακρίνει οὐ τὸ νεῖκος, ἀλλ' ἡ φιλία τὰ φύσει πρότερα τοῦ θεοῦ· θεοὶ δὲ καὶ ταῦτα. Ἔτι δὲ περὶ κινήσεως ἁπλῶς λέγει· οὐ γὰρ ἱκανὸν εἰπεῖν διότι ἡ φιλία καὶ τὸ νεῖκος κινεῖ, εἰ μὴ τοῦτ' ἦν [a] φιλίᾳ
10 εἶναι τὸ κινήσει τοιᾳδί, νείκει δὲ [b] τὸ τοιᾳδί. [c] Ἔδει οὖν [d] ἢ ὁρίσασθαι ἢ ὑποθέσθαι ἢ ἀποδεῖξαι, ἢ ἀκριβῶς ἢ μαλακῶς, ἢ [e] ἁμῶς [f] γέ πως. Ἔτι δ' ἐπεὶ [g] φαίνεται καὶ βίᾳ καὶ παρὰ φύσιν κινούμενα τὰ σώματα, καὶ κατὰ φύσιν, οἷον [h] τὸ πῦρ ἄνω μὲν οὐ βίᾳ, κάτω δὲ βίᾳ, [i] τῷ δὲ βίᾳ [k] τὸ κατὰ φύσιν ἐναντίον. Ἔστι δὲ τὸ βίᾳ· ἔστιν ἄρα καὶ τὸ κατὰ φύσιν
11 κινεῖσθαι. Ταύτην οὖν ἡ φιλία κινεῖ, ἢ οὔ· τοὐναντίον γὰρ τὴν γῆν [l] ἄνω καὶ διακρίσει ἔοικεν· καὶ μᾶλλον τὸ νεῖκος αἴτιον τῆς κατὰ φύσιν κινήσεως ἢ ἡ φιλία. Ὥστε καὶ ὅλως παρὰ φύσιν ἡ φιλία ἂν εἴη μᾶλλον. Ἁπλῶς δὲ εἰ μὴ [m] ἡ φιλία [n] ἢ τὸ νεῖκος [o] κινοῖ, αὐτῶν τῶν σωμάτων οὐδεμία κίνη-
12 σίς ἐστιν οὐδὲ μονή. Ἀλλ' ἄτοπον. Ἔτι δὲ καὶ φαίνεται κινούμενα· διέκρινε μὲν γὰρ [p] τὸ νεῖκος, ἠνέχθη δ' ἄνω ὁ αἰθὴρ οὐχ ὑπὸ τοῦ νείκους, ἀλλ' ὁτὲ μέν φησιν ὥσπερ ἀπὸ [q] τύχης

(Οὕτω γὰρ συνέκυρσε [r] θέων τότε, πολλάκι δ' ἄλλως),

ὁτὲ δέ φησι πεφυκέναι τὸ πῦρ ἄνω φέρεσθαι, ὁ δ' αἰθήρ, φησί,

[s] γὰρ—διακρίσεως om. pr. E. [t] τύχη] φύσις E. [v] τούτοις F.H. [w] τύχῃ L. [x] καὶ ante τὸ om. E. [y] μόνην H.L. [z] τε E.F.H. [a] φιλίαν E.L. [b] τὸ post δὲ νεῖ H. [c] δεῖ H. [d] ἢ om. H. [e] codices ἄλλως. [f] πῶς γε F. [g] φαίνονται E.L. [h] τὸ om. E.L. [i] τῷ] τὸ H. [k] τὸ] τῷ F. [l] κάτω E.H. [m] ἡ post μὴ om. E.F.L. [n] ἢ] καὶ E. [o] κινοίη L, κινεῖ F. [p] τὸ om. F. [q] τέχνης E. [r] θεῶν νοῦς τότε E.

Μακρῇσι κατὰ χθόνα δύετο [s] ῥιζαις.

[v]Αμα δὲ καὶ τὸν κόσμον ὁμοίως ἔχειν φησὶν ἐπί [t]τε τοῦ νεί- 13
κους νῦν καὶ πρότερον ἐπὶ τῆς φιλίας. Τί οὖν ἐστὶ τὸ κινοῦν
πρῶτον καὶ αἴτιον τῆς κινήσεως; Οὐ γὰρ δὴ ἡ φιλία καὶ τὸ
νεῖκος, ἀλλά τινος κινήσεως ταῦτα αἴτια· [v]εἰ [w]δ' ἔστιν, ἐκεῖνο
ἀρχή. [1]Ατοπον δὲ καὶ εἰ ἡ ψυχὴ ἐκ τῶν στοιχείων ἢ ἕν τι 14
αὐτῶν· αἱ γὰρ ἀλλοιώσεις αἱ τῆς ψυχῆς πῶς ἔσονται, οἷον
τὸ μουσικὸν εἶναι καὶ πάλιν ἄμουσον, ἢ μνήμη [x]ἢ λήθη;
Δῆλον γὰρ ὅτι εἰ μὲν πῦρ ἡ ψυχή, τὰ πάθη ὑπάρξει αὐτῇ
ὅσα πυρὶ ᾗ πῦρ· εἰ δὲ μικτόν, τὰ σωματικά· τούτων δ' οὐδὲν
[y]σωματικόν. [1]Αλλὰ περὶ [z]μὲν τούτων ἑτέρας [a]ἔργον ἐστὶ
θεωρίας. Περὶ δὲ τῶν στοιχείων ἐξ ὧν τὰ σώματα συνέστη- 7
κεν, ὅσοις μὲν δοκεῖ [b]τι εἶναι κοινὸν ἢ μεταβάλλειν εἰς ἄλ-
ληλα, ἀνάγκη εἰ θάτερον τούτων, καὶ θάτερον συμβαίνειν·
ὅσοι δὲ μὴ ποιοῦσιν ἐξ ἀλλήλων γένεσιν μηδ' ὡς ἐξ ἑκάστου,
πλὴν [c]ὡς ἐκ τοίχου πλίνθους, ἄτοπον πῶς ἐξ ἐκείνων ἔσονται
σάρκες καὶ ὀστᾶ καὶ τῶν ἄλλων ὁτιοῦν. [1]Εχει δὲ τὸ λεγό- 2
μενον ἀπορίαν καὶ τοῖς ἐξ ἀλλήλων γεννῶσιν, τίνα τρόπον
γίγνεται ἐξ αὐτῶν ἕτερόν τι [d]παρ' αὐτά. Λέγω δ' οἷον
[e]ἔστιν ἐκ πυρὸς ὕδωρ καὶ ἐκ τούτου γίγνεσθαι [f]πῦρ· ἔστι
γάρ τι κοινὸν τὸ ὑποκείμενον. [1]Αλλὰ δὴ καὶ σὰρξ ἐξ αὐ- 3
τῶν γίνεται καὶ μυελός· ταῦτα [g]δὴ γίνεται πῶς; [1]Εκείνοις
τε [h]γὰρ τοῖς λέγουσιν [i]ὡς [1]Εμπεδοκλῆς τίς ἔσται τρόπος;
[1]Ανάγκη γὰρ σύνθεσιν εἶναι καθάπερ ἐξ [k]πλίνθων καὶ λίθων
τοῖχος· καὶ τὸ μῖγμα [l]δὲ [m]τοῦτο ἐκ σωζομένων [n]μὲν ἔσται
τῶν στοιχείων, κατὰ μικρὰ δὲ παρ' ἄλληλα συγκειμένων.
Οὕτω δὴ σὰρξ καὶ τῶν ἄλλων [o]ἕκαστον. Συμβαίνει [p]δὴ 4

[s] ῥίζης E. [t] τε om. E.L. [v] εἰ δὲ margo F. [w] δ' om. E.H. [x] ἢ λ.] καὶ λ. H, ἢ καὶ λ. F. [y] σωματικόν] σωματικῷ L. [z] μὲν om. F.H. [a] ἐστὶν ἔργον H.L. [b] εἶναί τι F, εἶναί τι ἢ H. [c] ὡς post πλὴν om. E. [d] παρὰ ταῦτα F.H. [e] ἐκ πυρός ἐστιν F.H. [f] πῦρ om. E. [g] δὲ H. [h] τοῖς γὰρ E. [i] ὥσπερ F. [k] πλίνθων καὶ ἐκ λίθων H, λίθων καὶ πλίνθων F. [l] δὴ F.H.L. [m] τοῦτο] τὸ ἓν H. [n] μὲν om. H. [o] ἕκαστον. συμβαίνει γοῦν οὕτω λέγουσι μὴ ἐκ παντὸς μέρους σαρκὸς γίνεσθαι ἀέρα ὕδωρ καὶ τὰ ἕτερα, ἀλλὰ ἐξ ἑκατέρου ἑκάτερον, τουτέστιν ἐκ πάντων παρατεθειμένων καὶ ἐνυπαρχόντων ἐνεργείᾳ ἅπαντα διακρίνεσθαι, ὅπερ οὐχ οὕτω φαίνεται. συμβαίνει L. [p] δὲ F.H.

μὴ ἐξ ὁτουοῦν μέρους σαρκὸς γίγνεσθαι πῦρ καὶ ὕδωρ, [q] ὥσπερ ἐκ κηροῦ γένοιτ' ἂν ἐκ μὲν τουδὶ τοῦ μέρους σφαῖρα, πυραμὶς δ' ἐξ ἄλλου τινός· ἀλλ' ἐνδέχετό γε ἐξ ἑκατέρου
5 ἑκάτερον γενέσθαι. Τοῦτο μὲν δὴ τοῦτον γίνεται τὸν τρόπον ἐκ τῆς σαρκὸς ἐξ ὁτουοῦν ἄμφω· τοῖς δ' ἐκείνως λέγουσιν οὐκ ἐνδέχεται, ἀλλ' ὡς ἐκ τοίχου λίθος καὶ πλίνθος, ἑκάτερον ἐξ ἄλλου τόπου καὶ μέρους. [r] Ὁμοίως δὲ καὶ τοῖς ποιοῦσι μίαν αὐτῶν ὕλην ἔχει τινὰ ἀπορίαν, πῶς ἔσται τι ἐξ ἀμφο-
6 τέρων, οἷον ψυχροῦ καὶ θερμοῦ ἢ πυρὸς καὶ γῆς. Εἰ γάρ ἐστιν ἡ σὰρξ ἐξ ἀμφοῖν καὶ μηδέτερον ἐκείνων, μηδ' αὖ [s] σύνθεσις σωζομένων, τί λείπεται [t] πλὴν ὕλην εἶναι [u] τὸ ἐξ ἐκείνων; [v] Ἡ γὰρ θατέρου φθορὰ ἢ θάτερον [w] ποιεῖ ἢ τὴν ὕλην.
7 [x] Ἆρ' οὖν ἐπειδή ἐστι καὶ μᾶλλον καὶ ἧττον θερμὸν [y] καὶ ψυχρόν, ὅταν μὲν ἁπλῶς ᾖ θάτερον ἐντελεχείᾳ, δυνάμει θάτερον ἔσται· ὅταν δὲ μὴ παντελῶς, ἀλλ' ὡς μὲν θερμὸν ψυχρόν, ὡς δὲ ψυχρὸν θερμὸν διὰ τὸ μιγνύμενα [z] φθείρειν τὰς ὑπεροχὰς ἀλλήλων, τότε οὔθ' ἡ ὕλη ἔσται οὔτε ἐκείνων τῶν ἐναντίων ἑκάτερον ἐντελεχείᾳ ἁπλῶς, ἀλλὰ μεταξύ· κατὰ δὲ τὸ δυνάμει μᾶλλον εἶναι θερμὸν ἢ ψυχρὸν ἢ τοὐναντίον, [z] κατὰ [a] τοῦτον τὸν [b] λόγον διπλασίως θερμὸν δυνάμει ἢ ψυχρόν, ἢ τρι-
8 πλασίως, ἢ κατ' ἄλλον [c] τρόπον τοιοῦτον. [d] Ἔσται δὴ μιχθέντων [e] τἆλλ' ἐκ τῶν ἐναντίων ἢ τῶν στοιχείων, καὶ τὰ στοιχεῖα ἐξ ἐκείνων δυνάμει πως ὄντων, οὐχ οὕτω δὲ ὡς ἡ ὕλη, ἀλλὰ τὸν εἰρημένον τρόπον· καὶ ἔστιν [f] οὕτω μὲν μίξις,
9 ἐκείνως [g] δὲ ὕλη τὸ γινόμενον. [h] Ἐπεὶ δὲ καὶ πάσχει τἀναντία κατὰ τὸν ἐν τοῖς πρώτοις διορισμόν· ἔστι γὰρ τὸ ἐνεργείᾳ θερμὸν δυνάμει ψυχρὸν καὶ τὸ ἐνεργείᾳ ψυχρὸν δυνάμει θερμόν, ὥστε ἐὰν μὴ ἰσάζῃ, μεταβάλλει [i] εἰς ἄλληλα.
10 [k] Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐναντίων· καὶ πρῶτον οὕτω

[q] ὥσπερ εἰ ἐκ L. et margo F. [r] σύνθεσιν E, συνθέσει L. [s] πλὴν τὴν ὕλην F.H.L. [t] τὸ om. E. [u] γὰρ ἐκ θ. H. [v] ποιεῖ F.H. [x] καὶ ψ.] ἢ ψ. F. [y] διαφθείρειν H. [z] κατὰ] καὶ κατὰ L, ἑκάτερον κατὰ F. [a] τὸν τούτων H.L. [b] λόγον καὶ δ. L, λόγον καὶ τῷ λόγῳ δ. H. et pr. F. [c] τοιοῦτον τρόπον F. [d] δὴ] μὴ E. [e] ἀλλ' E. [f] οὕτω] τοῦτο H. [g] δὲ ἡ ὕλη F.L. [h] δὴ E. [i] εἰς om. E.L.

τὰ στοιχεῖα μεταβάλλει, ἐκ δὲ τούτων σάρκες καὶ ὀστᾶ καὶ τὰ τοιαῦτα, τοῦ μὲν θερμοῦ [k]γιγνομένου ψυχροῦ, τοῦ δὲ ψυχροῦ θερμοῦ, ὅταν πρὸς τὸ μέσον [l]ἔλθῃ· ἐνταῦθα γὰρ οὐδέτερον, τὸ δὲ μέσον πολὺ καὶ οὐκ ἀδιαίρετον. [t]Ὁμοίως δὲ καὶ τὸ ξηρὸν καὶ ὑγρὸν [m]καὶ τὰ τοιαῦτα κατὰ μεσότητα ποιοῦσι σάρκα καὶ [n]ὀστᾶ καὶ [o]τἆλλα.

[v]Ἅπαντα δὲ τὰ μικτὰ σώματα, ὅσα περὶ τὸν τοῦ μέσου 8
τόπον ἐστίν, ἐξ ἁπάντων σύγκειται τῶν ἁπλῶν. [p]Γῆ μὲν 2
[q]γὰρ ἐνυπάρχει πᾶσι διὰ τὸ ἕκαστον εἶναι μάλιστα καὶ πλεῖστον ἐν τῷ οἰκείῳ τόπῳ, ὕδωρ [r]δὲ διὰ τὸ δεῖν μὲν ὁρίζεσθαι τὸ σύνθετον, μόνον δ' εἶναι τῶν ἁπλῶν εὐόριστον τὸ ὕδωρ, ἔτι δὲ καὶ τὴν γῆν ἄνευ τοῦ ὑγροῦ μὴ δύνασθαι συμμένειν, ἀλλὰ τοῦτ' εἶναι τὸ συνέχον· εἰ γὰρ ἐξαιρεθείη τελέως ἐξ αὐτῆς τὸ ὑγρόν, διαπίπτοι ἄν. Γῆ μὲν οὖν καὶ ὕδωρ 3
διὰ ταύτας [s]ἐνυπάρχει τὰς αἰτίας, ἀὴρ δὲ καὶ πῦρ, ὅτι ἐναντία ἐστὶ γῇ καὶ ὕδατι· γῇ μὲν [t]γὰρ ἀέρι, ὕδωρ δὲ πυρὶ ἐναντίον ἐστίν, ὡς ἐνδέχεται οὐσίαν οὐσίᾳ [u]ἐναντίαν εἶναι. [i]Ἐπεὶ οὖν αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσίν, ἐνυπάρχει δὲ [v]θάτερα [w]ἄκρα τῶν ἐναντίων, ἀνάγκη καὶ [x]θάτερον ἐνυπάρχειν, ὥστ' ἐν ἅπαντι τῷ συνθέτῳ πάντα τὰ ἁπλᾶ ἐνέσται. Μαρτυρεῖν 4
δ' ἔοικε καὶ ἡ τροφὴ [y]ἑκάστων· ἅπαντα μὲν γὰρ τρέφεται τοῖς αὐτοῖς ἐξ ὧνπερ [z]ἐστίν, ἅπαντα δὲ πλείοσι τρέφεται. Καὶ [a]γὰρ ἅπερ ἂν [b]δόξειεν ἑνὶ μόνῳ [c]τρέφεσθαι, τῷ ὕδατι τὰ φυτά, πλείοσι τρέφεται· μέμικται γὰρ τῷ ὕδατι γῆ· [d]διὸ καὶ οἱ γεωργοὶ πειρῶνται μίξαντες ἄρδειν. [i]Ἐπεὶ δ' 5
ἐστὶν ἡ μὲν τροφὴ τῆς ὕλης, τὸ [e]δὲ τρεφόμενον συνειλημένον τῇ ὕλῃ, ἡ μορφὴ καὶ τὸ εἶδος, εὔλογον ἤδη τὸ μόνον τῶν ἁπλῶν σωμάτων τρέφεσθαι τὸ πῦρ ἁπάντων [f]ἐξ ἀλλήλων γινομένων, ὥσπερ καὶ οἱ [g]πρότεροι λέγουσιν· μόνον [h]γάρ

[k] *γενομένου* F. [l] *ἔλθωσιν* H. [m] *καὶ τὰ ἄλλα τὰ* F. [n] *ὀστοῦν* E.L. [o] *τἆλλα τὰ τοιαῦτα* H. et pr. F. [p] *γῆς* H. [q] *γὰρ* om. F. [r] *δὲ*] *δὴ* L. [s] *ἐνυπάρχουσι* F. [t] *γὰρ* om. F. [u] *ἐναντίον* H. [v] *θάτερον* L. [w] *ἄκρον* L, om. H. [x] *θάτερα* E. [y] *ἑκάστου* H. [z] *εἰσίν* F.H. [a] *γάρ ἐστιν* (supra posito *ὅσα*) *ἅπερ* F. [b] *δόξειε μάλιστα ἑνὶ* L. [c] *τρέφεσθαι μάλιστα τῷ* H. [d] *διὸ γεωργοὶ καὶ π.* E. [e] *τρεφόμενον δὲ* F. [f] *ἐξ*] *γὰρ ἐξ* H. [g] *πρότερον* L. [h] *γάρ* om. H.

ἐστι καὶ μάλιστα τοῦ εἴδους τὸ πῦρ διὰ τὸ πεφυκέναι φέρε-
6 σθαι πρὸς τὸν ὅρον. [v]Ἕκαστον δὲ πέφυκεν εἰς τὴν [i]ἑαυτοῦ
[j]χώραν φέρεσθαι· ἡ δὲ μορφὴ καὶ τὸ εἶδος ἁπάντων ἐν τοῖς
ὅροις. [v]Ὅτι μὲν οὖν ἅπαντα τὰ σώματα ἐξ ἁπάντων συν-
έστηκε τῶν ἁπλῶν, εἴρηται.

9 [t]Ἐπεὶ δ' ἐστὶν ἔνια γενητὰ καὶ φθαρτά, καὶ ἡ γένεσις
τυγχάνει οὖσα ἐν τῷ περὶ τὸ μέσον τόπῳ, λεκτέον περὶ πά-
σης γενέσεως ὁμοίως πόσαι τε καὶ τίνες αὐτῆς [k]αἱ ἀρχαί·
ῥᾷον γὰρ οὕτω [l]τὰ καθ' [m]ἕκαστον θεωρήσομεν, ὅταν περὶ
2 τῶν καθόλου λάβωμεν πρῶτον. Εἰσὶν οὖν καὶ τὸν ἀριθμὸν
ἴσαι καὶ τῷ γένει αἱ αὐταὶ αἵπερ ἐν τοῖς ἀϊδίοις τε καὶ πρώ-
τοις· ἡ μὲν γάρ ἐστιν ὡς ὕλη, ἡ δ' ὡς μορφή. Δεῖ δὲ καὶ
τὴν τρίτην ἔτι προσυπάρχειν· οὐ [n]γὰρ ἱκαναὶ πρὸς τὸ γεν-
νῆσαι [o]αἱ δύο, καθάπερ οὐδ' ἐν τοῖς πρώτοις. [t]Ὡς μὲν οὖν
ὕλη τοῖς γενητοῖς ἐστὶν [p]αἴτιον τὸ [q]δυνατὸν εἶναι καὶ μὴ
3 εἶναι. Τὰ μὲν γὰρ ἐξ ἀνάγκης ἐστίν, οἷον τὰ ἀΐδια, τὰ δ'
[r]ἐξ ἀνάγκης οὐκ ἔστιν. Τούτων δὲ τὰ μὲν ἀδύνατον μὴ εἶναι,
τὰ δὲ ἀδύνατον εἶναι διὰ τὸ μὴ ἐνδέχεσθαι παρὰ τὸ ἀναγκαῖον
ἄλλως ἔχειν. [u]Ἔνια δὲ καὶ εἶναι καὶ μὴ εἶναι δυνατά, ὅπερ
ἐστὶ τὸ γενητὸν καὶ φθαρτόν· ποτὲ μὲν γάρ ἐστι τοῦτο,
4 ποτὲ δ' οὐκ ἔστιν. [v]Ὥστ' [s]ἀνάγκη γένεσιν εἶναι καὶ φθορὰν
περὶ τὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι. Διὸ καὶ ὡς μὲν ὕλη τοῦτ'
ἐστὶν αἴτιον [t]τοῖς γενητοῖς, ὡς δὲ τὸ οὗ [v]ἕνεκεν ἡ μορφὴ καὶ
τὸ εἶδος· τοῦτο δ' ἐστὶν ὁ λόγος [w]ὁ [x]τῆς ἑκάστου οὐσίας.
5 Δεῖ δὲ προσεῖναι [y]καὶ τὴν τρίτην, ἣν ἅπαντες μὲν ὀνειρώτ-
τουσι, λέγει δ' οὐδείς, [z]ἀλλ' οἱ μὲν ἱκανὴν [a]ᾠήθησαν αἰτίαν
εἶναι πρὸς τὸ γίνεσθαι τὴν τῶν εἰδῶν φύσιν, ὥσπερ ὁ [b]ἐν
Φαίδωνι Σωκράτης· καὶ γὰρ ἐκεῖνος, ἐπιτιμήσας τοῖς ἄλλοις
ὡς οὐδὲν εἰρηκόσιν, ὑποτίθεται ὅτι ἐστὶ τῶν ὄντων τὰ μὲν

[i] αὐτοῦ H. [j] φέρεσθαι χώραν F.H. [k] αἱ om. E.H.L. [l] τὰ om. F. [m] ἕκαστα F.H.L. [n] γὰρ ἂν ἱκαναὶ E.L. [o] αἱ om. E. [p] αἴτιον om. F. [q] δυνατὸν om. L. [r] οὐκ ἔστιν ἐξ ἀνάγκης F. [s] ἀναγκαῖον F. [t] τοῖς] ἐν τοῖς E. [v] ἕνεκα F.H.L. [w] ὁ ante τῆς om. E.L. [x] ἑκάστου τῆς H. [y] καὶ τὴν om. E. [z] ἀλλ' οἱ μὲν om. E. [a] ᾠήθησαν τὴν αἰτίαν F. [b] ἐν τῷ φαίδωνι F.H.L.

εἴδη τὰ δὲ μεθεκτικὰ τῶν εἰδῶν, καὶ ὅτι εἶναι μὲν ἕκαστον λέγεται κατὰ τὸ εἶδος, γίνεσθαι δὲ κατὰ τὴν μετάληψιν καὶ φθείρεσθαι κατὰ τὴν ἀποβολήν, ὥστ' εἰ ταῦτα ἀληθῆ, τὰ εἴδη οἴεται ἐξ ἀνάγκης αἴτια εἶναι καὶ γενέσεως καὶ φθορᾶς. Οἱ δ' [c] αὐτὴν τὴν ὕλην· ἀπὸ ταύτης γὰρ [d] εἶναι τὴν κίνησιν. 6 Οὐδέτεροι δὲ λέγουσι καλῶς. Εἰ μὲν γάρ ἐστιν αἴτια τὰ εἴδη, διὰ τί οὐκ [e] ἀεὶ γεννᾷ συνεχῶς, ἀλλὰ ποτὲ μὲν ποτὲ δ' οὔ, ὄντων καὶ τῶν εἰδῶν ἀεὶ καὶ τῶν μεθεκτικῶν; Ἔτι [f] δ' 7 ἐπ' ἐνίων θεωροῦμεν ἄλλο τὸ αἴτιον [g] ὄν· ὑγίειαν [h] γὰρ ὁ ἰατρὸς ἐμποιεῖ καὶ ἐπιστήμην ὁ ἐπιστήμων, οὔσης καὶ ὑγιείας αὐτῆς καὶ ἐπιστήμης καὶ τῶν μεθεκτικῶν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ δύναμιν πραττομένων. Εἰ δὲ τὴν ὕλην 8 τις [i] φήσειε γεννᾶν διὰ τὴν κίνησιν, φυσικώτερον [k] μὲν ἂν λέγοι τῶν οὕτω [l] λεγόντων· τὸ γὰρ ἀλλοιοῦν καὶ τὸ μεταschηματίζον αἰτιώτερόν τε τοῦ γεννᾶν, καὶ ἐν ἅπασιν εἰώθαμεν τοῦτο λέγειν τὸ ποιοῦν, ὁμοίως ἔν τε τοῖς [m] φύσει καὶ [n] ἐν τοῖς ἀπὸ [o] τέχνης, ὃ ἂν [p] ᾖ κινητικόν. Οὐ μὴν ἀλλὰ καὶ 9 οὗτοι οὐκ ὀρθῶς λέγουσιν· τῆς μὲν γὰρ ὕλης τὸ πάσχειν ἐστὶ καὶ τὸ κινεῖσθαι, τὸ δὲ κινεῖν [q] καὶ ποιεῖν ἑτέρας δυνάμεως. Δῆλον δὲ καὶ ἐπὶ τῶν τέχνῃ καὶ [r] ἐπὶ τῶν φύσει γινομένων· [s] οὐ γὰρ αὐτὸ ποιεῖ τὸ ὕδωρ [t] ζῷον ἐξ αὑτοῦ, [v] οὐδὲ τὸ ξύλον κλίνην, ἀλλ' ἡ τέχνη. [w] Ὥστε καὶ οὗτοι διὰ τοῦτο λέγουσιν 10 οὐκ ὀρθῶς, καὶ ὅτι παραλείπουσι τὴν κυριωτέραν αἰτίαν· ἐξαιροῦσι γὰρ τὸ τί ἦν εἶναι καὶ τὴν μορφήν. Ἔτι [w] δὲ καὶ τὰς δυνάμεις ἀποδιδόασι τοῖς σώμασι, δι' [x] ἃς γεννῶσι, λίαν [y] ὀργανικῶς, ἀφαιροῦντες τὴν κατὰ τὸ εἶδος αἰτίαν. [z] Ἐπειδὴ 11 γὰρ πέφυκεν, ὥς [a] φασι, τὸ μὲν θερμὸν διακρίνειν τὸ δὲ ψυχρὸν συνιστάναι, καὶ τῶν ἄλλων ἕκαστον τὸ μὲν ποιεῖν τὸ

[c] αὐτὴν] αὖ H. [d] εἶναι om. F. [e] ἀεὶ om. pr. E. [f] δ' om. H. [g] ὄν om. H. [h] γὰρ καὶ ὁ E. [i] φήσῃε E, φήσι L, φήσει F.H. [k] μὲν om. F. [l] λεγομένων E.L. [m] φυσικοῖς L. [n] ἐν om. F. [o] τέχνης ἀπὸ τέχνης δὲ ὃ H. et pr. F. [p] κινητικὸν ᾖ F. [q] καὶ τὸ ποιεῖν F.H. [r] ἐπὶ τῶν om. F. [s] οὔτε H.L. [t] ἐξ ἑαυτοῦ ζῷον F. [v] οὔτε F.H. [w] δὲ om. H. [x] ἃ E. [y] ὀργανικὰς E.L. [z] ἐπεὶ F.H. [a] φησιν E.

δὲ πάσχειν, ἐκ τούτων λέγουσι καὶ διὰ τούτων ἅπαντα τἆλλα γίγνεσθαι καὶ φθείρεσθαι· φαίνεται δὲ καὶ τὸ πῦρ αὐτὸ κι-
12 νούμενον καὶ πάσχον. [d]Ἔτι δὲ παραπλήσιον ποιοῦσιν ὥσπερ εἴ τις τῷ πρίονι καὶ ἑκάστῳ τῶν ὀργάνων [b]ἀπονέμοι τὴν αἰτίαν τῶν γινομένων· ἀνάγκη γὰρ [c]πρίοντος διαιρεῖσθαι
13 καὶ [d]ξέοντος λεαίνεσθαι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. [v]Ὥστ' εἰ ὅτι μάλιστα [e]ποιεῖ καὶ κινεῖ τὸ πῦρ, ἀλλὰ πῶς κινεῖ [f]οὐχ ὁρῶσιν, ὅτι χεῖρον ἢ τὰ ὄργανα. [t]Ἡμῖν δὲ καθόλου [g]τε πρότερον εἴρηται περὶ τῶν αἰτίων, καὶ νῦν διώρισται περί τε τῆς ὕλης καὶ τῆς μορφῆς.

10 [u]Ἔτι δὲ [h]ἐπεὶ ἡ κατὰ τὴν φορὰν κίνησις δέδεικται ὅτι ἀΐδιος, ἀνάγκη τούτων ὄντων καὶ γένεσιν εἶναι συνεχῶς· ἡ
2 γὰρ φορὰ ποιήσει τὴν γένεσιν [i]ἐνδελεχῶς διὰ τὸ προσάγειν [k]καὶ ἀπάγειν τὸ [l]γεννητικόν. [v]Ἅμα δὲ δῆλον ὅτι καὶ [m]τὰ [n]πρότερον καλῶς εἴρηται, τὸ πρώτην τῶν μεταβολῶν [o]τὴν φορὰν ἀλλὰ μὴ τὴν γένεσιν εἰπεῖν· πολὺ γὰρ εὐλογώτερον τὸ ὂν τῷ μὴ ὄντι γενέσεως [p]αἴτιον εἶναι [q]ἢ τὸ μὴ ὂν τῷ ὄντι τοῦ εἶναι. Τὸ μὲν οὖν φερόμενον ἔστι, τὸ δὲ γινόμενον
3 οὐκ ἔστιν· διὸ καὶ ἡ φορὰ προτέρα τῆς γενέσεως. [d]Ἐπεὶ δ' ὑπόκειται καὶ δέδεικται συνεχὴς οὖσα τοῖς πράγμασι [r]καὶ γένεσις καὶ φθορά, φαμὲν δ' αἰτίαν εἶναι [s]τὴν φορὰν τοῦ γίνεσθαι, φανερὸν [t]ὅτι μιᾶς μὲν οὔσης τῆς φορᾶς οὐκ ἐνδέχεται γίνεσθαι ἄμφω διὰ τὸ ἐναντία εἶναι· τὸ γὰρ αὐτὸ καὶ
4 ὡσαύτως ἔχον ἀεὶ τὸ αὐτὸ πέφυκε ποιεῖν. [v]Ὥστε ἤτοι γένεσις [v]ἀεὶ ἔσται ἢ φθορά. Δεῖ δὲ πλείους εἶναι τὰς κινήσεις καὶ ἐναντίας, ἢ τῇ [w]φορᾷ ἢ τῇ ἀνωμαλίᾳ· τῶν γὰρ ἐναντίων
5 [x]τἀναντία αἴτια. Διὸ καὶ οὐχ ἡ πρώτη φορὰ [y]αἰτία ἐστὶ γενέσεως καὶ φθορᾶς, ἀλλ' ἡ κατὰ τὸν λοξὸν κύκλον· ἐν

[b] ἀπονέμει F. [c] πρίονος ὄντος L. [d] ξαίοντος F. [e] κινεῖ καὶ ποιεῖ L. [f] οὐ προθεωροῦσιν H. [g] τε om. H. [h] ἐπειδὴ H. [i] ἐντελεχῶς E. [k] καὶ ἀπάγειν om. F. [l] γενητικὸν E. [m] τὰ] τὸ E. [n] πρῶτα F. [o] τὴν om. E. [p] εἶναι αἴτιον L. [q] ἢ—διὸ margo F. [r] καὶ ante γένεσις om. F.H. [s] τὴν φορὰν om. E. [t] ὅτι] ὡς F.L. [v] ἔσται ἀεὶ F.H. [w] φθορᾷ E. [x] ἐναντία αἴτια E, αἴτια τἀναντία H, αἴτια τὰ ἐναντία F. [y] αἰτία τῆς γενέσεώς ἐστι καὶ τῆς φθορᾶς F.

ταύτῃ γὰρ καὶ τὸ συνεχές [z] ἐστι καὶ τὸ [a] κινεῖσθαι δύο κινήσεις· ἀνάγκη γάρ, εἴ [b] γε ἀεὶ ἔσται συνεχὴς γένεσις καὶ φθορά, ἀεὶ [c] μέν [d] τι κινεῖσθαι, ἵνα μὴ [e] ἐπιλείπωσιν αὗται αἱ μεταβολαί, δύο δ', ὅπως μὴ θάτερον συμβαίνῃ μόνον. Τῆς 6
μὲν οὖν συνεχείας ἡ τοῦ ὅλου φορὰ αἰτία, τοῦ δὲ προσιέναι καὶ ἀπιέναι ἡ ἔγκλισις· συμβαίνει γὰρ ὁτὲ μὲν πόρρω γίνεσθαι ὁτὲ δ' ἐγγύς. [f] Ἀνίσου δὲ τοῦ διαστήματος ὄντος ἀνώ- 7
μαλος ἔσται ἡ κίνησις· ὥστ' εἰ τῷ [f] προσιέναι καὶ ἐγγὺς εἶναι γεννᾷ, [g] τῷ ἀπιέναι [h] ταὐτὸν τοῦτο καὶ πόρρω γίνεσθαι φθείρει, καὶ εἰ τῷ πολλάκις [i] προσιέναι γεννᾷ, καὶ τῷ πολλάκις [k] ἀπελθεῖν φθείρει· τῶν γὰρ ἐναντίων τἀναντία αἴτια. Καὶ
ἐν ἴσῳ χρόνῳ [l] καὶ ἡ φθορὰ καὶ ἡ γένεσις [m] ἡ κατὰ φύσιν. Διὸ καὶ οἱ χρόνοι καὶ οἱ βίοι [n] ἑκάστων ἀριθμὸν ἔχουσι καὶ 8
τούτῳ διορίζονται· πάντων γάρ ἐστι τάξις, καὶ πᾶς [o] βίος καὶ χρόνος [p] μετρεῖται περιόδῳ, πλὴν οὐ τῇ αὐτῇ [q] πάντες, ἀλλ' οἱ μὲν ἐλάττονι οἱ δὲ πλείονι· [r] τοῖς μὲν γὰρ ἐνιαυτός, τοῖς δὲ μείζων, [s] τοῖς δὲ ἐλάττων ἡ περίοδός ἐστι [t] τὸ μέτρον. Φαίνεται δὲ καὶ κατὰ τὴν αἴσθησιν ὁμολογούμενα τοῖς παρ' 9
ἡμῶν [v] λόγοις· ὁρῶμεν γὰρ ὅτι προσιόντος μὲν τοῦ ἡλίου γένεσίς ἐστιν, ἀπιόντος δὲ φθίσις, καὶ ἐν ἴσῳ χρόνῳ ἑκάτερον· ἴσος γὰρ ὁ χρόνος τῆς [w] φθορᾶς καὶ τῆς γενέσεως τῆς κατὰ φύσιν. [f] Ἀλλὰ συμβαίνει πολλάκις ἐν ἐλάττονι φθείρεσθαι 10
διὰ τὴν πρὸς ἄλληλα σύγκρασιν· ἀνωμάλου γὰρ οὔσης τῆς ὕλης καὶ οὐ πανταχοῦ τῆς αὐτῆς ἀνάγκη καὶ τὰς γενέσεις ἀνωμάλους εἶναι καὶ τὰς μὲν [x] θάττους τὰς δὲ [y] βραδυτέρας, ὥστε συμβαίνει διὰ τὴν τούτων γένεσιν ἄλλοις γίνεσθαι φθοράν. [f] Ἀεὶ δ', ὥσπερ εἴρηται, συνεχὴς ἔσται ἡ γένεσις καὶ ἡ φθορά,

[z] ἐστι] ἔνεστι F.H. [a] κινεῖσθαι δύο om. pr. E. [b] γε ἀεὶ] τε ἀεὶ E, om. F.H. [c] μέν om. E. [d] τι] τοι L. [e] ἐπιλιμπάνωσιν E, ὑπολίπωσιν L. [f] προιέναι E. [g] τῷ] καὶ τῷ H, ἐν τῷ F, καὶ ἐν τῷ L. [h] ταὐτὸ τοῦτο post γίνεσθαι F.H. [i] προσελθεῖν E.L. [k] ἀπιέναι F. [l] καὶ post χρ. om. F.H. [m] ἡ ante κατὰ om. E. [n] ἑκάστων οὖν ἀρ. pr. F. [o] χρόνος καὶ βίος F.H. [p] μετρᾶται H. [q] πάντες om. E, πάντες—πλείονι om. L. [r] τοῖς μὲν] ἄλλοις μὲν L. [s] τοῖς δὲ] ἄλλοις δὲ F. [t] τὸ om. E. [v] λεγομένοις F. [w] φορᾶς E. [x] θᾶττον E L. [y] βραδυτέρας εἶναι ὥστε E.

11 καὶ [z] οὐδέποτε ὑπολείψει δι' ἣν εἴπομεν αἰτίαν. Τοῦτο δ' εὐλόγως συμβέβηκεν· ἐπεὶ γὰρ ἐν ἅπασιν [a] ἀεὶ τοῦ βελτίονος ὀρέγεσθαί [b] φαμεν τὴν φύσιν, βέλτιον δὲ τὸ εἶναι ἢ [c] τὸ μὴ εἶναι (τὸ δ' εἶναι ποσαχῶς λέγομεν, ἐν ἄλλοις εἴρηται), τοῦτο δ' [d] ἀδύνατον ἐν ἅπασιν ὑπάρχειν διὰ τὸ πόρρω τῆς ἀρχῆς ἀφίστασθαι, τῷ λειπομένῳ τρόπῳ συνεπλήρωσε τὸ ὅλον ὁ θεός, [e] ἐντελεχῇ ποιήσας τὴν γένεσιν· οὕτω γὰρ ἂν μάλιστα συνείροιτο τὸ εἶναι διὰ τὸ [f] ἐγγύτατα εἶναι τῆς οὐσίας τὸ
12 γίνεσθαι [g] ἀεὶ καὶ τὴν γένεσιν. [h] Τούτου δ' [i] αἴτιον, ὥσπερ εἴρηται πολλάκις, [k] ἡ κύκλῳ φορά· μόνη γὰρ συνεχής. Διὸ καὶ τἆλλα ὅσα μεταβάλλει εἰς ἄλληλα κατὰ τὰ πάθη καὶ τὰς δυνάμεις, οἷον τὰ ἁπλᾶ σώματα, μιμεῖται τὴν κύκλῳ φοράν· ὅταν γὰρ ἐξ ὕδατος ἀὴρ γένηται καὶ ἐξ ἀέρος πῦρ καὶ πάλιν [l] ἐκ πυρὸς ὕδωρ, κύκλῳ φαμὲν περιεληλυθέναι τὴν
13 γένεσιν διὰ τὸ πάλιν ἀνακάμπτειν. [v] Ὥστε καὶ ἡ [m] εὐθεῖα φορὰ μιμουμένη τὴν κύκλῳ συνεχής ἐστιν. [v] Ἅμα δὲ δῆλον ἐκ τούτων ὅ τινες ἀποροῦσιν, διὰ τί ἑκάστου τῶν σωμάτων εἰς τὴν οἰκείαν φερομένου χώραν ἐν τῷ ἀπείρῳ χρόνῳ οὐ διεστᾶσι τὰ σώματα. Αἴτιον γὰρ τούτου ἐστὶν ἡ [n] εἰς ἄλληλα μετάβασις· εἰ γὰρ ἕκαστον [o] ἔμενεν ἐν τῇ αὑτοῦ χώρᾳ καὶ μὴ [p] μετέβαλλεν ὑπὸ τοῦ πλησίον, ἤδη ἂν [q] διεστήκεσαν.
14 Μεταβάλλει μὲν οὖν διὰ τὴν [r] φορὰν διπλῆν οὖσαν· διὰ δὲ τὸ μεταβάλλειν οὐκ ἐνδέχεται μένειν οὐδὲν αὐτῶν ἐν οὐδεμιᾷ χώρᾳ τεταγμένῃ. Διότι μὲν οὖν ἔστι γένεσις καὶ φθορὰ καὶ διὰ τίν' [s] αἰτίαν, καὶ τί τὸ [t] γενητὸν καὶ φθαρτόν, φανερὸν ἐκ
15 τῶν εἰρημένων. [v] Ἐπεὶ δ' [v] ἀνάγκη εἶναί τι [w] τὸ [x] κινοῦν, εἰ κίνησις ἔσται, ὥσπερ εἴρηται πρότερον [y] ἐν ἑτέροις, καὶ [z] εἰ ἀεί, ὅτι [a] ἀεί τι δεῖ εἶναι, καὶ εἰ [b] συνεχής, ἓν τὸ αὐτὸ καὶ ἀκί-

[z] οὔτε ποτὲ L. [a] ἀεὶ post φύσιν F. [b] φαμεν ante τοῦ βελτίονος F. [c] τὸ ante μὴ om. H. [d] ἐν ἅπασιν ἀδύνατον F.H. [e] ἐνδελεχῇ F.H. [f] ἐγγυτάτω F. [g] ἀεὶ om. H. [h] τοῦτο F. [i] αἴτιον om. F.H. [k] ἡ] αἰτία ἡ H. [l] ἐκ τοῦ πυρὸς F.H. [m] εὐθεῖα τούτων φ. L. [n] εἰς] ἐπ' E. [o] ἔμεινεν F.H. [p] μετέβαλεν H. [q] διειστήκεσαν F.H.L. [r] φθορὰν E. [s] αἰτίαν εἴρηται καὶ L. [t] γεννητὸν L. [v] ἀναγκαῖον H. [w] τὸ om. E.F. [x] κινοῦν om. E. [y] ἐν] καὶ ἐν H. [z] εἰ om. E. [a] ἀεὶ δεῖ τι εἶναι E.L, δεῖ τι ἀεὶ εἶναι F. [b] συνεχὲς E.

νητον καὶ ἀγένητον καὶ ἀναλλοίωτον· καὶ εἰ πλείους [b]εἶεν [c]αἱ κύκλῳ κινήσεις, πλείους μέν, πάσας δέ πως εἶναι ταύτας [d]ἀνάγκη ὑπὸ μίαν ἀρχήν· συνεχοῦς δ' ὄντος τοῦ χρόνου [e]ἀνάγκη τὴν κίνησιν συνεχῆ εἶναι, εἴπερ ἀδύνατον χρόνον [f]χωρὶς κινήσεως εἶναι. Συνεχοῦς ἄρα τινὸς [g]ἀριθμὸς ὁ χρό- 16
νος. Τῆς κύκλῳ ἄρα, καθάπερ ἐν τοῖς ἐν ἀρχῇ [h]λόγοις [i]διωρίσθη. Συνεχὴς δ' [k]ἡ κίνησις πότερον τῷ τὸ κινούμενον συνεχὲς εἶναι [l]ἢ [m]τῷ τὸ ἐν ᾧ κινεῖται, οἷον τὸν τόπον λέγω ἢ τὸ πάθος; Δῆλον δὴ ὅτι τῷ τὸ κινούμενον· πῶς γὰρ τὸ πάθος συνεχὲς [n]ἀλλ' ἢ τῷ τὸ πρᾶγμα [o]ᾧ συμβέβηκε συνεχὲς εἶναι; Εἰ δὲ καὶ [p]τῷ ἐν ᾧ, μόνῳ τοῦτο τῷ τόπῳ [q]ὑπάρχει· 17
μέγεθος γάρ τι ἔχει, τούτου δὲ τὸ κύκλῳ μόνον συνεχές, ὥστε αὐτὸ αὐτῷ [r]ἀεὶ συνεχές. Τοῦτο [s]ἄρα ἐστὶν ὃ ποιεῖ συνεχῆ κίνησιν, τὸ κύκλῳ σῶμα φερόμενον· ἡ δὲ κίνησις τὸν χρόνον.

[t]Ἐπεὶ δ' ἐν τοῖς συνεχῶς κινουμένοις κατὰ γένεσιν ἢ ἀλλοί- 11
ωσιν ἢ ὅλως μεταβολὴν ὁρῶμεν τὸ ἐφεξῆς ὂν καὶ γινόμενον τόδε μετὰ τόδε ὥστε μὴ διαλείπειν, σκεπτέον πότερον ἔστι [t]τι ὃ ἐξ ἀνάγκης ἔσται, ἢ οὐδέν, ἀλλὰ πάντα ἐνδέχεται μὴ γενέσθαι. [v]Ὅτι μὲν γὰρ ἔνια, δῆλον, καὶ εὐθὺς τὸ ἔσται καὶ 2
τὸ μέλλον ἕτερον διὰ τοῦτο· ὃ μὲν γὰρ ἀληθὲς εἰπεῖν ὅτι [v]ἔσται, δεῖ τοῦτο εἶναί ποτε ἀληθὲς ὅτι ἔστιν· ὃ δὲ νῦν ἀληθὲς εἰπεῖν ὅτι μέλλει, οὐδὲν κωλύει μὴ γενέσθαι· μέλλων [w]γὰρ ἂν βαδίζειν τις οὐκ ἂν [x]βαδίσειεν. [v]Ὅλως δ', [y]ἐπεὶ 3
ἐνδέχεται ἔνια τῶν ὄντων καὶ μὴ εἶναι, δῆλον ὅτι καὶ [z]τὰ γινόμενα οὕτως ἕξει, καὶ οὐκ ἐξ ἀνάγκης τοῦτ' ἔσται. Πότερον οὖν ἅπαντα τοιαῦτα ἢ οὔ, ἀλλ' ἔνια ἀναγκαῖον ἁπλῶς [a]γίνεσθαι, καὶ ἔστιν ὥσπερ ἐπὶ τοῦ εἶναι τὰ μὲν ἀδύνατα μὴ

[b] εἶεν om. E.F. [c] αἱ ἐν κύκλῳ E.F. [d] ἀναγκαῖον H. [e] ἀναγκαῖον H, om. E.L. [f] χωρὶς] ἄνευ F.H, et γρ. E. [g] ὁ χρόνος ἀριθμός F. [h] λόγοις om. F. [i] διώρισται H. [k] ἡ om. H. [l] ἢ] καὶ F. [m] τῷ om. E.F.H. [n] ἀλλ' ἢ corr. E. [o] ᾧ om. E. [p] τὸ F.H. [q] ἐνυπάρχει L. [r] ἀεὶ om. E. [s] ἄρα] γὰρ F. [t] ὅ τι E.F. [v] ἔσται] ἐστιν E. [w] γὰρ ἀναβαδίζειν τε οὐκ E. [x] βαδίσῃ F. [y] ἐπειδὴ F. [z] τὰ om. E.F. [a] γενέσθαι F.H.

εἶναι τὰ δὲ [b] δυνατά, οὕτως καὶ περὶ τὴν γένεσιν; Οἷον τροπὰς ἄρα [c] ἀνάγκη γενέσθαι, [d] καὶ οὐχ οἷόν τε μὴ ἐνδέχεσθαι.
4 Εἰ [e] δὴ τὸ πρότερον [c] ἀνάγκη γενέσθαι, εἰ τὸ ὕστερον, ἔσται, οἷον εἰ [f] οἰκία, θεμέλιον, εἰ δὲ τοῦτο, πηλόν. [i] Ἆρ' οὖν [g] καὶ εἰ θεμέλιος γέγονεν, [ch] ἀνάγκη οἰκίαν γενέσθαι; [n] Ἡ οὐκέτι, εἰ μὴ κἀκεῖνο [c] ἀνάγκη γενέσθαι ἁπλῶς· εἰ δὲ τοῦτο, [c] ἀνάγκη καὶ θεμελίου γενομένου γενέσθαι οἰκίαν· οὕτω [i] γὰρ ἦν τὸ πρότερον ἔχον πρὸς τὸ ὕστερον, [k] ὥστ' εἰ ἐκεῖνο [l] ἔσται,
5 [c] ἀνάγκη ἐκεῖνο [m] πρότερον. Εἰ τοίνυν [c] ἀνάγκη γενέσθαι τὸ ὕστερον, καὶ τὸ πρότερον [c] ἀνάγκη· καὶ [n] εἰ τὸ πρότερον, καὶ τὸ ὕστερον τοίνυν [c] ἀνάγκη, ἀλλ' οὐ δι' ἐκεῖνο, ἀλλ' ὅτι ὑπέκειτο ἐξ [o] ἀνάγκης ἐσόμενον. [i] Ἐν οἷς ἄρα τὸ ὕστερον ἀνάγκη εἶναι, ἐν τούτοις ἀντιστρέφει, καὶ ἀεὶ τοῦ προτέρου
6 γενομένου [c] ἀνάγκη γενέσθαι τὸ ὕστερον. Εἰ μὲν οὖν εἰς ἄπειρον εἰσιν ἐπὶ τὸ κάτω, οὐκ ἔσται [c] ἀνάγκη τὸ ὕστερον τόδε γενέσθαι ἁπλῶς. [i] Ἀλλ' [p] οὐδ' ἐξ ὑποθέσεως· ἀεὶ γὰρ ἕτερον ἔμπροσθεν ἀνάγκη ἔσται, [q] δι' ὃ ἐκεῖνο [c] ἀνάγκη γενέσθαι. [v] Ὥστ' εἰ μή ἐστιν ἀρχὴ τοῦ ἀπείρου, οὐδὲ πρῶτον
7 ἔσται οὐδέν, δι' ὃ ἀναγκαῖον ἔσται γενέσθαι. [i] Ἀλλὰ μὴν οὐδ' ἐν τοῖς πέρας ἔχουσι τοῦτ' [r] ἔσται εἰπεῖν ἀληθῶς, ὅτι ἁπλῶς [c] ἀνάγκη γενέσθαι, οἷον οἰκίαν, [s] ὅταν θεμέλιος γένηται· ὅταν γὰρ γένηται, εἰ μὴ [t] ἀεὶ τοῦτο [c] ἀνάγκη γίνεσθαι,
8 συμβήσεται ἀεὶ εἶναι τὸ ἐνδεχόμενον [v] μὴ ἀεὶ εἶναι. [w] [i] Ἀλλὰ δεῖ τῇ γενέσει ἀεὶ εἶναι, εἰ ἐξ [x] ἀνάγκης [y] αὐτοῦ ἐστὶν ἡ γένεσις· τὸ γὰρ ἐξ [x] ἀνάγκης καὶ ἀεὶ ἅμα· ὃ γὰρ εἶναι [c] ἀνάγκη οὐχ οἷόν τε μὴ εἶναι· ὥστ' εἰ ἔστιν ἐξ ἀνάγκης, ἀΐδιόν ἐστι,
9 καὶ εἰ ἀΐδιον, ἐξ [x] ἀνάγκης. [z] Καὶ εἰ ἡ γένεσις τοίνυν ἐξ [x] ἀνάγκης, ἀΐδιος [a] ἡ γένεσις τούτου, καὶ [b] εἰ ἀΐδιος, ἐξ [x] ἀνάγ-

[b] δυνατὸν F. [c] ἀναγκαῖον H. [d] καὶ om. F.H.L. [e] δὲ H. [f] οἰκίαν L. [g] εἰ καὶ F. [h] ἀνάγκη καὶ οἰκίαν F. [i] γὰρ ἂν ἦν F. [k] ὡς H. [l] ἐστιν F. [m] πρ.] πρότερον γενέσθαι F.H.L. [n] εἰ τὸ πρότερον καὶ margo E.F. [o] ἀναγκαίου H. [p] οὐδ' om. E. [q] δι' ὃ] διὸ καὶ F. [r] ἐστιν F. [s] ὅταν θεμέλιος γένηται om. pr. E. [t] ἀνάγκη ἀεὶ γίνεσθαι τοῦτο F. [v] ἀεὶ μὴ F. [w] ἀλλὰ—εἶναι om. pr. E. [x] ἀναγκαίου H. [y] ἐστὶν αὐτοῦ F.H. [z] καὶ εἰ ἡ γένεσις τοίνυν om. corr. E. [a] ἡ] καὶ ἡ H. [b] εἰ om. E.

κης. Εἰ ἄρα τινὸς ἐξ ἀνάγκης ἁπλῶς ἡ γένεσις, [c] ἀνάγκη ἀνακυκλεῖν καὶ ἀνακάμπτειν. [c] Ἀνάγκη γὰρ ἤτοι πέρας ἔχειν τὴν γένεσιν ἢ μή, καὶ [d] εἰ μή, [e] ἢ εἰς εὐθὺ ἢ κύκλῳ. Τούτων δ' εἴπερ ἔσται ἀΐδιος, οὐκ εἰς εὐθὺ οἷόν τε διὰ τὸ μηδαμῶς εἶναι ἀρχὴν μήτ' ἂν κάτω, [f] ὡς ἐπὶ τῶν ἐσομένων [g] λαμβάνομεν, μήτ' ἄνω, [f] ὡς ἐπὶ τῶν [h] γινομένων· ἀνάγκη δ' εἶναι ἀρχήν, [i] μὴ πεπερασμένης οὔσης, [k] καὶ ἀΐδιον εἶναι. Διὸ ἀνάγκη κύκλῳ εἶναι. [l] Ἀντιστρέφειν ἄρα ἀνάγκη ἔσται, οἷον εἰ [l] τοδὶ ἐξ ἀνάγκης, [m] καὶ τὸ πρότερον ἄρα· ἀλλὰ μὴν εἰ τοῦτο, καὶ [n] τὸ ὕστερον ἀνάγκη γενέσθαι. Καὶ τοῦτο ἀεὶ [o] δὴ συνεχῶς· οὐδὲν [p] γὰρ τοῦτο διαφέρει λέγειν διὰ δύο ἢ πολλῶν. [q] Ἐν τῇ κύκλῳ ἄρα κινήσει καὶ γενέσει ἐστὶ τὸ ἐξ ἀνάγκης ἁπλῶς· καὶ εἴτε κύκλῳ, ἀνάγκη [q] ἕκαστον [r] γίνεσθαι καὶ γεγονέναι, καὶ εἰ ἀνάγκη, ἡ τούτων γένεσις κύκλῳ. Ταῦτα μὲν δὴ εὐλόγως, ἐπεὶ ἀΐδιος [s] καὶ ἄλλως ἐφάνη ἡ κύκλῳ κίνησις καὶ ἡ τοῦ οὐρανοῦ, ὅτι ταῦτα ἐξ ἀνάγκης γίνεται καὶ ἔσται, ὅσαι [t] ταύτης κινήσεις καὶ ὅσαι διὰ ταύτην· εἰ γὰρ [v] τὸ κύκλῳ κινούμενον ἀεί τι κινεῖ, ἀνάγκη καὶ τούτων κύκλῳ εἶναι τὴν κίνησιν, οἷον τῆς ἄνω φορᾶς οὔσης [w] ὁ ἥλιος κύκλῳ [x] ὠδί, [y] ἐπεί δ' οὕτως, [z] αἱ ὧραι διὰ τοῦτο κύκλῳ γίνονται καὶ ἀνακάμπτουσιν, τούτων [a] δ' οὕτω γινομένων [b] πάλιν τὰ ὑπὸ τούτων. Τί οὖν δή ποτε τὰ μὲν οὕτω φαίνεται, οἷον [c] ὕδατα καὶ ἀὴρ κύκλῳ [d] γινόμενα, καὶ εἰ μὲν νέφος ἔσται, [e] δεῖ ὗσαι, καὶ εἰ ὕσει γε, δεῖ [f] καὶ νέφος εἶναι, ἄνθρωποι δὲ καὶ ζῷα οὐκ ἀνακάμπτουσιν εἰς αὐτοὺς ὥστε πάλιν γίνεσθαι τὸν αὐτόν· οὐ γὰρ ἀνάγκη, εἰ [g] ὁ πατὴρ ἐγένετο, σὲ γενέσθαι· ἀλλ' εἰ σύ, ἐκεῖνον. Εἰς εὐθὺ [h] δὲ ἔοικεν εἶναι αὕτη ἡ γένεσις. [i] Ἀρχὴ

[c] ἀναγκαῖον E. [d] εἰ μή om. H. [e] ἢ ante εἰς om. F. [f] ὡς om. E. [g] λαμβανομένων E.H. [h] γεινομένων E. [i] μήτε E.F.H. [k] καὶ om. E. [l] τοδὶ] τὸ E. [m] καὶ τὸ π.] εἶναι καὶ τὸ π. F. [n] τὸ ante ὕστερον om. E. [o] δὴ] ἤδη F.H. [p] γὰρ τοῦτο om. H. [q] ἕκαστον om. F. [r] γενέσθαι H. [s] ἐφάνη καὶ ἄλλως F. [t] ταύτας F.H. [v] τὸ] τι H, τι τὸ F. [w] κύκλῳ ὁ ἥλιος F. [x] ὠδί om. E. [y] ἐπεὶ—ἀνακάμπτουσιν om. F. [z] αἱ om. E. [a] δ' om. E. [b] πάλιν τὰ] πάνθ' F.L. [c] ὕδωρ L. [d] γιγνόμενος F. [e] δεῖ καὶ ὗσαι F.H. [f] καὶ post δεῖ om. H. [g] ὁ om. E. [h] δὴ L.

[i] δὲ τῆς σκέψεως πάλιν αὖτη, πότερον ὁμοίως ἅπαντα ἀνακάμπτει ἢ οὔ, ἀλλὰ τὰ μὲν ἀριθμῷ τὰ δὲ εἴδει μόνον. [v]Οσων μὲν οὖν ἄφθαρτος ἡ οὐσία ἡ κινουμένη, φανερὸν ὅτι καὶ ἀριθμῷ [k]ταὐτὰ ἔσται (ἡ γὰρ κίνησις ἀκολουθεῖ τῷ κινουμένῳ), ὅσων δὲ μὴ ἀλλὰ φθαρτή, ἀνάγκη τῷ εἴδει, ἀριθμῷ δὲ μὴ ἀνακάμπτειν. Διὸ ὕδωρ ἐξ ἀέρος καὶ ἀὴρ ἐξ ὕδατος εἴδει ὁ αὐτός, οὐκ ἀριθμῷ. Εἰ δὲ καὶ ταῦτα ἀριθμῷ, ἀλλ' οὐχ ὧν ἡ οὐσία γίνεται οὖσα τοιαύτη οἵα ἐνδέχεσθαι μὴ εἶναι.

[i] δὴ E.H.L. [k] ταῦτα ἓν ἔσται H, ταὐτὰ ἓν ἔσται F.

INDEX VERBORUM

QUÆ IN TOMO SECUNDO EXPLICANTUR,

AUT ALIOQUI NOTATU DIGNA SUNT.

N. B. *Literæ*, N. *Naturalis Auscultationis*—C. *De Cælo*—G. *De Generatione et Corruptione libros designant. Numerus Romanus librum; Arabicus prior caput, alter sectionem indicat.*

ἌΓΓΕΙΟΝ *τί* N. iv. 2, 6
ἀγένητον quot modis dicatur C. i. 11, 2. 12, 11. *ἀγένητον* et *ἄφθαρτον* an se mutuo consequantur C. i. 12, 12
ἀγιστεῖαι τῶν θεῶν C. i. 1, 3
ἀδιεξίτητον N. iii. 7, 5
ἀδρυνόμενοι σῖτοι N. v. 6, 6
ἀδυναμία C. ii. 6, 8. *ἀδύνατον* C. i. 11, 8. *ἀδύνατον* dupl. sign. C. i. 11, 3
ἀειδὲς καὶ ἄμορφον C. iii. 8, 3
ἀὴρ ἀναίσθητον G. i. 4, 3
ἀθανασία C. ii. 3, 2
αἰθὴρ quid, et unde dictus C. i. 3, 13
αἰσθήσεων ἀλλοίωσις N. vii. 2, 11. *αἰσθητόν* G. i. 4, 3
αἰτία ἕνεκά του N. ii. 8, 1. *αἴτια ποῖα καὶ πόσα* N. ii. 3, 1. *αἰτίων γνῶσις, φυσικοῦ* N. ii. 7, 2. *αἰτιώτερον τοῦ γεννᾶν* G. ii. 9, 8
αἰὼν quid, et unde dictus C. i. 9, 15
ἀκίνητον N. v. 2, 14
ἀκμή C. ii. 6, 2
ἄκρα N. v. 1, 7
ἀκριβολογεῖσθαι C. iii. 8, 5
ἀλλοιοῦσθαι τί G. i. 1, 6. *ἀλλοίωσις* N. v. 2, 13. *ἀλλοίωσις τί* N. iii. 3, 8. vii. 2, 1. G. i. 4, 2, 6. 5, 2. *ἀλλοιώσεως ὅροι* N. viii. 7, 15. *ἀλλοιώσεως πέρι* N. vii. 3, 1
ἅμα εἶναι N. v. 3, 2. vii. 2, 1
ἀμεγέθης ὕλη G. i. 5, 11
ἀμερὲς τί N. vi. 10, 1. *ἀμερὲς καὶ ἀμέγεθες* N. viii. 10, 1. *ἀμερὲς* expers motus N. vi. 10, 1
ἀμεταβλησία N. v. 6, 3
ἀμπελογενῆ N. ii. 8, 12
ἀμφισβητήσιμον C. iii. 3, 2
ἀμφότεροι C. i. 1, 3
ἄμφω ibid.
ἀνακάμπτειν N. viii. 8, 2. *ἀνάκαμψις τῆς γενέσεως* G. ii. 10, 12
ἀνακλασθεῖσα σφαῖρα N. viii. 4, 19
ἀνακωχεύειν C. iv. 6, 2
ἄναντες N. vii. 4, 2
ἀναπληστικόν G. ii. 2, 5
ἀναρίθμητοι οἱ ἀστέρες C. ii. 12, 4
ἀναυξές C. i. 3, 5. *ἀναύξητον* C. i. 3, 7
ἀναύχενες κόρσαι C. iii. 2, 7
ἀνδρόπρωρα N. ii. 8, 12

ἀνισάζειν C. ii. 12, 14
ἀνομοιοβαρές C. i. 6, 8
ἀντέρεισις C. ii. 13, 16
ἀντικινεῖν N. viii. 5, 19
ἀντικρούοντα C. iv. 6, 2
†ἀντικρουόμενα C. ibid. v. l.q
ἀντίπους C. iv. 1, 4
ἀντιφέρεσθαι τῷ οὐρανῷ C. ii. 10, 2. ἀντιφερόμενον N. iv. 8, 8
ἀντίχθων C. ii. 13, 2
ἄνω C. i. 2, 3. ii. 2, 4, 9. ἄνω τί C. iv. 1, 5. ἄνω θειότερον τοῦ κάτω C. ii. 5, 3. ἄνω φέρεσθαι C. iv. 1, 4
ἀνωμαλίας αἰτίαι C. ii. 6, 3. ἀνωμαλῶς φέρεσθαι N. viii. 9, 5
ἀπατᾶσθαι N. v. 5, 5
ἄπειρον τί N. iii. 5, 9. ἀπείρου πέρι δόξαι N. viii. 10, 19
ἀπείρονα βάθη C. ii. 13, 12
ἁπλᾶ σώματα C. i. 2, 4. ἁπλῶς C. iv. 4, 1. ἁπλῶς τί σημαίνει G. i. 3, 2
ἀπόρημα G. i. 10, 7
ἀποστήματα C. ii. 10, 1, 2
ἀπόφασις C. i. 12, 7, 8
ἅπτεσθαι N. v. 3, 2. G. i. 6, 6. ἁπτόμενα τίνα N. vi. 1, 1. ἁπτόν N. iv. 8, 21. ἁπτὸν σῶμα N. iv. 7, 1
ἄπωσις N. vii. 2, 3
ἀράχνιον N. ii. 8, 10
ἀρετή N. vii. 3, 9. ἀρετὴ ἠθική N. vii. 3, 10
ἀριθμός N. iv. 11, 8. 14, 5
ἄρτι N. iv. 13, 6
ἀρχαί C. ii. 2, 4. ἀρχαὶ ἀόριστοι N. i. 5. ἀρχαὶ πόσαι N. i. 7, 14. ἀρχῶν πέρι γνῶμαι τῶν παλαιῶν N. i. 2
ἀστέρες ἐνδεδεμένοι C. ii. 8, 10
ἀστράγαλοι Χῖοι C. ii. 12, 8
ἀσυλλόγιστοι N. i. 3, 1
ἀτμίς G. ii. 3, 2
ἄτρυτον C. ii. 1, 6
ἄϋλος δύναμις G. i. 5, 28
αὔξη pro αὔξησις N. v. 4, 14. αὔξησις C. ii. 2, 4. αὔξησις τί N. v. 2, 11. vii. 2, 1. αὔξησις καὶ φθίσις τί G. i. 1, 8. 4, 6. 5, 2, 11, 12. αὐξητόν C. iv. 3, 2. αὖξον καὶ φθῖνον συνεχῶ N. vii. 2, 13
†αὐτοκίνησις N. viii. 9, 10
αὐτομάτου etymon N. ii. 6, 6. αὐτομάτου καὶ τύχης διαφορά N. ii. 6, 1. αὐτομάτου πέρι N. ii. 4, 1
αὐτοτρίγωνον G. i. 2, 11
ἀφὴ ἡ ἐν τοῖς φυσικοῖς G. i. 6, 5
ἄφθαρτον quot modis dicatur C. i. 11, 6, 7. 12, 6, 11
Ἀχιλλεὺς, λόγος Ζήνωνος N. vi. 9, 3

B.

Βαρύ C. iv. 1, 7. βαρὺ ἁπλῶς C. iv. 4, 1, 6. βαρύτερον C. iv. 2, 2. βαρυντικόν C. iv. 3, 3
βεβρεγμένον G. ii. 2, 9
βουγενῆ N. ii. 8, 12
βραδύ N. iv. 10, 10
βροντῆς vis C. ii. 9, 5

Γ.

Γεηρά N. iv. 1, 5. viii. 4, 3. C. i. 2, 8. iv. 2, 3
γένεσις N. v. 1, 10. G. i. 3, 26. 4, 6. 5, 2. γένεσις ἁπλῶς G. i. 3, 14. γένεσις ἁπλῆ G. i. 1, 1. γενητὸν dupl. sign. C. i. 11, 4. † γεννητόν ibid. γενόμενα an prorsus intereant C. i. 10, 11
γλίσχρον G. ii. 2, 6
γραμμή C. i. 1, 2
γρυπότης C. i. 9, 5

Δ.

Δαψιλὸς αἰθήρ C. ii. 13, 12
δεκτικόν N. vii. 4, 8
δεξιόν C. ii. 2, 4, 9. δεξιὸν ἑκάστου τί C. ii. 2, 14
διαγράμματα poetica C. i. 10, 7
διαθιγὴ, seu διαθηγή G. i. 2, 9
διαιρετὸν διχῶς G. i. 2, 18
διαιτηταί C. i. 10, 1
διακρίσεις N. vii. 2, 4
διαλαμβάνεσθαι N. v. 4, 12
διάμετρος nequit esse σύμμετρος C. i. 12, 3
διαπίπτειν G. ii. 8, 2
διάστημα N. iv. 4, 12. C. i. 5, 6
διατμίζεσθαι C. iii. 7, 3

διερόν G. ii. 2, 8, 9
δίνη C. ii. 13, 23, 24. δίνησις N. vii. 2, 3, 7. C. ii. 8, 8
Διὸς φυλακή C. ii. 13, 4
δίωσις N. vii. 2, 4
δύεται, occidit C. ii. 14, 3
δυνάμει plurifariam dicitur N. viii. 4, 12
δυσκίνητον N. v. 2, 14

E.

Ἐγκύκλιος κίνησις C. ii. 12, 15. ἐγκύκλιον σῶμα C. ii. 3, 2. ἐγκύκλια σώματα C. ii. 3, 8. ἐγκύκλια φιλοσοφήματα C. i. 9, 16
εἰλεῖσθαι v. l.[i] seu ἴλλεσθαι C. ii. 13, 8
εἰσπνοή N. vii, 2, 5
ἐκ παρόδου C. iii. 8, 5
ἐκκριτικαὶ κινήσεις N. vii. 2, 5
ἐκπνοή N. vii. 2, 5
ἔκπρισμα G. i. 2, 15
ἐκπυρηνίζειν N. iv. 7, 6
ἐκφυόμενα τοὺς λίθους διαιρεῖ N. viii. 3, 5
ἐλαιόπρωρα N. ii. 8, 12
ἕλικος κίνησις N. v. 4, 15
ἕλξις N. vii. 2, 3, 8
ἐμπεριλαμβάνεσθαι C. iv. 2, 8
ἔμπροσθεν C. ii. 2, 4
ἐν ἄλλῳ εἶναι καὶ ἐν ἑαυτῷ N. iv. 3, 8
ἓν πολλαχῶς λέγεται N. v. 4, 1. ἓν εἶναι τὰ πάντα N. i. 2, 5
ἐναλλάξ C. i. 10, 9
ἐναντία φορά C. i. 4, 4
ἐναντιολογία G. i. 7, 3
ἐναφάπτειν C. iii. 2, 17
ἐντελεχείᾳ γίγνεσθαι G. i. 5, 7
ἔντορνος C. ii. 4, 13
ἕνωσις G. i. 10, 17
ἐξαίφνης N. iv. 13, 17
ἐπαναποδιστέον G. i. 3, 5
ἐπέχειν τόπον C. iii. 7, 3
ἐπιδιορίζειν C. iii. 4, 7
ἐπιλαμβάνειν τόπον C. iii. 7, 3
ἐπίπεδον C. i. 1, 2
ἐπιπολάζειν C. iv. 4, 2
† ἐπίπροσθεν C. ii. 2, 6. v. l.[e]
ἐπιπρόσθησις C. ii. 13, 7. 14, 17
ἐπιπωματίζειν C. ii. 13, 16
ἐπίστασθαι N. vii. 3, 13
ἔπωσις N. vii. 2, 3
ἔργα C. iii. 1, 2
ἐρήμην καταδικάζεσθαι C. i. 10, 1
εὐδιαίρετον C. iv. 6, 3
εὐεξία N. vii. 3, 7
εὐθεῖα κίνησις C. i. 2, 2, 3. εὐθύγραμμον σχῆμα C. ii. 4, 1. εὐθυφορία N. v. 4, 3
εὔφθαρτον C. i. 11, 5. εὔφθαρτα G. i. 2, 26
ἐφεξῆς N. v. 3, 4. ἐφεξῆς τίνα λέγεται N. vi. 1, 1, 3
ἐφιστάναι G. i. 2, 2
ἐχόμενον N. v. 3, 5

Z.

Ζέσις G. ii. 3, 6
ζώπυρα C. iv. 1, 2
ζωτικόν N. viii. 4, 7

H.

Ἤδη N. iv. 13, 5
ἠρεμεῖν N. v. 2, 14. vi. 3, 7, 8. 8, 4–8. ἠρεμεῖν Empedocli quid N. viii. 1, 3. ἠρέμησις N. v. 6, 2. ἠρεμία κινήσει ἐναντία τίς N. v. 6, 1. † ἠρεμίζειν N. vii. 3, 15. v. l.[x]. ἠρεμίζεσθαι N. vi. 7, 6. 8, 1. vii. 3, 15

Θ.

Θᾶττον N. vi. 2, 14
θερμαντόν N. v. 1, 2
θέσις G. i. 6, 6
θραύεσθαι G. i. 8, 18
θρύψις G. i. 2, 20

I.

Ἰσοβαρῆ C. iv. 2, 7
ἰσοταχές N. vi. 1, 10. 2, 4. ἰσοταχῆ N. iv. 8, 15
ἵστασθαι N. vii. 4, 9

K.

Καμπυλότης C. i. 9, 5
καπνός G. ii. 4, 11
κατάφασις C. ii. 3, 5
κατέχειν τόπον G. i. 5, 6
κάτω C. i. 2, 3
καυστόν N. viii. 1, 5
κεκλασμένης κίνησις N. v. 4, 15
κενοῦ πέρι N. iv. 6, 1. 7, 1
κέρκισις N. vii. 2, 4
κινεῖσθαι κυρίως τί N. viii. 9, 11. κίνησις τί N. iii. 1, 1. v. 5, 4.

viii. 1, 5. 5, 17. *κίνησις* Empedoclis N. viii. 1, 3. *κινήσεις τρεῖς* N. vii. 2, 1. *κινήσεις ἐφεξῆς* N. viii. 7, 11. *κινοῦν λέγεται διχῶς* G. i. 7, 10. *κινοῦν* et *κινούμενον* varia N. v. 1, 2. *κινούμενον πρῶτον* N. v. 1, 3. †*κινούμενα πρώτως* ibid.

κομψῶς C. ii. 13, 26
κόρσαι ἀναύχενες C. iii. 2, 7
κόσμος C. i. 10, 10
κουφιστικόν C. iv. 3, 3. *κοῦφον ἁπλῶς* C. iv. 4, 1, 6. *κουφότερον* C. iv. 1, 7. 2, 2
κραῦρον, γλίσχρον G. ii. 2, 3, 6
κρύσταλλος τί G. ii. 3, 6
κυκλικῶς κινεῖσθαι C. i. 5, 16. *κυκλικὸν σῶμα* C. ii. 7, 3. †*κύκλιον σῶμα* ibid. *κυκλοφορία* N. viii. 9, 1. *κύκλῳ κίνησις* C. i. 2, 3. *κύκλῳ κινούμενον ἀεί τι κινεῖ* G. ii. 11, 12
κύλισις N. v. 4, 3. C. ii. 8, 8. *κύλισις* an in astris C. ii. 8, 11
κυμαίνειν N. iv. 9, 1
κυρτόν C. i. 4, 1

Λ.

Λεαίνειν, levigare G. ii. 9, 12
λεπτόν G. ii. 2, 5. *λεπτὸν, μανόν* C. iii. 5, 3
λεύκανσις N. v. 1, 5. 6, 5
ληπτικαὶ κινήσεις N. vii. 2, 5. *λῆψις* N. vii. 3, 1
λόγων δικαιώματα C. i. 10, 1. *λοξὸς κύκλος* G. ii. 10, 5
λύπαι σωματικαί N. vii. 3, 10. *λυπῶν ἅπτεται* G. i. 6, 11
λώπιον καὶ ἱμάτιον ἓν τῷ λόγῳ N. i. 2, 10

M.

Μαθηματικαὶ *ἐπιστῆμαι* C. iii. 7, 12. † *μαθητικαὶ* ibid. v. l.[e]
μαλακόν G, i. 8, 16. ii. 2, 7
μανὸν καὶ πυκνόν N. iv. 9, 1
μαραίνεσθαι de igni C. iii. 6, 4
μεγαλομερές C. iii. 5, 5
μεγέθους εἴδη C. i. 1, 2
μέθυ καὶ οἶνος N. i. 2, 8
μελανία N. viii. 8, 29. G. ii. 2, 2. *μέλανσις* N. v. 6, 6
μέση, sc. *χορδή* N. v. 1, 7. *μέσον πολλαχῶς λέγεται* C. iv. 5, 2. *μέσον ἀμφοῖν* C. i. 12, 9
μετὰ in compos. N. v. 1, 8
μετάβασις εἰς ἄλληλα G. ii. 10, 13
μεταβολή τί N. v. 1, 4. *μεταβολὴ* et *κίνησις* differunt N. v. 5, 4. *μεταβολῆς* etymon N. v. 1, 8. *μεταβολῆς τρόποι* N. v. 1, 1
μεταξύ N. v. 3, 2. *τὸ μεταξὺ πολλαχῶς λέγεται* C. iv. 5, 2
μεταρρυθμίζειν N. i. 2, 11. *μεταρρυθμίζεσθαι* C. iii. 8, 2, †3
†*μετατάττειν* et *μετατιθέναι* G. i. 9, 4. v. l.[c]
μεταφορητὸς τόπος N. iv. 4, 18
μικρομερές C. iii. 5, 4
μικτόν G. iii. 5, 9. *μικταὶ κινήσεις* C. i. 2, 4
μναϊαῖος C. iv. 4, 4
μολυβδῖδες C. ii. 7, 2
μονὴ κινήσει ἐναντία N. v. 6, 9. *μονῆς πέρι* N. v. 5, 1

N.

Νεωλκοί N. vii. 5, 4
νήτη, sc. *χορδή* N. v. 1, 7
νοσάζεσθαι N. v. 5, 5. *νόσανσις* N. 5, 3. 6, 5
νῦν τί N. iv. 13, 1—4. 14, 2

Ξ.

Ξέων λεαίνει G. ii. 9, 12
ξηρόν G. ii. 2, 4, 9. *ξηρὸν* et *ὑγρὸν πλεοναχῶς λέγεται* G. ii. 2, 8

O.

Ὄγκος N. iv. 8, 20
ὀῖστός, ἡ N. vi. 9, 1, 5
ὀκτάεδρον C. iii. 8, 9
ὁμαλὴς κίνησις N. v. 4, 16. viii. 10, 14
ὁμογενὲς ὑπὸ τοῦ ὁμογενοῦς πάσχει G. i. 7, 6. *ὁμογενῆ* C. iv. 2, 5
ὁμοιοβαρές C. i. 6, 8
†*ὁμοιογενῆ* seu *ὁμογενῆ* C. iv. 2, 5
ὁμονοητικῶς G. i. 7, 1
ὁμοταχές N. vii. 4, 1, 9. *ὁμοταχῶς* N. vi. 6, 3
ὁμόφυλα C. iii. 8, 12
ὁμωνυμιῶν εἴδη N. vii. 4, 11
ὀξεῖα sc. *χορδή* N. v. 1, 7. *ὀξυγωνιώτατον* C. iii. 8, 6

ὁρίζων κύκλος C. ii. 14, 18
οὐλοφυές N. ii. 8, 12
οὐρανὸς tripl. signif. C. i. 9, 8
οὐσίαι C. iii. 1, 2. οὐσίαι φυσικαί ibid.
ὀφθαλμία N. v. 4, 6
ὄχησις N. vii. 2, 3, 6

Π.

Πάθη C. iii. 1, 2
πάλαι N. iv. 13, 6
παυδεχές C. iii. 8, 3. G. ii. 1, 5
πανσπερμία στοιχείων C. iii. 4, 7. G. i. 1, 5
παρὰ φύσιν C. ii. 3, 4
παραιώρησις C. iii. 7, 11
παρεκτρίβεσθαι C. ii. 7, 2
παρήκων N. iv. 13, 4
παρωνυμιάζειν N. vii. 3, 2
πάσχειν G. i. 7, 1
παχὺ, πυκνόν C. iii. 5, 3. παχυμερές C. iii. 5, 8
πεπηγός G. ii. 2, 8
πέρας ἔχοντα G. ii. 11, 7
περιέχον et περιεχόμενον C. iv. 4, 11
†περικυκλεῖν καὶ ἀνακάμπτειν G. ii. 11, 9
περιφερόγραμμον σχῆμα C. ii. 4, 1
πῆξις G. ii. 3, 6, 8, 10
πιλεῖσθαι et συμπιλεῖσθαι N. iv. 9, 1
πνευματοῦσθαι C. iii. 7, 3
ποιεῖν τί ἐστι, τίσιν ὑπάρχει, καὶ διὰ τί, καὶ πῶς G. i. 7, 1. ποιητικὸν ὁμοιοῖ ἑαυτῷ τὸ πάσχον G. i. 7, 8. ποιητικῆς ἐπιστήμης τέλος C. iii. 7, 10
πολλαχῶς λεγόμενα C. i. 11, 1
πορευτικὰ σώματα C. ii. 8, 13
ποτέ N. iv. 13, 3
πρόσθεν C. ii. 2, 9
πρόσθεσις G. i. 9, 5
προσυπολαμβάνειν C. iv. 1, 6
πρόσωπον σελήνης C. ii. 8, 11
πρότερον N. iv. 14, 2, 3. C. ii. 2, 9. πρότερον τί N. viii. 7, 6
πρόωσις C. ii. 14, 15
πρῶτον τί N. vi. 5, 4
πτῆσις N. vii. 4, 10
πτύσις N. vii. 2, 5
πύρινα G. i. 8, 19. πύρινα ἄστρα C. ii. 7, 1. πυροειδές G. ii. 3, 5

P.

Ῥιπτεῖσθαι N. viii. 5, 12. ῥίπτουσα N. viii. 10, 3. †ῥιπτοῦσα ibid. ῥιπτούμενα N. viii. 10, 16. ῥῖψις N. vii. 2, 3. †ῥίψις ibid.
ῥοπή C. iv. 1, 1
ῥυθμίζεσθαι C. iii. 8, 3

Σ.

Σελήνη μηνοειδὴς, ἀμφίκυρτος, διχότομος C. ii. 11, 2
σκληρόν G. ii. 2, 7
σοῦν quid vocet Democritus C. iv. 6, 3
σπάθησις N. vii. 2, 4
σταλαγμὸς κατατρίβει N. viii. 3, 5
στίλβειν in astris C. ii. 8, 10
στοιχεῖα σωματικά C. i. 8, 15. G. i. 1, 3. στοιχειώδη G. i. 1, 15
στρογγύλα ἢ μακρά C. iv. 6, 1
σύγκρισις μίξις G. i. 6, 2. συγκρίσεις N. vii. 2, 4
συγχωρεῖν C. ii. 14, 9
συμβάλλειν πρὸς ἄλληλα C. iv. 6, 5
συμμένειν G. ii. 8, 2
σύμφυσις N. iv. 5, 9
συνακούειν C. ii. 9, 4
σύναψις N. v. 3, 7
συνδυάζεσθαι C. i. 4, 1. G. ii. 3, 1. 5, 11
συνειλεῖσθαι G. ii. 8, 5
συνείρειν N. viii. 8, 5. G. i. 3, 11. ii. 10, 11
συνεπουρίζειν C. iii. 2, 17
συνεχὲς τί N. iii. 1, 1. v. 3, 6. vi. 2, 5. C. i. 1, 2. συνεχῆ τίνα N. vi. 1, 1. συνεχῶς κινεῖσθαι N. v. 3, 3
σύνθεσις καὶ μίξις οὐ ταὐτό G. i. 10, 9. σύνθετα G. ii, 8, 3
συνορίζειν C. iii. 8, 12
σύνωσις N. vii. 2, 4
σφαιροειδὲς τί C. ii. 4, 5
σχῆμα μικρομερέστατον C. iii. 5, 6. σχήματα mathem. N. iv. 14, 11. σχημάτων divisio C. ii. 4, 1
σῶμα τί N. iii. 5, 9. C. i. 1, 2. σωματικαὶ λύπαι καὶ ἡδοναί N. vii. 3, 10

T.

Ταλαντιαῖος C. iv. 4, 4
ταὐτὸν τί N. iv. 14, 11

ταχύ N. iv. 10, 10
τέλειον τί N. vii. 3, 5. C. ii. 4, 2. τελείωμα N. vii. 3, 6. τελείωσις ibid.
τέρατα N. ii. 8, 11
τετραγωνισμός N. i. 2, 4
τέχνη N. ii. 1, 9
τμητικώτατον ἡ πυραμίς C. iii. 5, 6
τόπου εἴδη καὶ διαφοραί N. iii. 5, 21
τραχὺ, λεῖον G. ii. 2, 3
τρόμος τῆς ὄψεως C. ii. 8, 10
τροφὴ καὶ αὔξησις διαφέρει G. i. 5, 27
τυμπανοειδής C. ii. 13, 9
τύχη τί N. ii. 5, 1. τύχη καὶ αὐτόματον διαφέρει N. ii. 6, 1. τύχης πέρι N. ii. 4, 1

Υ.

Ὑγιάζεσθαι N. v. 5, 5. ὑγιαντόν N. v. 1, 2. ὑγιαστόν N. viii. 5, 14. C. iv. 3, 8. ὑγίεια N. vii. 3, 7
ὑγρόν G. ii. 2, 4, 10
ὑδάτια G. i. 2, 26
ὕλη τί G. i. 4, 7
ὑπεικτικόν G. i. 8, 16
ὑπεισδύεσθαι G. i. 8, 9
ὑπεκρεῖν G. i. 5, 22
ὑπόδημα C. i. 4, 6
ὕστερον N. iv. 14, 3
ὑφίστασθαι C. iv. 4, 2

Φ.

Φαιόν N. v. 1, 7
φανὸν καὶ λαμπρόν C. ii. 12, 3
φέρεσθαι N. v. 2, 12. φέρεσθαι εἰς τὸν ἑαυτοῦ τόπον C. iv. 3, 1. φερομένων divisio N. vii. 2, 2
φθαρτὸν quot modis dic. C. i. 11, 5
φθίσις τί N. v. 2, 11. vii. 2, 1. G. i. 5, 11, 12
φθορά G. i. 3, 26. φθορὰ ἁπλῆ G. i. 3, 16
φλόξ G. ii. 4, 11
φορά N. v. 2, 12. C. i. 2, 2. G. i. 4, 6. φορὰ τί N. vii. 2, 1. φορᾶς εἴδη N. viii. 8, 1. 9, 1. φορὰ εὐθεῖα G. ii. 10, 13. φορὰ πρώτη N. viii. 7, 14
φρονεῖν N. vii. 3, 13
φύσις τί N. ii. 1, 1, 9

Χ.

Χαλκοτύποι C. ii. 9, 4
χρόνος τί N. iv. 11, 7
χρωματίζεσθαι G. i. 2, 9
χώρα κενοῦ C. iv. 2, 18
χωρὶς εἶναι N. v. 3, 2

Ψ.

Ψελλίζεσθαι G. i. 10, 15
ψεῦδος C. i. 12, 2
ψῆγμα συμφυσώμενον C. iii. 5, 7 — συμφυόμενον ibid. v. l.t
ψύχειν G. i. 7, 8. ψυχρόν G. ii. 2, 4

Ω.

Ὦσις N. vii. 2, 3, 8

INDEX RERUM

QUÆ IN TOMO SECUNDO VISÆ SUNT MEMORABILIORES.

ABSURDUM unum comitantur plura N. i. 2, 3. 3, 1
Actio, passio, et generatio quomodo fiat in entibus G. i. 9, 1
Aeris generatio G. ii. 4, 9. aeris proprium G. ii. 3, 2
Agere quid sit, quibus insit, cur, et quomodo G. i. 7, 1. agere quibus modis dicantur alia, alia pati G. i. 7, 1
Alteratio quælibet a sensilibus proficiscitur et in sensiva animi parte fit N. vii. 3, 1
Animalium motiones C. ii. 2, 2
Aqua ex aere G. ii. 2, 14. aquæ generatio G. ii. 4, 10. aquæ proprium G. ii. 3, 2. 4, 5
Astra an volvantur C. ii. 8, 10. astra spbærica esse, nec per se progredi C. ii. 8, 11. astra nec ignea esse, nec in igne ferri C. ii. 7. astra primæ lationis C. ii. 12, 13. astrorum ordo C. ii. 10, 1
Atlantis adminiculum C. ii. 1, 4
Augescentium quodque, ut augeatur G. i. 5, 1
Augmentum quid differat a generatione et alteratione ibid. augmenti ratio N. viii. 7, 2. augmenti limites N. viii. 7, 15

B.

Brutorum actiones N. ii. 8, 10

C.

Calor disparat G. ii. 9, 11. caloris causa sol C. ii. 7, 4
Causæ quales et quot N. ii. 3
Circularis motus et generatio cum necessitate conjuncta G. ii. 11, 11. circularis motus non cadit in corpus infinitum C. i. 5. circularis lationis effectus G. ii. 10, 12. circulari lationi nulla est contraria latio C. i. 4, 1
Circulus obliquus G. ii. 10, 5
Citum, velox N. iv. 10, 10
Cœlum tribus modis dicitur C. i. 9, 8. cœlum unum esse ac sempiternum C. i. 9, 1. cœlum nec generatum esse, nec corruptioni obnoxium C. i. 10, 1. cœlum nec factum esse, nec corruptioni obnoxium C. ii. 1, 1. cœlum dextri et sinistri expers C. ii. 2, 1. cœlum movetur æqualiter C. ii. 6, 1. cœlum cur in alteram feratur partem, non in alteram C. ii. 5. cœli figura sphærica C. ii. 4, 1. cœli longitudo C. ii. 2, 12. cœli motus celerrimus C. ii. 4, 9. cœli circumactio unde incipiat C. ii. 2, 14. cœli plures esse nequeunt C. i. 8, 1. cœlestia corpora C. i. 9, 14. cœlestium corporum latio an harmoniam edat C. ii. 9, 1
Compositio et mistio non idem G. i. 10, 9
Concretio G. ii. 3, 6
Continuum quid N. v. 3, 6. C. i. 1, 2. continuum ex individuis constare nequit N. vi. 1, 1
Contraria contrariorum causa G. ii. 10, 4, 7. contrarium contrario alimentum N. viii. 7, 2
Corpus quid N. iii. 5, 9. C. i. 1, 2. corpus e superficialibus componi nequit C. iii. 1, 9. corpus quodque in suum locum fertur G. ii. 10, 13. corpus quod vel ad medium, vel a medio fertur non est infinitum C. i. 6, 1. corpus primum C. i. 3, 1. corpus sensile dividuum G. i. 2, 18. corpus separatum ab his nostris corporibus C. i. 2. corporis materia G. i. 5, 8. corporis species et principia quid faciat G. ii. 1, 8. corpora omnium ex omnibus simplicibus constare G. ii. 8, 1. corpora simplicia quatuor G. ii. 3, 7. corpora simplicia naturaliter habent motum C. iii. 2, 1. corporum differentiæ C. iii. 8, 15
Corruptio simpliciter non fit, sed semper ex aliquo G. i. 3, 1

D.

Densum et rarum an confirment vacuum N. iv. 9, 1
Deus nil facit frustra C. i. 4, 6. Deus ut universum compleverit G. ii. 10,

11. Dei sedes C. i. 3, 10. dii G. ii. 6, 9
Divinitatis proprium C. i. 9, 16
Dextrum cujusque rei C. ii. 2, 14
Dividuum dupliciter G. i. 2, 18
Durum quid C. iii. 1, 15

E.

Elementa esse, et cur C. iii. 3, 1. elementa plura esse necesse C. iii. 5, 1. elementa esse quatuor C. iv. 5, 2. elementa esse quatuor, et ea carere principio G. ii. 5. elementa ex se invicem gigni C. iii. 6. elementa quomodo alia ex aliis gignantur C. iii. 7, 1. elementa transeunt in se invicem G. ii. 6, 1. elementa figuris non differunt C. iii. 8. elementa corporalia C. i. 8, 15. elementa corporalia quot G. i. 1, 3. elementorum conjunctiones quatuor G. ii. 3, 1
Empedocles Agrigentinus C. i. 10, 2. Empedoclis versus G. i. 1, 7, 9

F.

Ferri in suum locum C. iv. 3, 1
Fervor G. ii. 3, 6
Fieri et corrumpi nihil simpliciter, sed semper ex aliquo G. i. 3, 1. fieri omne ex omni G. ii. 4, 1
Figuræ non efficiunt ut aliquid simpliciter vel sursum vel deorsum feratur, sed citius aut tardius C. iv. 6, 1
Finitum in motu N. vi. 7, 1
Flamma G. ii. 4, 11
Forma per se et mista materiæ C. i. 9, 1
Fortuna N. ii. 4, 1. fortuna quid N. ii. 5, 1
Frigus coarctat G. ii. 9, 11. frigidum C. iii. 8, 14
Fumus G. ii. 4, 11

G.

Generatio an sit alteratio G. i. 1, 2. generatio et alteratio qua re differant G. i. 4, 1. generatio et corruptio unde G. i. 1, 6. generatio et corruptio cur sint, et quam ob causam: quid item generabile et corruptibile G ii. 10, 1—14. generatio ut fiat G. i. 8, 9. generatio, actio et passio, quomodo fiat in entibus G. i. 9, 1. generatio simpliciter non est, sed semper ex aliquo G. i. 3, 1. generatio non est concretio G. i. 2. generatio cur in orbem redire dicatur G. ii. 10, 12. generatio simplicium corporum G. ii. 4, 6. generatio mutua G. ii. 7, 1. generatio et corruptio Empedoclea G. i. 8, 12. generatio inæquales quid faciat G. ii. 10, 10. generationis et corruptionis quæ priscis fuerit sententia C. iii. 1, 4. G. i. 1, 1. generationis cujusque quot, et quæ sint principia G. ii. 9, 1
Generata et ingenerata quomodo dicantur C. i. 11, 1. generata corruptionis expertes non sunt C. i. 12
Glacies G. ii. 3, 6
Grave quid N. iii. 5, 20. iv. 4, 20. C. i. 3, 2. grave et leve quid C. iv. 1, 1. de iisdem falsæ opiniones confutatæ C. iv. 1, 6. grave simpliciter C. iv. 4, 1, 6. gravissimum C. i. 3, 2
Gravitatis et levitatis momentum C. iii. 2, 6

H.

Harmoniam an edat cœlestium corporum latio C. ii. 9, 1
Heraclitus Ephesius C. i. 10, 2
Heracleæ columnæ C. ii. 14, 19
Homines et animalia non reflectunt in seipsos G. ii. 11, 13
Humidum G. ii. 2, 4. humidum non est molle G. ii. 2, 7

I.

Idem quid N. iv. 14, 11
Ignis quid G. ii. 3, 6. ignis generatio G. ii. 4, 10. ignis proprium G. ii. 3, 2. 4, 6
Inclinationis effectus G. ii. 10, 6
Infinitum esse: et quomodo sit, ac quid sit N. iii. 6, 1. infinitum quid N. viii. 10, 19. infinitum quot modis dicatur N. iii. 4, 14. infinitum determinatum esse N. iii. 8, 1. infinitum separari a sensilibus nequit N. iii. 5, 1. infiniti definitio examinata N. iii. 7, 1. infinitum in motu N. vi. 7, 1. de infinito sententiæ veterum N. iii. 4, 2
Ingenerata corruptionis expertia sunt C. i. 12, 1
Instrumentis tribuere causam ortus G. ii. 9, 12
Intereuntium quodque ut intereat G. i. 5
Jovis tutela C. ii. 13, 4

L.

Latio, primus motus N. viii. 7, 1, 2. lationes plures cur C. ii. 3, 1. lationum species N. viii. 8, 1. lationum prima, circularis, eaque perpetua N. viii. 9, 1. latio prima non est causa generationis et corruptionis G. ii. 10, 5. lationis primæ astra, eorumque motus C. ii. 12, 13. latio recta imitatur circularem G. ii. 10, 13. lationis celerioris et tardioris causæ C. iv. 6, 1
Leve quid N. iii. 5, 20. iv. 4, 20. C. i. 3, 2. iv. 1, 1. leve simpliciter C. iv. 4, 3, 6. levissimum C. i. 3, 2
Linea C. i. 1, 2

Locus an sit N. iv. 1, 1. locus quid N. iv. 1, 1. C. iv. 3, 5. locus vere quid N. iv. 4, 1. locus an species et forma cujusque N. iv. 2, 2. loci species et differentia N. iii. 5, 21. loci contrarietates C. i. 4, 5. loca duo C. iv. 4, 10
Lunæ facies C. ii. 8, 11

M.

Magnitudo continua et infinita N. vi. 2, 9. magnitudinis species C. i. 1, 2
Materia præter elementa G. ii. 1, 2. materiæ infinitæ G. i. 5, 7. materia inseparabilis G. i. 5, 8. materiæ ignoratio erroris occasionem præbuit N. i. 8, 1
Mathematicus a physico quid differat N. ii. 2, 1
Medium esse ad quod ferantur gravia, et a quo ferantur levia C. iv. 4, 8
Melissi et Parmenidis opiniones N. i. 3, 1
Melius in omnibus appetit natura G. ii. 10, 11
Mixtionem esse et cur: et quænam entium sint mistilia G. i. 10, 2
Mobilia duplicia N. v. 1, 2
Molle G. i. 8, 16. molle quid C. iii. 1, 15
Motiones tres C. iv. 3, 2
Motus quid N. iii. 1, 1. motus definitióni necessaria N. vi. 8, 1. motum esse negat Zeno N. vi. 9, 1. motus non evincit vacuum esse N. iv. 7, 5. motus motui an conferri possit N. vii. 4, 1. motus quomodo inter se comparationem habeant N. vii. 5. motus et quies cur nunc adsit rebus, nunc absit N. viii. 3, 1. motus omnis ab aliquo proficiscitur N. vii. 1, 3. viii. 4, 1. motus in duobus subjectis N. v. 6, 1. motus est perpetuus N. viii. 1, 1, 20. motus omnis in tempore N. iv. 14, 1. motus dividuus dupliciter N. vi. 4, 3. motus motui contrarius quis N. v. 5, 1. motus idem quotupliciter N. vii. 1, 7. motus infinitus qui N. viii. 8, 1. motus unus simpliciter quis N. v. 4, 11. motus genera tria N. v. 2, 8. motus species tres N. vii. 2, 1. motus incendit C. ii. 7, 2. motus localis divisio C. i. 2, 2. motus celerrimus C. ii. 4, 9. motus præter naturam C. iii. 2, 9. motus plures et contrarii G. ii. 10, 4. motus continui efficiens G. ii. 10, 17
Movens, et quod in loco movetur, nil habent intermedium N. vii. 2, 1. movens primum ibid. movens primum, immobile N. viii. 5, 1. movens primum, perpetuum, immobile N. viii. 5, 27. movens primum, individuum est, nec ullam habet magnitudinem N. viii. 10, 1
Moveri proprie quid N. viii. 9, 11. moveri ab alio N. vii. 2, 3
Mundi plures esse neqneunt C. i. 8, 6
Mutans omne dividuum N. vi. 4, 1. mutantis, primum nihil N. vi. 5, 1. mutatio et motus differunt N. v. 5, 4. mutatio non est infinita N. vi. 10, 8. mutatio omnis in tempore N. iv. 14, 1. mutationes quot N. v. 1, 9. mutationum prima G. ii. 10, 2

N.

Natnra quid N. ii. 1, 1. natura nil facit frustra C. i. 4, 6. natura nihil sine ratione nec frustra facit C. ii. 11, 1. natnra nil facit fortuito C. ii. 8, 12
Naturalis scientiæ finis C. iii. 7, 10
Necessitas non impeditur G. ii. 11, 8
Nubes et plnviæ comites G. ii. 11, 13
Nnmerns N. iv. 14, 5. nnmerus temporis N. iv. 12, 1
Nnnc, individuum N. vi. 3, 1

O.

Omne ex omni fieri G. ii. 4, 1

P.

Pati, quid sit, quibus insit, cur, et quomodo G. i. 7, 1
Patres vocant pueri quoslibet viros N. i. 1, 3
Perfectnm imperfecto prius N. viii. 9, 2
Physica scientia circa quid versetur C. i. 1, 1. pbysicæ scientiæ finis C. iii. 7, 10
Planetæ non scintillant C. ii. 8, 10
Platonis confutatio qui præter elementa facit unam naturam G. ii. 1, 4
Plenum quid N. iv. 6, 1
Poli duo C. ii. 2, 12, 13
Possibilia et impossibilia quomodo dicantur C. i. 11
Primum quid N. vi. 5, 4
Principium unumne an plura N. i. 2, 1. principia physica quot N. i. 6, 8. principia infinita N. i. 5, 1. principia quot N. i. 6, 1
Privationis ignoratio erroris occasionem præbuit N. i. 9, 1
Prius quid N. viii. 7, 6
Puncta et lineæ an corporis materies G. i. 5, 8
Pythagoreorum principia C. ii. 2, 7

Q.

Quies motui contraria quæ N. v. 6, 1

R.

Reflexio an in omnibus fiat similiter G. ii. 11, 14

S.

Sardoi heroes N. iv. 11, 1
Schemata locum complentia C. iii. 8, 1
Sensus scientiæ vim habet G. i. 3, 18
Seminum mixtura C. iii. 3, 4
Serra dividit G. ii. 9, 12
Simile non patitur a simili G. i. 7, 1
Simul esse N. vii. 2, 1
Sol caloris causa C. ii. 7, 4. solis accessus et recessus, ortus et interitus G. ii. 10, 9
Substantiæ quid C. iii. 1, 2
Superficies C. i. 1, 2
Sursum aut deorsum cur ferantur corpora C. iv. 3, 1

T.

Tactus contrarietates G. ii. 2, 3. tactus contrarietates solæ corporis species et principia efficiunt G. ii. 2, 1. tactus physicus G. i. 6, 6
Tempus an sit existens quiddam, an sit motus, et quid sit N. iv. 10. tempus quid N. iv. 11, 7. C. i. 9, 13. tempus in omnibus N. iv. 14, 4. tempus nec motus est, nec sine motu N. iv. 11, 3. tempus, continuum et infinitum N. vi. 2. temporis esse numerum N. iv, 11, 7
Terræ situs et figura C. ii. 13, 1. terra moveaturne an quiescat ibid. terram in medio sitam quiescere ac sphæricam esse C. ii. 14. terræ generatio G. ii. 5, 9. terræ proprium G. ii. 3, 2. 4, 5
Tonitrus vis C. ii. 9, 5
Tremor visus C. ii. 8, 10

U.

Universi corpus non est infinitum C. i. 7, 1
Unum esse omnia N. i. 2, 5. unum pluribus modis dicitur N. v. 4, 1

V.

Vacuum quid C. i. 9, 13. vacuum vulgo quid N. iv. 6, 4. vacui consideratio N. iv. 6, 1. vacui regio C. iv. 2, 18
Vas quid N. iv. 2, 6
Vitæ tempus numeratum G. ii. 10, 8